Ἰδού, κύριοι, σύντομος μέν, ἀλλ' ἀκριβὴς ἐξιστόρησις τῆς γεννήσεως καὶ τοῦ ὀκταετοῦς βίου τοῦ Συλλόγου τοῦ διεθνοῦς δικαίου, καθ'ὃν καὶ ὁ τῶν μελῶν αὐτοῦ ἀριθμὸς ὑπερεπληθύνθη, ἰδοὺ μικριστον μέν, ἀλλ' οὐσιῶδες μέρος τῶν ἐργασιῶν αὐτοῦ, περὶ ὧν μᾶλλον ἐκτεταμένας εἰδήσεις δύνασθε ἀντλῆσαι ἐκ τῶν τῇ φροντίδι καὶ ἐπιστασίᾳ τοῦ σοφοῦ γενικοῦ γραμματέως κ. Alphonse Rivier τακτικῶς ἐκδιδομένων ἐνιαυσίων αὐτοῦ περιοδικῶν· ἰδοὺ ἐν ἀκατεργάστῳ μέν, ἀλλὰ πιςῷ κατόπτρῳ, ὁ χαρακτὴρ τοῦ Συλλόγου τούτου καὶ αἱ φυσιογνωμίαι τῶν κυριωτέρων αὐτοῦ μελῶν. Οὐδὲν δὲ ἡμῖν ὑπολείπεται ἢ τὸ ἀνομολογῆσαι χάριτας ἐπὶ τῇ ἐν δυσὶ συνεδριάσεσιν εὐμενεῖ ἀκροάσει ὑμῶν, ἐκτιμώντων, ἐν τῷ ὑμετέρῳ ἀκραιφνεῖ πρὸς τὴν ἐπιστήμην ἔρωτι, οὐ μόνον τὰς σπουδαιοτάτας τῶν ἐρευνῶν καὶ ἀνακοινώσεων, ἀλλὰ καὶ αὐτὸ τὸ ταπεινὸν «καδδύναμιν ἔρδειν». Ἀλλ' ἐπιτραπήτω ἡμῖν, πρὶν ἢ καταπαύσωμεν τὸν λόγον, ἵνα θυμήρη μεταδώσωμεν εἴδησιν τῷ ἡμετέρῳ Συλλόγῳ, ἀνακοινοῦντες αὐτῷ τί περὶ τῆς γλώσσης ἡμῶν ἐρρέθη ἐν συνεδριάσει τῆς σοφῆς ἑταιρίας, μετὰ προσοχῆς οὐ τῆς τυχούσης, μετ' ἐπιστημονικῆς περιεργείας καὶ μετ' ἐνδείξεων ἐπιδοκιμασίας καὶ σεβασμοῦ ἀκροασαμένης τῶν ἐπὶ τοῦ πολλῶν ἄλλων φιλτέρου δι' ἡμᾶς τούτου ζητήματος ἰδεῶν καὶ κρίσεων τοῦ ἐκ τῶν διακεκριμένων αὐτῆς μελῶν κ. Νικολάου Σαριπόλου. Κατ'ἔτος τῶν συνεταίρων τινὲς συντάττουσι καὶ κοινοποιοῦσιν αὐτῇ ἐκθέσεις περὶ τῶν κυριωτέρων συγγραμμάτων τοῦ διεθνοῦς δικαίου ἅπερ δημοσιεύονται ἐν τῇ ἰδίᾳ ἑκάστου πατρίδι. Καὶ δή, κατὰ τὴν σύνοδον τῶν Παρισίων, τοῦ μὲν κ. Travers Twiss πραγματευθέντος περὶ τῶν ἐν Ἀγγλίᾳ, τοῦ δὲ κ. Clunet περὶ τῶν ἐν Γαλλίᾳ, τοῦ κ. Gessner περὶ τῶν ἐν Γερμανίᾳ, τοῦ κ. Martens περὶ τῶν ἐν Ῥωσσίᾳ, τοῦ κ. Norsa περὶ τῶν ἐν Ἰταλίᾳ καὶ τοῦ κ. de Landa περὶ τῶν ἐν Ἱσπανίᾳ, ὁ κ. Σαρίπολος ὡμίλησε περὶ τῶν ἐν Ἑλλάδι[1]. Καὶ πρῶτον μὲν μετ' ἀληθοῦς ταπεινοφροσύνης καὶ ἱστορικῆς ἀκριβείας ὡμολόγησεν ὅτι ἡ νεωτέρα Ἑλλάς, καίτοι συναισθανομένη τὴν ἐκ τοῦ κλέους τῆς ἀρχαίας ἀπορρέουσαν δι' αὐτὴν ὑποχρέωσιν τῆς εἰς τὰ γράμματα καὶ τὰς ἐπιστήμας ἐπιδόσεως, μικροῦ λόγου ἀξίαν τόγε νῦν φέρει συμβολὴν εἰς τὸν κλάδον τοῦτον τοῦ δικαίου· ἀκολούθως δέ, παρεκβατικῶς, τὰς περὶ τῆς γλώσσης ἡμῶν ἐν Εὐρώπῃ ἐπιπολαζούσας σφαλερὰς δοξασίας ἀνορθῶσαι προτιθέμενος, εἶπε τοιάδε τοῖς σοφοῖς αὐτοῦ συναδέλφοις καὶ δι' αὐτῶν τῷ φιλολογικῷ καὶ ἐπιστημονικῷ κόσμῳ, ὑπέρμετρον ἐν παντὶ καθορῶντι ἀτυχῶς διάστασιν μεταξὺ τῶν ἀρχαίων καὶ τῶν νεωτέρων Ἑλλήνων. «Ἡ ἑλληνικὴ γλῶσσά ἐστιν ἡ μᾶλλον ἀδιάλλακτος πασῶν τῶν ὁμιλουμένων γλωσσῶν, καθότι οὐδεμίαν ξενικὴν λέξιν, οὐδεμίαν ἐξωτικὴν ἔκφρασιν παραδέχεται. Σπεύσωμεν εἰς δικαιολόγησιν τοῦ ἐγωϊσμοῦ αὐτῆς τούτου διὰ τῶν ἑξῆς· πασῶν τῶν γλωσσῶν τῶν πεπολιτισμένων λαῶν ἀνατρεχουσῶν εἰς αὐτήν, χάριτι τῇ εὐστροφίᾳ αὐτῆς καὶ τῇ σαφηνείᾳ, πρὸς σχηματισμὸν τῶν ἐπιστημονικῶν αὐτῶν ὅρων, ἐπιτρέπεται ἀρά γε τοῖς νεωτέροις Ἕλλησι δάνειον ἐξ ἑτέρας γλώσσης ποιεῖσθαι τῶν ὅρων, οὓς αἱ πρόοδοι τῆς ἐπιστήμης κατέστησαν ἀναγκαίους πρὸς ἔκφρασιν τῶν νέων ἰδεῶν; Βεβαίως, μετὰ τῆς ἀπωλείας τῆς ἐπιστήμης, ἡ ἡμετέρα γλῶσσα ἀπώλεσε τὸν πλοῦτον αὐτῆς· ἀλλὰ τὸ ἐπιζῆσαν κέκτηται ἀκριβῆ ἀξίαν, καὶ ἡ νεωτέρα, καίτοι ἄπορος ἐγένετο, ἔμεινεν ὅ,τι ἦν ἄλλοτε· πᾶσαι δὲ αἱ διατηρηθεῖσαι λέξεις αἱ αὐταὶ τυγχάνουσιν οἷαι ἦσαν καὶ ἐν τῇ ἀρχαίᾳ. Τοῦτο λέγων, ἐπανορθῶ σφάλμα, ὅπερ πολλάκις ἀντέκρουσα, καὶ εἰς ὃ περιπίπτουσιν

1) Αὐτόθι, 1880, τόμ. I, σελ. 149—153.

ὅσοι διακρίνουσι τὴν ἀρχαίαν ἑλληνικὴν ἀπὸ τῆς νεωτέρας, νομίζοντες ὅτι αὕτη κατάγεται ἐξ ἐκείνης ὡς ἡ γαλλική, ἡ ἰταλική, ἡ ἱσπανική, ἡ πορτογαλλικὴ καὶ αἱ τούτων χυδαῖαι διάλεκτοι κατάγονται ἐκ τῆς λατινικῆς. Μόνη διαφορὰ τῆς ἀρχαίας ἀπὸ τῆς νεωτέρας ἑλληνικῆς ἐστὶν ἡ διακρίνουσα τὸ βαλάντιον πλουσίου γάλλου τοῦ βαλαντίου γάλλου πτωχοῦ. Τὰ νομίσματα ἅτινα εὑρίσκονται ἐν τῷ τοῦ ἀπόρου εἰσὶν ὀλιγώτερα μέν, ἀπολύτως δὲ ὅμοια τοῖς περιεχομένοις ἐν τῷ τοῦ συμπατριώτου αὐτοῦ Κροίσου· καὶ ταῦτα καὶ ἐκεῖνα ἔχουσι τὴν αὐτὴν εἰκόνα, τὸ αὐτὸ περίγραμμα, τὴν αὐτὴν ἀκρίβειαν ἀξίας, τῷ αὐτῷ δὲ τυγχάνουσι κοπέντα κόμματι». Τοὺς λόγους τούτους ἐν τῷ περαίνειν τήνδε τὴν πραγματείαν, ἀνακοινωσάμενοι ὑμῖν, φρονοῦμεν ὅτι ἡδεῖαν παρέχομεν τῷ ἡμετέρῳ Συλλόγῳ ἀφορμὴν εἰς τελειοτέρας ἐρεύνας καὶ ἐκτιμήσεις τῶν ἐργασιῶν σοφῆς ἑταιρίας, ἐν ᾗ καὶ τὰ καθ' ἡμᾶς πρεπόντως ἐκτίθενται, ἀκούονται μελετῶνται καὶ ἀναπτύσσονται. Ἄλλως τε, ἐν γένει καὶ ὑπό τε τὴν θεωρητικὴν καὶ τὴν πρακτικὴν ἔποψιν θεωρουμένη, ἀξία τυγχάνει τῶν μελετῶν καὶ τοῦ σεβασμοῦ οὐ μόνον τῶν πεφωτισμένων Ἑλλήνων, ἀλλὰ καὶ παντὸς φιλολόγου καὶ φιλεπιστήμονος· ἐντελῶς δ' ἐφαρμόζεται αὐτῇ, ὑπὲρ ἑνὸς σκοποῦ πολυμελῶς μέν, ἀλλ' ἐναρμονίως μοχθούσῃ, τὸ περὶ τοῦ ἀνθρωπίνου σώματος Ἱπποκράτειον λόγιον[1]· «Ξύρροια μία, ξύμπνοια μία, ξυμπαθέα πάντα, κατὰ μὲν σύλομελίην πάντα, κατὰ μέρος δὲ τὰ ἐν ἑκάστῳ μέρει μέρεα, πρὸς τὸ ἔργον».

Κ. ΚΑΛΛΙΑΔΗΣ.

1) Ἱπποκρ. περὶ τροφῆς, κεφ. IV.

ΒΙΟΓΡΑΦΙΑ ΤΟΥ ΟΣΤΡΕΟΥ.

(Ἀναγνωσθεῖσα ἐν τῇ ΧΛΣ' συνεδριάσει).

Ἐν τῇ μεγάλῃ ἀποθήκῃ τῶν θαλασσίων ἐδωδίμων τὸ ὄστρεον προσφέρει τὴν δαψιλεστέραν καὶ εὐχυμωτέραν τροφὴν εἰς τὸν ἄνθρωπον· εἶναι ὁ βασιλεὺς τῶν διθύρων ὀστρακοδέρμων, διὸ ἐπιχειροῦμεν τὴν βιογραφίαν του. Καίτοι κατέχον ταπεινὴν θέσιν ἐν τῇ βαθμολογίᾳ τῶν ἐμψύχων ὄντων, τὸ ὄστρεον ἔδωκεν ἀφορμὴν ἐπὶ πολλοὺς αἰῶνας εἰς τὴν ποίησιν καὶ φιλολογίαν παρὰ τοῖς κλασικοῖς συγγραφεῦσι, καὶ χάριν εἰς τὰς εὐωχίας τῶν ἐξευγενισμένων ἐθνῶν ἔν τε τῇ ἀρχαιότητι καὶ κατὰ τοὺς νεωτέρους χρόνους. Ὅτε ἡ κοσμοκράτωρ Ῥώμη κατ�ᾠκεῖτο ὑπὸ ἑκατομμυρίων ἀνθρώπων καὶ κατεῖχε μυθώδη πλοῦτον, τὸ ὄστρεον ἦτο εἰς ἔξοχον τιμήν, ἐν τῇ παράφρονι ἐκείνῃ πολυτελείᾳ τῆς ἀσώτου μητροπόλεως. Οἱ περιερχόμενοι τὰς λεωφόρους εὐκνήμιδες ὀστρεοπῶλαι τῆς Κωνσταντινουπόλεως τὴν σήμερον μὲ ἀνεσταλμένην ἀναξυρίδα, βαστάζοντες ἐπὶ κεφαλῆς ξύλινον πίνακα πλήρη ὀστρέων, μετ' ἐκπλήξεως βεβαίως θέλουσιν ἀκούσει, πόσον ἀρχαῖον εἶναι τὸ ἐπάγγελμά των. Πρὸ 2,400 περίπου ἐτῶν, Σέργιός τις τοὐπίκλην Ὁράτα, ἄνθρωπος πρακτικοῦ πνεύματος, μετέβαλε τὴν λίμνην Ἀβέρνον εἰς ὀστρεοτροφεῖον. Διὰ τῆς καλλιεργείας τῶν Λυκρινείων ὀστρέων του, ὡς τότε ταῦτα ὠνομάζοντο, ἕνεκα τοῦ ἐπιθέτου *Λυκρινεία* τῆς αὐτῆς λίμνης, ἀπέκτησαν φήμην παγκόσμιον. Εἰς τοσαύτην ἐντέλειαν ἔφερεν οὗτος τὴν τέως ἄγνωστον βιομηχανίαν τῆς ὀστρεοτροφίας καὶ τηλικαύτην δόξαν περιεποίησεν εἰς ἑαυτόν, ὥστε οἱ σύγχρονοί του Ῥωμαῖοι ἰσχυρίζοντο λέγοντες, «ἂν ποτὲ ἤθελαν παύσει τὰ ὄστρεα παραγόμενα ὑπὸ τῆς λίμνης Αυκρινείας, ὁ Σέργιος ἦτο ἱκανὸς νὰ τὰ καλλιεργήσῃ καὶ παχύνῃ καὶ ἐπὶ τῆς ὀροφῆς τῶν οἰκιῶν». Μοιραίως ἡ λίμνη ἐκείνη σήμερον συνεστάλη εἰς μηδαμινὸν βάθρον, ἔνθα συρρέει ὀλίγος ἁφαίστειος πηλός, καὶ ὅπου ἴσως οὔτε ὁ περίφημος Ὁράτα δὲν θὰ κατώρθωνε πλέον νὰ καλλιεργήσῃ ὀστρεοφυτείαν. Ἀλλ' ἀτυχῶς ἐξηράνθη κἀκεῖνος μετὰ τόσους αἰῶνας!

Πλησίον τῆς Βαίας καὶ Κύμης ὑπάρχει ἡ λίμνη τῆς Νεαπόλεως *Φύσαρον*· αὐτόθι ἦτο ὁ Ἀχέρων. Κατὰ τοὺς μυθολόγους τῶν ἀρχαίων Ῥωμαίων, ἔχει τριῶν περίπου λευγῶν περιφέρειαν, καὶ τὸ βάθος τοῦ ὕδατος εἰς οὐδὲν μέρος δὲν εἶναι πλέον τῶν ἓξ ποδῶν. Ὁ πυθμὴν αὐτῆς καλύπτεται ὑπὸ γλοιώδους μελαγχροινοῦ ἡφαιστείου πηλοῦ. Ἐξ ἀμνημονεύτων χρόνων λοιπὸν αὕτη ἐχρησίμευσεν ὡς φυτώριον διὰ τὴν ἀνάπτυξιν τοῦ θοροῦ τῶν ὀστρέων, καὶ ὡς ὀστρεοτροφεῖον, τόπος δηλονότι ἔνθα τὰ μικρὰ ὀστρείδια ἁρμοδίως ἐναποτιθέμενα ἀναπτύσσονται, καὶ μετὰ καιρὸν μεταφυτεύονται καὶ αὐξάνουσι κατὰ τὸ μέγεθος, ὥστε χρησιμεύουσι πρὸς τροφήν. Ὑπάρχουσι τῇδε κἀκεῖσε ἐν τῇ λίμνῃ ταύτῃ νησίδια, ἤτοι τεχνητοὶ σωροὶ πετρῶν, ἔχοντες κύκλῳ αὐτῶν πασσάλους ἐμπεπηγμένους εἰς τὸν πυθμένα τῆς λίμνης σχηματίζοντας κύκλον πέριξ αὐτῶν, ἐνῷ εἰς ἄλλα μέρη τῆς λίμνης οἱ πάσσαλοι ἐμπήγνυνται στοιχηδὸν σχηματίζοντες εὐθείας γραμμάς, συνδέονται δὲ πρὸς ἀλλήλους διὰ σχοινίων, ἀπὸ τὰ ὁποῖα ἐξήρτηνται φρυγάνων δέματα ἐν τῷ ὕδατι, ὅπως ἐπ' αὐτῶν ἐπίσης ὡς καὶ ἐπὶ τῶν πασσάλων καὶ τῶν πετρῶν προσκολλῶνται τὰ νεογνὰ τῶν ὀστρέων. Τὰ δέματα δὲ ταῦτα ἐν καιρῷ τῷ δέοντι ἀνασύρονται εὐκόλως ἀπὸ τοῦ ὕδατος, καὶ τὰ αὐξηθέντα ὀστρείδια συλλεγόμενα αὐτόθεν διὰ τῆς χειρός, καθὼς καὶ τὰ εὑρισκόμενα ἐπὶ τῶν πασσάλων καὶ πετρῶν, μεταφυτεύονται εἰς κατάλληλον ἄλλο μέρος τῆς λίμνης, ἔνθα ἁλιεύονται μετὰ δύο ἢ τρία ἔτη, ὅταν αὐξήσωσι κατὰ τὸ μέγεθος καὶ ὦσιν ἁρμόδια πρὸς τροφὴν τοῦ ἀνθρώπου.

Ἀρχαιόθεν ἐν Γαλλίᾳ ὑπῆρχε μεγάλη ἀφθονία ἰθαγενῶν ὀστρέων, ἀλλ' ἡ ἁλίευσις αὐτῶν ἐγίγνετο τοσοῦτον ἀτάκτως, ὥστε τὰ ἰθαγενῆ ὄστρεα, καθὼς κινδυνεύουσι νὰ πάθωσιν ἐν τῇ Ἀνατολῇ, ὀλίγου δεῖν ἐξωλοθρεύοντο εἰς τοὺς παρωκεανείους αἰγιαλοὺς αὐτῆς. Ὁ καθηγητὴς Κωστῆς, μέλος τῆς Γαλλικῆς Ἀκαδημίας, κατέδειξε πρό τινων ἐτῶν ὅτι τὰ ἰθαγενῆ γαλλικὰ ὄστρεα ἐκινδύνευον νὰ ἐκλείψωσιν. Οὗτος οὖν ἐπέστησε τὴν προσοχὴν αὐτοῦ σπουδαίως καὶ ἔμαθε πολλὰ περίεργα περιςατικὰ τῆς φύσεως αὐτῶν. Μετέβη ἐπίτηδες μάλιστα εἰς τὸ μνησθὲν ὀστρεοτροφεῖον τῆς Νεαπόλεως καὶ παρετήρησε τίνι τρόπῳ οἱ ἐκεῖ ἁλιεῖς διέσωζον τὰ νεογνὰ ὀστρείδια. Εἶτα ἀπετάθη πρὸς τὴν γαλλικὴν Κυβέρνησιν ἥτις τῷ ἐχορήγησε τὰ μέσα ὅπως διενεργήσῃ πειράματα, καὶ ἐντὸς ὀλίγου κατώρθωσε νὰ ἐγκαθιδρύσῃ ἀξιόλογον ὀστρεοτροφεῖον ἢ τιθηνεῖον διὰ τὸν θορὸν τῶν ὀςρέων. Ὑπὸ τὴν σοφὴν διεύθυνσιν τοῦ πεπαιδευμένου ἐκείνου φυσιολόγου ἡ νέα βιομηχανία τῆς ὀστρεοφυτείας κατήντησεν εἰς ὀστριομανίαν ἐν Γαλλίᾳ. Ἐντὸς δύο ἐτῶν χίλιοι διακόσιοι κεφαλαιοῦχοι συνεταιρισθέντες ἕκαστος μεθ' ἑνὸς ἁλιέως καὶ μισθώσαντες παρὰ τῆς Κυβερνήσεως κατέσχον 988 στρέμματα παρωκεανείου ἐπιφανείας, τουτέστι παραλίας ἐγκαταλειπομένης ὑπὸ τῶν ὑδάτων καθ' ἑκάστην ἀμπώτιδα τοῦ ὠκεανοῦ, εἰργάζοντο μετ' ἐπιστημονικῆς ἐντελείας. Τὸ περὶ τὴν νῆσον Ροῦ βορβορῶδες ἔδαφος, δώδεκα περίπου μιλίων παραλία, ἐντὸς δύο ἐτῶν μετεβλήθη εἰς 1200 φυτώρια ὀστρέων, καὶ ἔτι πλειότερα ἐσχεδιάσθησαν πρὸς ἐπέκτασιν τῆς βιομηχανίας ταύτης.

Ἐν Γαλλίᾳ λοιπὸν ἡ καλλιέργεια τῶν ὀστρέων διεξάγεται ἐπιστημονικῶς, καὶ τὸ γαλλικὸν ἔθνος ὑπὲρ πᾶν ἄλλο ἐν Εὐρώπῃ ἐκμεταλλεύεται τὸν μέγαν τοῦτον πρόσθετον πλοῦτον τὴν σήμερον, χάρις εἰς τὰς ἐπιστημονικὰς ἐρεύνας ἑνὸς ἀνθρώπου κατατρίψαντος μέρος τοῦ βίου του «περὶ τὴν σπουδὴν ὀστράκων καὶ σκωλήκων», ὡς ἐρρέθη συχνάκις τότε πρὸς χλευασμὸν αὐτοῦ. Ἐν Γαλλίᾳ καταβάλλεται μεγίστη προσοχὴ εἰς τὴν καλλιέργειαν καὶ περιποίησιν τοῦ θορυῦ, ἤτοι τῶν νεογνῶν ὀστρειδίων. Περὶ τοιούτων πραγμάτων ἀτυχῶς οὐδεὶς τῶν ἡμετέρων ἁλιέων ἢ κεφαλαιούχων ἐν Κως/πόλει οὔτ' ἐσκέφθη κἂν ποτε, οὔτε ἐφρόντισέ τίς ποτε, καθ'ὅσον ἡμεῖς γινώσκομεν, νὰ μεταφυτεύσῃ τὰ νεογνὰ ὀστρείδια εἰς κατάλληλον μέρος τῆς παραλίας, ἔνθα μένοντα ἐπὶ ὡρισμένον διάστημα χρόνου ἀνενόχλητα νὰ ἁλιευθῶσι μεγάλα καὶ εὐτραφῆ εἰς ἡλικίαν κατάλληλον πρὸς τροφήν.

Ἐν Ἀμερικῇ συνήθως κατὰ τοὺς θερινοὺς μῆνας τοῦ ἔτους ἁλιεύουσι τὰ νεογνὰ τῶν ὀςρέων εἰς τὰ παράλια τῶν μεσημβρινῶν χωρῶν καὶ μετακομίζοντες αὐτὰ εἰς τοὺς αἰγιαλοὺς τῶν βορείων κρατῶν, μεταφυτεύουσι σκορπίζοντες αὐτὰ εἰς ἀβαθῆ μέρη τῆς παραλίας παρὰ τὰς ἐκβολὰς ποταμῶν, ἔνθα ὑπάρχει ἰλὺς καὶ μέτριον ῥεῦμα. Ἐπειδὴ δὲ τὸ ἀριστερὸν κυρτότερον ὄστρακον εἶναι βαρύτερον, τὸ ὀστρείδιον φθάνει εἰς τὸν πυθμένα καὶ κατακάθηται συνήθως ἐπὶ τοῦ ἀριστεροῦ ὀστράκου του. Τὰ νεογνὰ λοιπὸν ταῦτα ὀστρείδια ἀφίνονται αὐτόθι ἐπὶ δύο, τρία ἢ καὶ τέσσαρα ἔτη, ὁπότε θεωροῦνται κατάλληλα πρὸς τροφήν. Κατὰ τὴν φθινοπωρινὴν ὥραν, περὶ τὰς ἀρχὰς τοῦ χειμῶνος, ἄρχεται ἡ ἁλιεία ἢ ὁ ἁμητὸς αὐτῶν. Κατὰ πρῶτον οἱ ἁλιεῖς μεταχειρίζονται μακρὰς λαβίδας ἢ δίκρανα, δι'ὧν ἀπὸ τῆς λέμβου των κύπτοντες συλλαμβάνουσιν ἐκ τῶν ὀστρέων ὅσα

εὐκόλως ἀγρεύονται· εἶτα δὲ καταφεύγουσιν εἰς τὴν σαγήνην, ἤτοι δικτυωτὸν εὐρύχωρον σάκκον, ἔχοντα τετράπλευρον σιδηροῦν περιστόμιον, συρόμενον δὲ διὰ μακρῶν σχοινίων ἐπὶ τοῦ ὀστρεοφύτου πυθμένος ὑπὸ πλοιαρίων κινουμένων μὲ ἀναπεπταμένα ἱστία διὰ τῆς ὠθήσεως τοῦ ἀνέμου, καὶ ἀπὸ καιροῦ εἰς καιρὸν ἀνασύρουσι τὴν σαγήνην μεστήν, καὶ κενόυσι τὰ ἐν αὐτῇ ὄστρεα ἐπὶ τοῦ καταστρώματος. Τὰ οὕτως ἀνασυρθέντα ἐκ τῆς κοίτης των ὄστρεα μετακομίζονται ἑπομένως εἰς κόλπον ἢ ποταμόν τινα καὶ ῥίπτονται εἰς ἀβαθῆ μέρος, ὅπου ὁ πυθμὴν εἶναι πετρώδης καὶ τὸ ὕδωρ διαυγές, ὅπως καθαρισθῶσιν· ἀφοῦ δὲ μείνωσιν αὐτόθι ὀλίγας ὥρας ἢ καὶ μίαν ἡμέραν, συλλαμβάνονται πάλιν ὑπὸ τῶν ἁλιέων καὶ ἐπιβιβαζόμενα εἰς τὸ πλοῖον ταξιθετοῦνται τὰ μὲν μεγαλείτερα, ἄτινα συνήθως πωλοῦνται ἀριθμούμενα κατὰ ἑκατοστύας, εἰς ἓν μέρος, τὰ δὲ μικροτέρου μεγέθους καὶ πολυπληθέστερα, χωριστὰ εἰς ἄλλο μέρος τοῦ πλοιαρίου· διότι ταῦτα δὲν πωλοῦνται ἀριθμούμενα, ἀλλὰ μὲ τὸ μέτρον ἢ κοιλόν.

Ἡ ἐπιτόπιος κατανάλωσις αὐτῶν τῶν μαλακίων καὶ ἡ εἰς τὴν Εὐρώπην ἐξαγωγὴ ἀπασχολοῦσιν ἐν Ἀμερικῇ περὶ τοὺς δεκακισχιλίους ἀνθρώπους. Πέντε ἑκατομμύρια δολλαρίων ὑπολογίζεται ἡ ἀξία τῆς ἐγχωρίου καταναλώσεως τῶν ὀστρέων καὶ περίπου ἄλλα τόσα εἰσπράττονται ἐκ τῶν ἀποστελλομένων εἰς τὸ ἐξωτερικόν. Ἡ ἁλίευσις, προπαρασκευὴ καὶ ἀποστολὴ τῶν ὑστρέων εἰς μεγάλας ἀποστάσεις ἐν τῷ ἐσωτερικῷ τῆς ἀμερικανικῆς ἠπείρου ἢ διὰ τὴν Εὐρώπην καὶ ἀλλαχοῦ συνήθως γίνεται, ὡς εἴπομεν, κατὰ τοὺς τρεῖς φθινοπωρινοὺς μῆνας. Τότε βλέπει τις πλῆθος ὀστρεοφόρων πλοιαρίων ἀποβιβαζόντων τρία ἢ τέσσαρα ἑκατομμύρια ὄστρεα καθ' ἑκάστην ἡμέραν εἰς τοὺς λιμένας τῆς Ν. Υόρκης καὶ ἄλλων παραλίων πόλεων, ἔνθα τῶν ὀχρέων, ὅσα μέλλουσι νὰ ςαλῶσι μακρὰν, καθαρίζεται ἀπὸ τῶν ὀστράκων αὐτῶν τὸ σαρκῶδες ἐσωτερικόν· καὶ μετὰ τῆς περικλειομένης ἐν αὐτοῖς θαλάσσης ἐναποτιθέμενα εἰς μικρὰ ξύλινα βαρέλια ἢ καδίσκους ἐντὸς μεγαλειτέρων βαρελίων καὶ περικυκλούμενα ὑπὸ πάγου ἀναμεμιγμένου μὲ πριονίδια, διατηροῦνται νωπὰ ἐπ' ἀόριστον χρόνον. Ὅσα δὲ εἰσὶν ὡρισμένα, ἵνα καταναλωθῶσιν ἐπιτοπίως ἢ μετακομισθῶσιν εἰς πόλεις πλησιοχώρους, δὲν καθαρίζονται ἀπὸ τῶν ὀστράκων των· ἀλλ' ὅπως διατηρῶνται ζῶντα καὶ νωπὰ εἶναι ἀνάγκη νὰ μὴ ἐκρεύσῃ τὸ ἐν αὐτοῖς θαλάσσιον ὕδωρ. Οἱ Ἀμερικανοὶ γυμνάζουσι τὰ ὄστρεα αὐτῶν ἵνα διατηρῶσι τὸ ἐν αὐτοῖς ὕδωρ εἰς τὸ ὕπαιθρον κατὰ τὸν ἑξῆς τρόπον. Συλλαμβάνοντες αὐτὰ φέρουσιν ἐκ τῆς κοίτης των, ὅπου τέως ἔζων καὶ ἠύξανον, εἰς μέρος τοῦ αἰγιαλοῦ ἔνθα ἕνεκα τῆς παλιρροίας καλύπτονται δὶς τῆς ἡμέρας ὑπὸ θαλασσίου ὕδατος, καὶ δὶς τῆς ἡμέρας ἕνεκα τῆς ἀμπώτιδος μένουσιν ἐπὶ ὥρας τινὰς ἐκτεθειμένα εἰς τὸ ὕπαιθρον, ὅτε αἰσθανόμενα τὴν ἔλλειψιν τῆς περὶ τὸ ὄστρακον συνήθους παρουσίας τοῦ ὕδατος κλείουσιν αὐτομάτως τὰς θύρας των, καὶ ὅταν πάλιν αἰσθανθῶσι τὴν ἐκ τῆς παλιρροίας ἐπάνοδον αὐτοῦ ἀνοίγουσι τὰ ὄστρακά των. Ἀφ' οὗ ἐπί τινας ἡμέρας οὕτω πως συνειθίσωσι τὰ ὄστρεα νὰ μὴ ἀνοίγωσι τὰ ὄστρακά των εἰμὴ ὅταν καλύπτωνται ὑπὸ τῆς θαλάσσης, τότε μεταφέρουσιν αὐτὰ μακρὰν κατάκλειστα καὶ διασώζοντα ἐν ἑαυτοῖς τὸ ζωοπάροχον καὶ συντηρητικὸν τῆς ὑπάρξεώς των ὑγρόν, ἐξ οὗ διατηροῦνται νωπὰ ἐπὶ ὁλόκληρον τὸν χειμῶνα ἐνίοτε.

Οἱ δὲ Γάλλοι ἀπὸ καιροῦ εἰς καιρὸν πλήττουσιν ἐλαφρὰ μὲ τὴν ἄκραν σιδηρᾶς ῥάβδου τὰ ὄστρεα ἐν τῇ κοίτῃ των πρὶν ἢ συλλάβωσιν αὐτὰ καὶ ἐνῷ εἰσέτι καλύπτονται ὑπὸ τοῦ ὕδατος, ὅπως τὰ συνειθίσωσι νὰ κλείωνται, καὶ ἐπαναλαμβάνουσι τὸ αὐτὸ κτύπημα ἐπὶ τέλους τὴν στιγμὴν καθ' ἣν τὰ συλλαμβάνουσιν, ὥστε ἐκτιθέμενα εἰς τὸν ἀέρα ἔχουσι τὸ κοῖλον τοῦ ὀχράκου των πλῆρες· διὰ νὰ μὴ ἐκρεύσῃ δὲ τὸ θαλάσσιον ὕδωρ, οἱ θέλοντες νὰ διατηρήσωσιν αὐτὰ πολὺν καιρὸν ζῶντα καὶ νωπὰ φροντίζουσι νὰ τοποθετῶσιν αὐτὰ κατὰ γῆς εἰς ὑπόγειον πλαγίως, ἔχοντα τὸ κοῖλον ἀριστερὸν ὄστρακον κάτωθεν. Οὕτω πως, ὅταν ἀνοίγωσι τὸ ἄνω ὄστρακον δὲν ἐκρέει τὸ ἐν αὐτοῖς ὕδωρ καὶ διατηροῦνται πολὺν καιρόν.

Ἡ βιομηχανία ὅμως αὕτη δὲν εἶναι ἄμοιρος κινδύνων διὰ τοὺς ἐπιχειροῦντας αὐτὴν κεφαλαιούχους, οἵτινες διὰ τὴν σύναξιν τῶν νεογνῶν ὀστρειδίων, τὴν μετακόμισιν αὐτῶν ἀπὸ μακρὰν καὶ μεταφύτευσιν εἰς ἁρμοδίους ὅρμους, ἔνθα ὀφείλουσι νὰ μένωσι περὶ τὰ δύο, τρία ἢ καὶ τέσσαρα ἔτη, ὡς εἴδομεν, ὅπως μεγεθυνθῶσι καὶ παχύνωσιν εἰς τὴν νέαν κοίτην των, δαπανῶσιν ἱκανὰ χρήματα. Θύελλα ἀτάκτως παρατεθεῖσα ἐνίοτε ἀλλοιοῖ εἰς τοσοῦτον βαθμὸν τὸν πυθμένα τῆς θαλάσσης, ὥστε ἡ ἰλὺς σκεπάζει τὰ ὄστρεα καὶ καταστρέφει αὐτὰ ὁλοτελῶς. Βαρὺς χειμὼν καὶ ὑπερβολικὸν ψῦχος ἐνίοτε τὰ ἐξολοθρεύει. Ἄλλοτε πρὶν ἔτι φθάσωσι τὰ μετακομίζοντα αὐτὰ πλοῖα εἰς τὸ ὀστρεοφυτεῖον, τὰ ὀστρείδια ἀποθνήσκουσι, καθότι ἕνεκα ἀντιξόων ἀνέμων τὰ πλοῖα βραδύνουσι νὰ καταπλεύσωσι. Τὰ δίθυρα ταῦτα ἔχουσι περιπλέον πολλοὺς θανασίμους ἐχθροὺς μεταξὺ τῶν θαλασσοβίων ζώων.

Οἱ πλεῖστοι τῶν φυσιολόγων φρονοῦσιν ὅτι δὲν ὑπάρχει διάκρισις ἄρρενος καὶ θήλεος γένους εἰς τὰ ὄστρεα, ὅτι δηλονότι εἰσὶ διγενῆ ἢ ἑρμαφρόδιτα, ὡς πολλὰ τῶν φυτῶν· γονιμοποιοῦσι δὲ τὸν θορὸν αὐτῶν κατὰ τοὺς θερμοὺς μῆνας τοῦ ἔτους μεταξὺ Μαΐου καὶ Σεπτεμβρίου. Κατὰ τὴν ἐποχὴν ἐκείνην ἕνεκα γαλακτώδους χυμοῦ περιβρέχοντος τὰ σώματά των οὐ μόνον δὲν εἶναι εὐτραφῆ καὶ εὐάρεστα εἰς τὴν γεῦσιν, ἀλλὰ θεωροῦνται μᾶλλον ἐπιβλαβῆ, καθότι οἱ τρώγοντες αὐτὰ πάσχουσι συχνάκις ἀπὸ κωλικόπονον καὶ διατάραξιν τῆς κάτω κοιλίας.

Τὸ ὄστρεον διαφέρει τῶν λοιπῶν μαλακίων, καθόσον εἶναι ζωοτόκον, ὁ δὲ θορὸς ἐν τῷ νεφελώδει ἐκείνῳ χυμῷ, ὃν ἐξακοντίζει κατ' ἐκείνην τὴν ἐποχὴν ἀπὸ καιροῦ εἰς καιρὸν κλείον αἴφνης καὶ μὲ ὁρμὴν τὰ ὀστρακά του, ἐξεταζόμενος διὰ μικροσκοπίου, δὲν σύγκειται ὑπὸ ὠῶν, ἀλλ' ὑπὸ μυριάδων μικροσκοπικῶν ὀστρειδίων, ἅτινα ἡ γενέτειρά των ἀποπέμπει ἐκ τῆς γενεθλίου αὐτῶν ἑστίας· ἐκεῖνα δὲ ἐν τῇ ὑπερβολῇ τῆς νεότητος καὶ εὐδαιμονίας, ἣν αἰσθάνονται, ἀγνοοῦσι πῶς νὰ περιορίσωσι τὴν χαρὰν των εἰσερχόμενα πρώτην φορὰν εἰς τὸν μέγαν κόσμον. Αἱ πολύτροποι στάσεις των, ἡ ζωηρότης των, τὰ ἅλματα καὶ σκιρτήματά των ἐν τῷ ὕδατι, δεικνύουσι τὴν ὑπερβάλλουσαν εὐθυμίαν αὐτῶν. Ὥστε ὁ μικροσκοπῶν αὐτὰ φυσιολόγος πείθεται ὅτι αἰσθάνονται ἡδονὴν ἁπλῶς ἕνεκα τῆς ἐξασκήσεως τῶν μελῶν καὶ τῶν σωματικῶν αὐτῶν δυνάμεων, ἄνευ τελικοῦ τινος σκοποῦ. Εἶναι περιεργείας ἄξιον νὰ βλέπῃ τις αὐτὰ διὰ τοῦ μικροσκοπίου νηχόμενα ἐν τῷ πελάγει, ἀπειράριθμα ἐντὸς μιᾶς σταγόνος ὕδατος, διασταυροῦντα μὲ ταχύτητα τοὺς δρόμους ἀλλήλων, ἄνευ συγκρούσεων ἢ ἀμοιβαίων συνωστισμῶν. Ὁ ἀριθμὸς τῶν γεννωμένων ὀστρειδίων ἐτησίως ὑφ' ἑνὸς ὀστρέου ὑπολογίζεται ὑπὸ τῶν φυσιοδιφῶν, ὅτι ὑπερβαίνει ἐνίοτε τὰ εἴκοσιν ἑκατομμύρια, ἀλλ' ὁ ἐξαίσιος οὗτος πληθυσμὸς γίνεται κατὰ μέγα μέρος βορὰ ἄλλων θαλασσίων ζώων, πρὶν ἔτι φθάσωσι νὰ προσκολληθῶσιν εἰς μόνιμόν τινα θέσιν, ἢ ἀπόλλυνται παρασυρόμενα εἰς τὸ βάθος τῆς θαλάσσης. Τὰ μικροσκοπικὰ ἐκεῖνα ζωύφια ὅσα τυχὸν νὰ προσορμισθῶσιν, ἐξεταζόμενα μετὰ ἕνα μῆνα εὑρίσκονται αὐξημένα εἰς τὸ μέγεθος μεγάλου πίσου, καὶ μετὰ ἓξ μῆνας ἔχουσιν ἑνὸς δακτύλου μῆκος καὶ περὶ τὸ δεύτερον ἢ τρίτον ἔτος τοῦ βίου των εἰσὶ πρόσφορα διὰ τὴν ἀγοράν.

Διὰ τὴν συντήρησιν καὶ ἀνάπτυξιν τῶν νεογνῶν ὀστρειδίων ὁ πυθμὴν τῆς θαλάσσης ἀπαιτεῖται νὰ ἦναι τραχὺς καὶ τὸ ἔδαφος μεστὸν πετραδίων καὶ κογχυλίων καὶ ἀνωμαλιῶν διὰ νὰ προπορμίζωνται εὐκόλως τὰ ὀστρείδια· ἀλλ' ὅπως αὐξηθῶσι καὶ παχυνθῶσι τὸ τοιοῦτον ἔδαφος δὲν ἁρμόζει, δι' ὃ μεταφέρουσιν αὐτά, ὡς εἴδομεν, ἀπὸ τὸ φυτώριον τοῦτο καὶ τὰ μεταφυτεύουσιν εἰς ὅρμους ἢ παραποτάμια μέρη, ἔνθα τὸ ἔδαφος εἶναι σκεπασμένον ὑπὸ ἰλύος ὀργανικῆς δύο ἢ τριῶν δακτύλων καὶ ὑπάρχει ῥέρμα κινούμενον ῥεῦμα ἄνωθεν αὐτῶν.

Περὶ πολλαπλασιασμοῦ τῶν ὀστρέων εὐάρεστος ἀνακάλυψις διὰ τοὺς ὑστρεοφύτους.

Ἐν τῇ τελευταίᾳ συνεδριάσει τῆς ἐν Ν. Υόρκῃ ἰχθυστρύφου Ἑταιρίας, ὁ ἰατρὸς κ. W. I. Brosk ἀνέγνω πραγματείαν περὶ τῆς γενέσεως τῶν ὀστρέων, ἐν ᾗ ἀπέδειξεν ὅτι ἄχρι τοῦδε δὲν εἶχε κατανοηθῇ ὁ τρόπος, καθ' ὃν τὰ μαλάκια ταῦτα γεννοβολοῦσι καὶ πολλαπλασιάζονται. Διὰ μικροσκοπικῶν παρατηρήσεων κατὰ τὸ παρελθὸν θέρος ἀνεκάλυψεν οὗτος ὅτι τὰ ὄστρεα δὲν γεννῶσι τὰ ᾠά των ἐν τῷ ὀστράκῳ, ὡς τέως ἐνομίζετο, καὶ κατὰ συνέπειαν ὅτι δυνατὸν νὰ γονιμοποιηθῶσι τεχνητῶς καὶ ἐκτὸς τούτου.

Ἓν θῆλυ ὄστρεον μεσαίου μεγέθους περιέχει ἓξ μέχρι δέκα ἑκατομμυρίων ᾠῶν. Τὰ μεγάλα περιέχουσιν ἕως 50 ἑκατομμύρια ᾠῶν. Ὅπως οὖν γονιμοποιήσῃ αὐτὰ ὁ μνησθεὶς φυσιολόγος μετεχειρίσθη τὴν ἑξῆς μέθοδον. Κατεκερμάτισεν ἄρσεν καὶ θῆλυ ὄστρεον σύναμα ὥστε ἀνεμίχθησαν ἑκατέρου τὰ ὑγρὰ πρὸς ἄλληλα καὶ ἡ γονιμοποίησις τῶν ἐγένετο ἐντελής· ὅτε ἄνευ ἀναβολῆς ἤρξατο ἡ ἀνάπτυξις τοῦ θοροῦ, προὐχώρει δὲ μετὰ τοσαύτης ταχύτητος, ὥστε παρετηρήθη ἡ ἀλλοίωσις τῶν ᾠῶν ἐντὸς πέντε δευτερολέπτων, καὶ εἰς ὀλίγας ὥρας τὸ ἔμβρυον ἦν ἀρκούντως μορφωμένον, ὥστε διεκρίνετο νηχόμενον ἐντὸς τοῦ ὕδατος. Τὰ ὄστρακά των κατ' ἀρχὰς εἰσὶ μικρότατα καὶ δὲν ἐφάπτονται ἀλλήλων· αὐξάνουσιν ὅμως ταχέως κατὰ τὸ μέγεθος· καλύπτουσι τὰ πλάγια τοῦ σώματός των καὶ τέλος ἐνούμενα σχηματίζουσι τὴν ῥάφιγγα, δι' ἧς ἀνοίγει καὶ κλείει τὸ ὄστρακον. Ἐν τῷ βραχεῖ διαστήματι εἰκοσιτεσσάρων ὡρῶν, τὸ ὀστρείδιον δύναται νὰ πορισθῇ τὴν τροφήν του καὶ μεταξὺ τριῶν ἡμερῶν ἢ μιᾶς ἑβδομάδος ἀποκτᾷ ἐντελῶς τὸ σχῆμά του. Ἐν

τῇ νηπιώδει ἡλικίᾳ αὐτοῦ τὸ ὀστρεῖδιον εἶναι νηκτικὸν ζῶον· ἓν ἔτος ἀπὸ τῆς γεννήσεώς του τὸ ὄστρεον εἶναι εἰς κατάστασιν νὰ γονιμοποιήσῃ· εἶναι δὲ κατάλληλον νὰ ἁλιεύηται πρὸς τροφὴν τοῦ ἀνθρώπου ὅταν γείνῃ τριῶν ἐτῶν.

Διὰ τῆς μνησθείσης ταύτης μεθόδου εὐκόλως δύναταί τις νὰ πολλαπλασιάσῃ αὐτὰ εἰς ἁρμόδιον μέρος τῆς θαλάσσης ἀβαθές, ἔχον πυθμένα κατάλληλον διὰ ταῦτα τὰ μαλάκια, καὶ ἐν τῇ ἀναλόγῳ ὥρᾳ τοῦ ἔτους. Ἀλλὰ πρέπει νὰ ἁλιεύωνται καὶ εἰς ὡρισμένας τοῦ ἔτους ἐποχάς, ὅταν ἡλικιωθῶσιν ἀρκούντως· ἄλλως καταστρέφονται ἀώρως καὶ δὲν προσφέρουσιν εὔχυμον τροφὴν εἰς τὸν στόμαχον.

Δ. ΣΤΑΜΑΤΙΑΔΗΣ.

ΟΜΗΡΙΚΑΙ ΜΕΛΕΤΑΙ.

ΠΕΡΙ ΤΗΣ ΚΑΘ' ΟΜΗΡΟΝ ΗΘΙΚΗΣ.

('Ανεγνώσθη ἐν τῇ ΧΞΣ' συνεδριάσει).

Τίς ποτ' ἡ τῶν πάλαι παιδεία ἐγένετο ἄλλοι τε Πλάτων δὲ μάλισθ' ὁ φιλόσοφος μουσικὴν φησιν εἶναι καὶ γυμναστικήν, καὶ τὴν μὲν ἐπὶ ψυχῇ τὴν δὲ ἐπὶ σώμασι[1], τοὺς δὲ νόμους ταύταιν παιδεύειν τοὺς παῖδας παραγγέλλειν τοῖς πατράσι[2]. Καὶ τῆς μὲν μουσικῆς τὴν ξύμπασαν τῆς ψυχῆς σκοπούσης παίδευσιν, τῆς δ' αὖ γυμναστικῆς τὴν τοῦ σώματος ὑγίειαν, ἀμφοῖν τέλος ὁ καλὸς κἀγαθός ἐστιν ἄνθρωπος, ψυχῇ δῆλον ὅτι εὖ ἔχων καὶ σώματι, καὶ τοῦ ἀγαθοῦ πρακτικός. Στράβων δὲ τούτοις ξυνῳδὰ ποιητικῇ φησι τὰς Ἑλλήνων πόλεις τοὺς παῖδας παιδεύειν πρώτιστα σωφρονισμοῦ καὶ οὐ ψυχαγωγίας ψιλῆς ἕνεκα[3]. Πρὸς ἃ γὰρ ἡδέως ἡ αἴσθησις ἐνεργεῖ, ταῦτα μάλιστα καὶ τῇ φαντασίᾳ εὐτύπωτα καὶ τῇ μνήμῃ πρόχειρα διά τε τὸ τερπνὸν τοῦ λόγου καὶ θελξίνουν γίγνεται. Διό περ ἡ ποιητικὴ μέτροις τε καὶ μέλεσι χρωμένη κηλεῖν τὴν ψυχὴν οἵα τε, εἰς δ' ἀρετὴν ῥᾷον ἄγει καὶ ἡδονικώτερον διατίθησιν ἁρμονικωτέραν πως αὐτὴν ἀποδεικνῦσα. Οἱ δὲ γραμμάτων τὸ πάλαι διδάσκαλοι ὥς φησι Πλάτων ἐπὶ τῶν βάθρων τοῖς παισὶ ποιητῶν ἀγαθῶν ποιήματ' ἀναγινώσκειν παρετίθεσαν ἐμμανθάνειν ἀναγκάζοντες, ἐν οἷς πολλαὶ μὲν νουθετήσεις, πολλαὶ δὲ καὶ διέξοδοι ἔνεισι καὶ ἐγκώμια ἀνδρῶν ἀγαθῶν, ἵν' ὁ παῖς ζηλῶν μιμῆται καὶ τοιοῦτος γενέσθαι ὀρέγηται[1].

Εἰ τοίνυν οἱ Ἕλληνες ἀπὸ τῶν ποιητῶν τῆς παιδείας τὴν ἀρχὴν ἐβάλλοντο, δικαίως ἄν τις, οἶμαι, νομίσειεν αὐτοὺς τὸν Ὅμηρον πρώτιστα εἰς ἀνάγνωσιν παρατίθεσθαι καὶ ἀρετῆς παράδειγμα προβάλλεσθαι. Εἰ γάρ ὁ ποιητὴς τὸν αὐτῷ ἄριστον ἐν ἀνθρώποις δοκοῦντα βίον διδάξαι προὐχειρίσατο, τούτου χάριν Ἡράκλειτος μὲν ἀρχηγὸν πάσης σοφίας ἐκάλει τὸν Ὅμηρον[2], Ἀναξαγόρας δὲ καὶ τῶν Σωκρατικῶν ἔνιοι βίβλον ἠθικῆς τὸν ἀοιδὸν ὑπέλαβον[3], τὴν δὲ ποίησιν αὐτοῦ ὁ Κλαζομένιος ἡγεῖτο φιλόσοφος περὶ ἀρετῆς εἶναι καὶ δικαιοσύνης[4]. Ἐν δὲ τοῖς καθ' Ἑλλάδα σχεδόν τι πᾶσαν ῥαψῳδῶν ἀγῶσιν, ἔνθ' οὗτοι τὰ θ' ἑαυτῶν καὶ τὰ Ὁμήρου ἐρραψῴδουν ἔπη, καὶ Ὅμηρόν ποτε πρὸς Ἡσίοδον μυθικώτερον μᾶλλον ἢ ἀληθέστερον ἀγωνίσασθαι λέγεται[5], Ἀθήνῃσι δὲ ἄλλοι τε καὶ τὰ μεγάλα καθειστήκεσαν Παναθήναια, ἐν οἷς Σόλωνος καὶ Πεισιστράτου καὶ Ἱππάρχου τοῦ υἱοῦ διαταξάντων τὰ Ὁμήρου ἐρραψῳδοῦντο ἔπη ψυχαγωγίας ἅμα καὶ τῶν πρεσβυτέρων διδασκαλίας ἕνεκα[1]. Καὶ ὕστερον δὲ πολλῷ τὰ ἔπη ἀνάγνωσμα τοῖς ἐπὶ διδασκαλεῖα φοιτῶσιν ἦν ἐν τοῖς μάλιστα, ἃ καὶ ἀποστοματίζειν ὤφειλον, πρὸς δὲ τὰ Ἡσιόδου *Ἔργα* καὶ τὰς Θεόγνιδος *Γνώμας* καὶ εἴ τι πρὸς τὸ κρεῖττον τοῦ ἤθους ῥυθμιστικὸν ἐδόκει εἶναι καὶ πρόσφορον. Εἰ δὲ Πλάτων τὸν Ὅμηρον ἔρωτας θεῶν καὶ μάχας εἰσάγοντα καὶ ἄλλ' ἄττα ἔλαττον τοῦ κοσμίου ἐχόμενα τῆς πολιτείας ἐκβάλλει, οὐδὲν τούτου γ' ἕνεκα πρὸς ἔπος[2]. Ἀριστοτέλης γὰρ Ἀλεξάνδρῳ τὴν ἀπὸ τοῦ νάρθηκος λεγομένην τοῦ Ὁμήρου ἔκδοσιν ἐποιήσατο πολεμικῆς τε καὶ τῆς ἄλλης πολιτικῆς ἀρετῆς μέγα τὸν ἀοιδὸν ἡγούμενος τῷ βασιλεῖ ἐφόδιον, ἰδίᾳ δὲ τὴν Ὀδύσσειαν ἀποκαλῶν καλὸν ἀνθρωπίνου βίου κάτοπτρον[3].

Οἱ δὲ μετ' Ἀλέξανδρον τὴν μελέτην αὐτοῦ ἀρχὴν νειμάμενοι, Λαγίδαι τε καὶ Σελευκίδαι καὶ Ἀτταλίδαι πρὸς τὴν τῶν λόγων δόξαν ἀντιφιλοτιμούμενοι Μουσῶν ἱδρύσαντο καταγώγια, ἄνδρας δὲ σοφοὺς τὸ τηνικαῦτα ἐς πλῆθος ἐν ταῖς μητροπόλεσι ξυνέλεγον, τὴν πάλαι καθ' Ἕλληνας σοφίαν θεραπεύοντες, καὶ ταῖς Πιερίσιν ἀποπτῆναι βουλομέναις τῶν ἀρχαίων οἰκήσεων μέγαρα εὐρέα καὶ αἰγλήεντα ἐν τόποις, ἔνθ' ἄλλοτε θῖνες ἦσαν ἄνυδροι καὶ θηριώδεις εἰς ξενίαν παρέχοντες, καὶ τὸ τῶν Ἑλλήνων ὡς ἀληθῶς ὄνομα μηκέτι τοῦ γένους, ἀλλὰ τῆς διανοίας τεκμήριον εἶναι ποιήσαντες. Ἔνθεν τοι ὁ Μελησιγενὴς πάντων μάλιστα ἐθεραπεύετο, οἱ δὲ περὶ Καλλίμαχόν τε καὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη καὶ Ἀρίσταρχον καὶ Κράτητα τῶν περὶ τὸν Ὅμηρον πόνων καὶ τῆς δεινότητος ἕνεκα κλέος ἤραντο ἐς ἀεὶ ἐν δίκῃ γε ἄφθιτον καὶ τοῖς ἐπιγιγνομένοις, ὅσοις ὁμηρικῆς Μούσης ἐμέλησε, κανὼν ἐγένοντο ἀπαρέγκλιτος.

Εἶτα δὲ τῆς κατὰ Χριστὸν διδασκαλίας κηρυχθείσης τοῖς Ἕλλησι, τῶν δ' ἀρχαιοτέρων πάντων μονονοὺ πολεμίως τοῖς καινοῖς ἐχόντων δόγμασι, φοβεροῦ δ' ἐγερθέντος χειμῶνος καὶ τἀκ παλαιοτάτου ἱερώτερα κατακλύσειν ἀπειλοῦντος, ἀπινὴς ὁ Ὅμηρος ἀνέκυψεν, οὐ μὴν ἀλλὰ καὶ τοὐντεῦθεν ἀρετῆς διδάσκαλος ἦν παρὰ πᾶσι τῆς αὐτῆς ὡς πάλαι τυγχάνων θεραπείας, πλὴν εἰ μή τι τοῖς κατὰ Χριστὸν ἀπῴδοι ἤθεσι, καθάπερ ὁ πολὺς τήν τε θύραθεν καὶ τὴν ἔσω σοφίαν Βασίλειος τοῖς νέοις παραινεῖ ὅπως ἂν ἐκ τῶν ἑλληνικῶν ὠφελεῖσθαι λόγων ἔχοιεν[1]. Καὶ ἄχρι δεῦρο τοῦ πνεύματος πάμπαν καταστάντος ἐν τοῖς ἐλευθερίοις μελετήμασι τὰ ἔπη προὐργιαίτατον τυγχάνει χρῆμα, ὡς δ' εἰπεῖν πάντες οἳ τήν θ' ἑῴαν καὶ τὴν ἑσπερίαν οἰκεῖν λελόγχασιν ἐντρύφημα προβάλλονται ἥδιστον.

Καὶ τούτων μὲν οὕτως ἐχόντων, τῶν δὲ χθὲς καὶ πρώην εἰρημένων τοῖς ὁμηρολογοῦσι περί τε τοῦ θείου ἀοιδοῦ καὶ τῆς τῶν ἐπῶν συστάσεως παραλειπομένων, τῆς καθ' Ὅμηρον Ἠθικῆς πέρι ἐχόμενόν ἐστι λέγειν.

Πᾶσα τέχνη ὁ ἐκ Σταγείρων ἔφη φιλόσοφος καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινος ἔφίεσθαι δοκεῖ, διὸ καλῶς ἀπεφήναντο τἀγαθόν, οὗ πάντ' ἐφίεται[2]. Ζῆν δ' ὁ ἄνθρωπος ἐν κοινωνίᾳ τῶν ὁμοίων πεφυκὼς πράττει μὲν καθ' αἱρεσιν, τῶν δὲ πρακτῶν τέλος τυγχάνει τἀγαθόν, τῶν δ' ἀγαθῶν πάντων ἀκρότατον ἡ εὐδαιμονία, ἣ τό τ' εὖ ζῆν καὶ εὖ πράττειν ταύτὸν ὑπολαμβάνουσιν[3]. Ἡ δὲ εὐδαιμονία ψυχῆς ἐνέργειά ἐστι κατ' ἀρετὴν τελείαν, τὴν τῆς ψυχῆς δῆλον ὅτι καὶ οὐ τοῦ σώματος, τὸ κατ' ἀρετὰς δῆλα δὴ ζῆν, ἐπεὶ καὶ ἡ εὐδαιμονία ψυχῆς ἐνέργεια. Δύο δὲ μάλιστα τὸν ἄριστον ἀπεργάζεται καὶ εὐδαίμονα, πρᾶξις καὶ θεωρία, ὧν ἡ μὲν τῷ σώματι, ἡ δὲ τῇ ψυχῇ κατορθοῦται· καὶ ἡ μὲν εὐπειθὲς τὸ σῶμα τῷ λόγῳ ἀποδείκνυσιν, ἡ δὲ τὴν ψυχὴν καθαίρει καὶ ὁρᾶν ποιεῖ τὴν ἀλήθειαν. Διό περ καὶ ἡ ἀρετὴ διχῇ κατὰ τὸν αὐτὸν διορίζεται φιλόσοφον διδακτικὴ τυγχάνουσα καὶ ἠθική· ὧν ἡ μὲν ἐκ διδασκαλίας τὸ πλεῖον τήν τε γένεσιν ἔχει καὶ τὴν αὔξησιν, ἡ δὲ ἐξ ἔθους περιγίγνεται, ὅθεν καὶ τοὔνομ' ἔσχηκε μικρὸν ἀπὸ τοῦ ἔθους παρεκκλῖνον. Τοῦ δ' ἔθους ἕξεώς τινος οὔσης, εὖ πρός τι ἔχειν δῆλον ὅτι ἡ κακῶς, τὸ μὲν μήτε πρὸς ὑπερβολὴν ἐστι μήτε πρὸς ἔνδειαν, ἀλλὰ πρὸς μεσότητα τῶν τοιούτων, καθ' ἃ ἐπαινετοί λεγόμεθα, τὸ δ' ἔμπαλιν· διόπερ καὶ τῶν ἕξεων τὰς ἐπαινετὰς ἀρετὰς καλεῖν εἰώθασιν, ἀφ' ὧν ἀγαθοί ἄνθρωποι γίγνονται καὶ εὖ τὰ αὑτῶν ἔργ' ἀποδιδοῦσιν. Ὁμοίως δὲ καὶ Πλούταρχος τὰς ἠθικὰς ἀρετὰς οὐ πολὺ τῶν ἐθικῶν εἴτ' ἐξ ἔθους ἀφεστώσας φησίν, οἷον ἔθει περιγιγνομένας, αἷς τὸ ἀγαθὸν ἢ κακὸν ἄνθρωποι πράττουσιν[4].

---

1) Πλάτ. Πολιτ. Β', σελ. 376.
2) Πλάτ. Κρίτ. σελ. 159.
3) Στράβ. Ι, σελ. 15 καὶ ἑφεξ. πρβλ. Πλουτ. περὶ τοῦ Πυθ. χρηστηρίου σελ. 406.

1) Πλάτ. Πρωταγ. σελ. 325.
2) Ἡράκλειτ. Ἀλληγορ. 34.
3) Διογ. Λαερτ. ΙΙ, 11.
4) Αὐτόθι.
5) Πλουτ. Συμπεσ. φιλοσόφ. σελ. 153 καὶ ἑφ.

1) Αὐκούργ. κατὰ Λεωκράτ. σελ. 161. Πλούτ. Σόλ. 2.
2) Πλάτ. Πολιτ. Β', σελ. 377 καὶ ἑφ.
3) Πλούτ. Ἀλιξ. κεφ. Η', Ἀριστ. Ῥητ. ΙΙΙ, 3.

1) Βασιλείου τοῦ Μεγάλου Παραίνεσις πρὸς τοὺς νέους, ὅπως ἂν ἐκ τῶν ἑλληνικῶν λόγων ὠφελεῖντο.
2) Ἀριστοτ. Ἠθικ. Νικομ. Α', 1.
3) Αὐτόθι.
4) Πλουτ. περὶ παίδων ἀγωγῆς κεφ. Δ'.

Εἰ οὖν ἔθει φαμὲν τὰς ἠθικὰς ἀρετὰς περιγίγνεσθαι, φέρ' ἴδωμεν ὅπως οἱ καθ' Ὅμηρον Ἕλληνες, οἱ ἥρωες, εἴ τι τῶν κατ' Ἀσίαν ὁμοφύλων ξυναποφέροντες ἐτύγχανον, ἄλλως τραχὺ καὶ βάρβαρον, οὐδ' ὁπωστιοῦν τῆς ἐς ὕστερον αὐτῶν ἐπὶ πλεῖστον ἐπιδούσης παιδείας μετέσχον, ὡς οἱ καθ' ἡμᾶς ἐνδοξολογοῦντες πιθανώτερον μᾶλλον ἢ ἀληθέστερον εἴποιεν, τῷ χρόνῳ μετέβκλον, αὐτοὶ δὲ τὴν πρότερον μεταλλάξαντες δίαιταν ἐπὶ τὸ τρυφερώτερον καὶ ἡμερώτερον μετέστησαν κατὰ μικρὸν ἀποβαλόντες ὅσα τοῖς ἠῶθεν ἰδιάζει καὶ χρονιώτερον παρέμεινε. Διὸ καὶ τὴν παμβασιλείαν ἐκείνων ὡς εἰκὸς πρωΐμως λίαν καταλύσαντες καὶ πατρικῆς μέν, ὡς δ' ἂν εἴποιμεν πατριαρχικῆς, ἀντ' αὐτῆς καὶ ἐπὶ ῥητοῖς γέρασιν, ἀλλ' ἐπιεικοῦς βασιλείας σχόντες[1], τῆς ἐλευθερίας πρώτιστα εἶχοντο, καὶ τὸ περὶ τὸ Θεῖον εὐσεβὲς ἤσκουν καὶ φιλόπατρι καὶ ὅλως τὸ φιλάνθρωπον, ἃ ἀνδράσι πρέπει ἐς παιδείαν ἐπιδεδωκόσιν οὐκ ὀλίγον, καὶ πάντως τοῖς βαρβάροις ἐναντιώτατα ἔχουσιν, ἁπλοῖ τοῖς ἤθεσιν ὄντες καὶ χρηστοί, λέγειν τε καὶ πράττειν εὐθὺς ἐκ παίδων ἐθιζόμενοι καὶ ταῦτα μᾶλλον παραδείγμασι[2]. Πηλεὺς γὰρ Ἀχιλλέα κομιδῇ νέον ὄντα παραδιδοὺς τῷ Φοίνικι λέγειν τε καὶ πράττειν παρηγγύα οἷόν τε γενέσθαι τὸν υἱόν·

«τοὔνεκά μ' ἐπρέηκε, διδασκέμεναι τάδε πάντα,
μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τ' ἔργων».
(Ἰλ. Ι, 442—443).

Περὶ δὲ τὰ οἰκεῖα μᾶλλον σπουδάζοντες, εὐσεβῶς πρὸς γονέας ἔχοντες, ὅλως δ' ἴλαροί καὶ εὔθυμοι, φόρμιγγί τε καὶ ποιήσει τερπόμενοι, παρ' ἀλλήλοις ἀφελέστερον ἐπεμίγνυντο, ξένους δὲ καὶ ἱκέτας καὶ πτωχοὺς μή τι κακὸν ποιήσωσι δεδιότες τοῦ ἀγαθοῦ δοκοῦσιν ἐφίεσθαι καὶ τὰ καθήκοντα πράττειν, ἅπερ τὴν ἀρετὴν συναποτελεῖ, καὶ εἰς εὐδαιμονίαν ἄγει, ἢ τέλος τῶν ἀνθρωπίνων τυγχάνει πράξεων[3]. Ὡς δ' ἔπος εἰπεῖν τοῦ μὲν ἀγαθοῦ πολὺς ἐν τοῖς ἔπεσιν ὁ ἔπαινος, τοῦ δ' αὖ κακοῦ ὁ ψόγος. καθάπερ Πηνελόπη τῷ Ὀδυσσεῖ φησιν·

«ἀνδρῶν δ' ὅσσοι ἄριστοι ἐπικραδάαν δολιχόσκιον ἔγχος
Τρωσὶν ἐνὶ πτολέμῳ, τοὺς οὐκ ἐπιδεύομαι εἰπεῖν·
ἀλλὰ σὺ τοὺς ἀνέρεο καὶ ἐπιφράσσαι σὸν ἐόντα·
ἀνδρῶν δ' οἳ μνηστῆρες ἐμὸν κατὰ δῶμα νέονται,
τῶν οὔτ' ἄρ μιν φάσθαι ἐπιστάμεναι οὔτε τι μυθεῖσθαι
οὐδ' ἐπιβουλεύειν· τοῖον γὰρ ἐπέσσυτο θάρσος ἑκάστῳ».
(Ὀδ. Τ, 221—227).

---

4) Nagelsbach's Die homerisch. Theologie σελ. 274—314.

2) Αὐτόθι σελ. 228—230. Friedreich', Die Realien in der M. und Od. σελ. 154.

3) Παρ' Ὁμήρῳ ἀρετὴ τὴν τοῦ σώματος ῥώμην καὶ ἀνδρείαν ἄλλως δηλοῦν φαίνεται. Ἰλ. Ο, 642. Ἐν Ὀδυσσείᾳ Β, 206 τὰς τῆς ψυχῆς ἀρετὰς τῆς Πηνελόπης· καὶ αλλαχῇ. Ἔμπαλιν δὲ κακία τὴν δειλίαν δηλοῖ, εἶτα δὲ καὶ τὴν τῆς ψυχῆς κακότητα.

«. . . . ἄνθρωποι δὲ μινυνθάδιοι τελέουσιν·
Ὅς μὲν ἀπηνὴς αὐτὸς ἔῃ καὶ ἀπηνέα εἰδῇ,
τῷ δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω.
ζωῷ, ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες.
Ὅς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ καὶ ἀμύμονα εἰδῇ,
τοῦ μέν τε κλέος εὐρὺ διὰ ξένοι φορέουσιν
πάντας ἐπ' ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν ἔειπον».
(Ὀδ. Ι. 328—334).

Εἰ οὖν οἱ ἥρωες παραδείγμασι μᾶλλον χρώμενοι τοῦ σκοποῦ ἐβάλλοντο ἠθικοὶ δὲ ὡς ἂν τανῦν εἴποιμεν ἐγίγνοντο, φέρε σκεψώμεθα ὡς πρὸς Θεοὺς πρῶτον εἶχον, πρὸς οἰκείους εἶτα καὶ ξένους, τὰς λοιπὰς ἀρετὰς ἐφεξῆς συνείροντες.

Α'.

Καὶ πρὸς μὲν τοὺς Θεοὺς εὐσεβῶς λίαν εἶχον οἱ ἥρωες, ἡγεμόνας τῶν πάντων ἡγούμενοι ἑαυτοὺς θ' ὑποχειρίους αὐτῶν, τὰ δὲ παρὰ τὸν βίον πάντα ἐπιτήδεια παρ' αὐτῶν προσδοκῶντες, εὐχαῖς διό περ καὶ δεήσεσι, θυσίαις, καὶ δὴ ἑκατόμβαις, καὶ σπονδαῖς πάντως ἑκάστοτ' ἐπειρῶντο ἱλάσκεσθαι. Πάντα γὰρ ἐκ Διὸς ἢ ἐκ Θεῶν ἤρχοντο, ἐν πᾶσι δὲ Διὸς ἐτελείετο βουλή, ἔν τε κακοῖς καὶ ἀγαθοῖς, πάντα δὲ Θεῶν ἐν γούνασι κεῖται, πάντα τοῖς Θεοῖς ἀποκείμενα οἰόμενοι. Ὁ Ζεὺς «πατὴρ ἀνδρῶν τε Θεῶν τε»[1] καλεῖται ἀκύδιστος καὶ μέγιστος»[2], οὗ τὸ κράτος ἐπὶ μέγιστον.

Αὐτὸς δὲ καὶ πάντα τοῖς ἀνθρώποις κατὰ τὸ δοκοῦν ἔνεμεν. Διόπερ εὐχαῖς, θυσίαις καὶ τοῖς παρεπιδημίοις ἐπειρῶντο ἱλάσκεσθαι, καὶ τοῦ εὐσεβῶς πρὸς αὐτοὺς ἔχοντος οὐκ ἐπελανθάνοντο. Οἱ δὲ Θεοὶ καίπερ ἀλλήλοις πολλάκις πολεμίως ἔχοντες, ἀλλὰ γοῦν δίκαιοι φαίνονται. Φειδοὶ δέ πως τἀγαθὰ τοῖς ἀνθρώποις δοκοῦσι παρέχεσθαι· δύο γάρ πίθοι τῶν δώρων παρὰ τῷ Διὶ τυγχάνουσιν ὄντες, ὁ μὲν τῶν ἀγαθῶν, ὁ δ' αὖ τῶν κακῶν[3].

Τοῖς Θεοῖς δ' ὤφειλον θαρρεῖν καὶ πείθεσθαι καὶ τὰ προστεταγμένα τελεῖν ὡς οἷόν τε μάλιστα, ὡς Ἀχιλλεὺς τῇ Ἀθηνᾷ φησι λῦσαι τὴν ἔριν καταβᾶσῃ οὐρανόθεν, ἅ μοι ἐπιτάττεις τελεῖν με δεῖ, καίπερ ὠργισμένον· τοῦτο γάρ ἐστιν ἄμεινον· καὶ γὰρ οἱ Θεοὶ ἐκείνου ἀκούουσι μάλιστα, ὃς τοῖς αὑτῶν προστάγμασι πείθηται[4]. Τούτου δ' ἕνεκα μάλα ηὐλαβοῦντο μὴ τὴν Θεῶν ὀργὴν ἐπισπάσωνται, καὶ ταῦτα εὐτυχοῦντες, ὡς περ ὁ Πηλεύς, ᾧ καίτοι πολλ' ἀγαθὰ ἔχοντι οἱ Θεοὶ διὰ φθόνον μή τι ὑπὲρ ἄνθρωπον φρονῶν

---

4) Ὀδυσ. Α, 28. 3) Ἰλ. Ω, 525-532.
2) Ἰλ. Β, 412. 4) Ἰλ. Α, 216-218.

φανείη ἕνα υἱὸν ἔδωκαν καὶ τοῦτον ταχυθάνατον[1]. Ταὐτά που καὶ Πηνελόπη τῷ Ὀδυσσεῖ φησιν οἴκαδε νοστήσαντι, τοὺς Θεοὺς δῆλα δὴ τὰ δεινὰ πέμψαι διὰ φθόνον αὐτοῖς λιπαρῶς γηρᾶναι μέλλουσι, παρ' ἀλλήλοις μένουσι καὶ ὁμοφροσύνῃ βιοῦσιν[2].

Οἱ Θεοὶ ὀργιζόμενοι νόσον καὶ πόλλ' ἄλλα ἔπεμπον κακά, καθάπερ τῷ Βελλεροφόντῃ, ὃς ἀπεχθὴς αὐτοῖς γενόμενος ἐπλανᾶτο μόνος, τρυχόμενος εἰς πεδίον τὸ Ἀλήϊον[3]. Καὶ τοῖς τῶν θυσιῶν, σπονδῶν, ὡς δ' εἰπεῖν ἃ τοῖς Θεοῖς προσήκει δίδοσθαι, ὀλιγωροῦσιν ἐδυσχέραινον καὶ ζημίας ἐπετίθεσαν, ὡς τοῖς Ἀχαιοῖς τὸ τεῖχος ἐν Τροίᾳ ἱδρύσασι καὶ τὰς ἑκατόμβας μὴ θύσασι· διὸ τό τε τεῖχος καὶ ἡ τάφρος ἐπὶ πολὺ ἀντισχεῖν οὐκ ἴσχυσαν[4]. Ὡσαύτως δὲ Μενέλαος τῶν τοῖς Θεοῖς ἐν Αἰγύπτῳ καθηκόντων ὀλιγωρήσας τοῦ νόστου εἴργεται[5]. Τῷ δ' ἀντιστῆναι αὐτοῖς τολμῶντι καὶ θρασύνεσθαι βαρείας τὰς ποινὰς ἐπιτιθέναι ἐφίλουν. Θάρυριν αἱ Μοῦσαι προπετέστερον ἢ κατ' ἄνθρωπον αὐταῖς διαγωνίζεσθαι τολμήσαντα ἐτύφλωσαν καὶ τὴν μουσικὴν ἀφείλοντο[6].

Οὐ μὴν ἀλλὰ καὶ τοὺς Θεοὺς εἰς τὴν γῆν καταβαίνειν καὶ πλανᾶσθαι οἱ ἥρωες ᾤοντο τὴν δικαιοσύνην καὶ ἀδικίαν τῶν ἀνθρώπων ἐποψομένους, τὴν ὕβριν, εὐνομίαν καὶ τὰς πράξεις, καὶ δὴ καὶ συνεστιωμένους τοῖς εὐσεβέσι τήν τε ξενίαν καὶ τὴν ἄλλην ἀρετὴν ἐργαζομένοις. Καὶ ταῖς τῶν ἀνθρώπων ἑκατόμβαις τοὺς Θεοὺς οὐκ ἀπαναίνεσθαι παρεῖναι ἐνόμιζον καὶ μεταλαμβάνειν τό γε κατ' αὐτοὺς τοῖς ὀνητοῖς παρεζόμενοι, Ζεὺς δὲ καὶ Ποσειδῶν πολλάκις πρὸς τοὺς ἀμύμονας καὶ εὐσεβεῖς ἦσαν Αἰθίοπας τῶν θυσιῶν μεταληψόμενοι.

Ὤμνυσαν δ' οἱ ἥρωες Δία, Ἀθηνᾶν, Ἀπόλλωνα καὶ ἑτέρους τῶν Θεῶν ἐπιμαρτυρόμενοι. Τῆς δ' ἑαυτῶν ἀποδημοῦντες ἢ ἑτέρῳ τινὶ ἐπιχειρεῖν βουλόμενοι τὰς χεῖρας ἐνίπτοντο καὶ ἔσπενδον καὶ ἔθυον, τοὺς θεοὺς εὐθὺς ἐξ ἀρχῆς παρασῆναι βοηθοὺς ἐπικαλούμενοι. Νέστωρ πρέσβεις αἱρετοὺς πρὸς Ἀχιλλέα πέμψαι παραινῶν Ἀγαμέμνονι τήν τε μῆνιν ἀποβαλεῖν πείσοντας καὶ τῶν Ἀχαιῶν καμνόντων προκινδυνεῦσαι, ὕδωρ φησὶν ἐνεγκεῖν πρῶτα καὶ Θεοῖς σπεῖσαι, εἶτα δ' ἀπιέναι[7]. Ὡς δ' αὖτως καὶ Ἑκάβη τὸν Ἕκτορος νεκρὸν παρ' Ἀχιλλέως προπέμπουσα τὸν Πρίαμον προπέμπουσα τὸν Ἕκτορος νεκρὸν παρ' Ἀ-

---

1) Ἰλ. Ω, 534-542. 5) Ὀδ. Δ, 351-352.
2) Ὀδ. Ψ, 210-212. 6) Ἰλ. Β, 594-600.
3) Ἰλ. Ζ, 200-202. 7) Ἰλ. Ι, 171-174.
4) Ἰλ. Μ, 3-9.

χιλλέως λυσόμενον, οἶνον τὸ κατ' ἀρχὰς προσήνεγκε τοῖς Θεοῖς σπεῖσαι, εἶτα δ' ἀπιέναι[1]. Τοῦτ' αὐτὸ καὶ πρὸ τῆς μάχης ἐποίουν, τὴν Θεῶν μῆνιν δεδιότες καὶ τὴν βοήθειαν ἐξαιτούμενοι, ὡς περ οἱ Ἀχαιοὶ ἑκατόμβην τε λαμπρὰν ἔθυσαν καὶ Διὶ τερπικεραύνῳ ἔσπεισαν καὶ τοῖς ἄλλοις Θεοῖς, οὕτω δὲ τῆς μάχης κατήρξαντο[2].

Κάν ταῖς πόλεσι δέ, μάλιστα ἐν ἀγορᾷ, βωμοὺς τοῖς Θεοῖς ἵδρυον, ὡς περ οἱ ναυτίλοι Φαίακες τῷ Ποσειδῶνι[3]. Οἶκοι δ' ἕκαστος βωμὸν ἵδρυε Ζηνὸς τοῦ Ἑρκείου, ὡς Ὀδυσσεύς, ἐφ' οὗ ὅ τε Λαέρτης καὶ αὐτὸς τοῖς Θεοῖς οἷά περ ἐκομίζετο ἔθυον[4].

Καὶ τοὺς ἱερεῖς τῶν Θεῶν ἐτίμων καὶ ἐσέβοντο, τὴν δὲ πρὸς αὐτοὺς ἀτιμίαν πολλῶν κακῶν ᾤοντο παραίτιον, ὡς τῶν Θεῶν τοῖς οἰκείοις παρισταμένων ἱερεῦσι. Χρύσην τὸν Ἀπόλλωνος ἱερέα Ἀγαμέμνων ἠτίμασε καὶ πόλλ' ἠπείλησε δεινά, οὐδὲ τὴν θυγατέρ' ἀπέδωκεν, ἃ ἐκεῖνος ἤνεγκε λύτρ' ἀποδεξάμενος. Ὁ δὲ Θεὸς τῶν ἀρῶν ἐπακούσας λοιμὸν τοῖς Ἕλλησιν ἔπεμψε, νόσον βροτολοιγὸν τὰ μάλιστα, ἐξ οὗ τῶν Ἀχαιῶν συχνοὶ ἔθνησκον[5]. Ὀδυσσεὺς δὲ Μάρωνα τὸν ἐν Ἰσμάρῳ ἱερέα τοῦ Ἀπόλλωνος λίαν ἐτίμησε καὶ τοῦ θανάτου ἐρρύσατο αὐτόν τε καὶ τὴν γυναῖκα καὶ τὸν υἱόν[6].

Τὴν δ' ἡλικίαν ἀνδρωθέντες οἱ ἥρωες τοῖς Θεοῖς τὴν κόμην, κόσμου καὶ ἀνδρείας σημεῖον, Θεῷ τινι προστάτῃ ἀνετίθεσαν, ἔσθ' ὅτε δὲ καὶ ποταμῷ, ἅτε δὴ καὶ τούτων Θεοὺς προϊσταμένους οἰόμενοι. Πηλεὺς Σπερχειῷ ποταμῷ τὴν κόμην Ἀχιλλέως τοῦ υἱοῦ ἀναθέσθαι ὑπέσχετο εἰ εὖ οἴκαδε Τροίηθεν ἐπανήει[7].

Β'.

Τοὺς δὲ γονέας λίαν ἐτίμων οἱ ἥρωες, αὐτοῖς ἐν πᾶσιν εἴκοντες καὶ ἀβρυνόμενοι ἀγαθοῖς πατράσιν, ἐπὶ γένει. Ἀχιλλεὺς ἐπ' ἀγαθῷ πατρὶ τῷ Πηλεῖ ἐσεμνύνετο καὶ μητρὶ θεᾷ τῇ Θέτιδι[8]. Πάντες δ' ἐπειρῶντο μὴ καταισχύνειν πατέρων γένος, ἀλλ' ἐφάμιλλοι ταῖς ἐκείνων ἀρεταῖς γίγνεσθαι.

Ἱππόλοχος δὲ Γλαύκῳ τῷ υἱῷ εἰς Τροίαν στρατευομένῳ τοῖς Τρωσὶν ἐπικουρήσοντι ἐπέτελλεν ἀεὶ ἀριστεύειν καὶ τῶν ἄλλων ἀποδεί-

---

1) Ἰλ. Ω, 287-288. 5) Ἰλ. Α, 26-53.
2) Ἰλ. Β, 400-418. 6) Ὀδ. Ι, 195-201.
3) Ὀδ. Ζ, 266-269—Ν, 185-187. 7) Ἰλ. Ψ, 144-149.
4) Ὀδ. Χ, 332-338. 8) Ἰλ. Φ, 109.

κνυσθαι ἐξοχώτερον[1]. Μέγα δ' ἐφρόνει ἐπὶ τῷ ἑκ τοιῶνδε τὰς γονὰς ἔχειν[2].

Ἐκ δὲ τῆς στοργῆς καὶ ὤμνυσαν αὐτούς, ἔτι δὲ τὰς γυναῖκας καὶ τὰ τέκνα. Ἐλπήνωρ τῶν Ὀδυσσέως ἑταίρων οἴνῳ καταληφθεὶς ἐν τῷ κατ' Αἰαίαν, τὴν νῆσον τῆς Κίρκης, μεγάρῳ τῆς στέγης κατέπεσε καὶ οἰκτρῶς τὸν βίον κατέστρεψεν· οἱ δὲ ἀμφ' Ὀδυσσέα μὴ εἰδότες καὶ σπερχόμενοι κατέλιπον ἀποπλέοντες ἄκλαυστον καὶ ἄταφον. Τοῦ δ' Ὀδυσσέως μετ' οὐ πολὺ εἰς Ἅιδου καταβάντος πάντων πρώτιστα προσῆλθεν ἱκνουμένη ἡ Ἐλπήνορος ψυχή· τοῖς μὴ γὰρ ταφῆς ἐν γῇ λαχοῦσιν, οὐκ ἀφῆτο εἰς Ἅιδου εἰσιέναι, ἢ πύλαι ἐνομίζετο. Ταύτην οὖν Ὀδυσσεὺς ἰδὼν ἐδάκρυσε καὶ θυμῷ ἠλέησεν. Ἐλπήνωρ δὲ οἰμώξας τοῦ δ' Ὀδυσσέως δεόμενος καῦσαι εἰς Αἰαίαν ἐπανιόντος καὶ τύμβον χῶσαι, Λαέρτην τὸν πατέρα ἐπώμνυτο, εἶτα δὲ Πηνελόπην καὶ τὸν μόνον υἱόν Τηλέμαχον[3].

Πρίαμος δὲ ἐπὶ τῷ νεκρῷ τοῦ Ἕκτορος τῷ Ἀχιλλεῖ τὸν πατέρα Πηλέα ἐπόρνυσι[4].

Οἱ δ' αὖ γονεῖς σφόδρα πρὸς τὰ τέκνα φιλοπτόργως εἶχον, ὥς γ' ἐκ τῶν Ἕκτορι τοῦ υἱοῦ πέρι Ἀστυάνακτος εἰρημένων ἰδεῖν πάρεστι;[5] κἀκ τῶν Λαέρτῃ πρὸς τὸν υἱὸν Ὀδυσσέα. Ὁ γὰρ εἰς Ἰθάκην ἐλθὼν καὶ πρὸς τὸν πατέρα παραγινόμετος οὐ μέν τοι παραχρῆμ' ἑαυτὸν ἄφηνεν ὑποκρινόμενος ἐκ πόλεως εἶναι Ἀλύβαντος καὶ ὄνομ' αὐτῷ εἶναι Ἐπήριτον υἱὸν Ἀφείδαντος· οἷς ὁ πατὴρ ἤχθετο σφόδρα, ὅτι ὁ ἀνὴρ πάλαι πη τὸν Ὀδυσσέα μὴ εἰδὼς ἐτύγχανεν εἰ ζῴη. Διὸ στενάζων καὶ κόνιν κατὰ κεφαλῆς ἀμφοῖν τοῖς χεροῖν ἔχαινε κλαίων[6].

Ἐπὶ δ' υἱάσιν ἐν πολέμῳ κτεινομένοις μηδ' ἐπανιοῦσιν οἴκαδε οἱ τοκεῖς σφόδρ' ἤλγουν, ὡς Φαίνοψ Ξάνθου καὶ Θόωνος τῶν υἱέων ὑπὸ Διομήδους πεσόντων μέγα ἐπὶ τούτῳ ἐδυσφόρει, ἐπεὶ οὐκ ἐδέξατο αὐτοὺς νοστήσαντας[7]. Τὸν δ' ἀγαθοὺς υἱέας κεκτημένον εὐδαίμον' ὑπελάμβαναν, ὡς περ Νέστορα υἱεῖς ξυνετοὺς ἔχοντα καὶ μαχίμους[8].

Οἱ δὲ μονογενεῖς υἱοὶ ἐκ παλαιτάτου λίαν προσφιλεῖς δοκοῦσιν εἶναι τοῖς γεννήτορσιν. Εὔμαιος ὁ Ὀδυσσέως συβώτης Τηλέμαχον ἐπανελθόντα προσεπτύξατο, οἷα πατὴρ τὸν μόνον ὃν ἔχει υἱόν[9].

Καὶ τοὺς νόθους δὲ ἠγάπων τοῖς γνησίοις ἴσα, ὡς Ἴσον καὶ Κεβριόνην Ἄντιφος καὶ Ἕκτωρ ἠνίοχους εἶχον καὶ ἐφίλουν[1]. Ἴσα δὲ τοῖς γνησίοις ἔτρεφον καὶ ἐφίλουν, ὡς Πήδαιον νόθον υἱὸν Ἀντήνορος ἡ ξενετὴ Θεανώ[2]. Ὡς δ' αὖτως Τεῦκρον καίπερ νόθον ἐπιμελῶς ἔτρεφε Τελαμὼν ὁ πατὴρ ἐν Σαλαμῖνι ἴσα Αἴαντι τῷ γνησίῳ[3].

Οἱ δὲ παῖδες ὤφειλον τὰ θρέπτρα τοῖς τοκεῦσιν ἀποδοῦναι γηράσκουσιν. Ἱππόθους τρωθεὶς ὑπ' Αἴαντος καὶ θνήσκων ἦλγει ἐπὶ τῷ μὴ τὰ θρέπτρ' ἀποδοῦναι εἶναι οἷόν τε[4].

Τῷ δὲ περὶ τοὺς γονέας ἀσεβοῦντι αἱ Ἐρινύες τιμωροὶ εἵποντο, ὥς περ Φοίνικι περὶ τὸν πατέρ' Ἀμύντορα ἀσεβήσαντι οὗτος κατηράσατο, τὰς στυγερὰς ἐπικαλούμενος Ἐρινύας[5].

Γ'.

Τὰς δὲ γυναῖκας ἐφίλουν ὡς μάλιστα Μίαν γυναῖκα, κουριδίην ἄλοχον ἐφίλουν οἱ ἥρωες, Ἀχαιοί τε καὶ Τρῶες, ἄγεσθαι, πλὴν Πριάμου, ὃς πλείους εἶχε, τρόπον δή τινα τὴν μονογαμίαν ἐπιτηδεύοντες, τὸ δὲ παλλακαὶς συνευνάζεσθαι ἀνεκτὸν μέν, ἀλλὰ μέν τοι κακὸν ἐτίθεντο[6].

Παρ' Ὁμήρῳ αἱ γυναῖκες ὅλως μὲν ἧττους τῶν ἀνδρῶν δοκοῦσιν εἶναι, ἅτ' εὐψυχίᾳ καὶ ῥώμῃ ἐνδεέστερον ἔχουσαι, ἀλλὰ μὴν αἰδήμονές εἰσι καὶ κόσμιαι τὰ μάλιστα ὑπὸ τῶν ἀνδρῶν τιμώμεναι καὶ μόνον τοῖς κατ' οἶκον τὸν νοῦν προσέχουσαι καὶ μᾶλλον τῷ τῶν γυναικῶν γένει ἰδιάζουσιν[7]. Ἐν δ' ἀνάγκῃ πιθανῶς αἱ γυναῖκες καὶ τῆς πατρίδος προὐκινδύνευον, ὥς γ' ἐκ τῆς παρ' Ὁμήρῳ Ἀχιλλείας ἀσπίδος τις εἰκάσειε[8].

Τῇ οὕπω τοῦ γάμου γευσαμένῃ νεάνιδι ὁμοφροσύνην ηὔχοντο, ὡς Ὀδυσσεὺς τὸ πρῶτον φανεὶς τῇ Ναυσικάᾳ τὰ κατὰ θυμὸν αὐτῇ ηὔξατο, ἄνδρα δῆλα δή, ὁμοφροσύνην κατ' οἶκον, ἔνθ' ἐννοητέα ἐστὶ τὴν ἐν συζύγοις ὁμόνοιαν, ἐφ' ᾗ οἱ μὲν δι' ἔχθρας ἔχοντες ἄχθονται, οἱ δὲ φίλα φρονοῦντες χαίρουσιν, αὐτοὶ δ' οἱ σύνευνοι περίδοξοι γίγνονται[9].

1) Ἰλ. Ζ, 206-210.
2) Ἰλ. Ζ, 201.
3) Ὀδ. Α, 61-76.
4) Ἰλ. Ω, 486-504.
5) Ἰλ. Ζ, 476-481.
6) Ὀδ. Ω, 302-317.
7) Ἰλ. Ε, 152-158.
8) Ὀδ. Δ, 209-214.
9) Ὀδ. Π, 17-21.

1) Ἰλ. Α, 101 104, Π, 736-739.
2) Ἰλ. Ε, 69-71.
3) Ἰλ. Θ, 281-284.
4) Ἰλ. Ρ, 300 303.
5) Ἰλ. Ι, 453 457. Ἴδε καὶ Ὀδ. Β, 130-137, Λ, 277-280.
6) Ἰλ. Ι, 449-453. Ὀδ. Α, 428 433.
7) Ὀδ. Λ, 356-359.
8) Ἰλ. Σ, 509-516.
9) Ὀδ. Ζ, 180-185.

Ἀμέλει δὲ πολλοὶ τῶν τότε οἶκοι τῆς ὁμοφροσύνης ἕνεκα δῆλοί εἰσι περίδοξοι γενέσθαι, οἷοι Νέστορος, Ὀδυσσέως καὶ Πριάμου. Τοῦ δὲ τῶν ξυνεύνων ἀκράτου ἔρωτος τεκμήριον Ἀνδρομάχη ἡ Ἕκτορος καὶ ἡ Ὀδυσσέως Πηνελόπη, ἃς ἐσαεὶ εἰς μίμησιν καὶ περ ἐπὶ τὸ ἀβρότερον παρέθηκεν Ὅμηρος[1].

Τῆς δὲ σώφρονος Πηνελόπης τὸν Ὀδυσσέα προσδοκώσης, τῶν μνηστήρων μνωμένων καὶ τὴν οὐσίαν ἐσθιόντων, τὸ κλέος, ἀκάμπτου πρὸς πάντας φανείσης, ἱκάνει εἰς οὐρανὸν καθάπερ τοῦ δικαίου βασιλέως, ἐφ' οὗ ἥ τε γῆ τάγαθὰ πάντα φέρει καὶ ἡ θάλασσα, οἱ δ' ἄνθρωποι εὐδαίμονες γίγνονται[2]

Πλὴν δὲ τούτων καὶ πάλλ' ἐστιν ἕτερα, ἃ τὴν συζύγων φιλίαν δείκνυσιν. Ἐν Τροίᾳ τῶν Ἑλλήνων πολεμούντων αἱ γυναῖκες ἐν Ἑλλάδι ὠρρώδουν μή τι δεινὸν πάθοιεν. Θανόντα δέ τινα πυθόμεναι ἤλγουν καὶ ἐκόπτοντο[3].

Θάτερον δὲ τῶν νεογάμων θνήσκοντος καὶ ταῦτα ἐν πολέμῳ ἄλγιστον ἡμῖν πρόκειται δεῖγμα Δηϊδάμεια ἡ γυνὴ Πρωτεσιλάου, ὕστερον παρ' Ἴλλησι τοῦ τῶν συζύγων ἔρωτος γενομένη ξύμβολον[4].

Αἱ ἄκοσμοι γυναῖκες ἔμπαλιν μέμψιν εἶχον πρὸς ἁπάντων[5].

Πλὴν τῶν μυθικώτερον Καλυψοῦς πέρι καὶ Κίρκης εἰρημένων, αἳ τὸν Ὀδυσσέα παρ' ἑκατὶς ἔσχον πόσιν εἶναι λιλαιόμεναι, θεαὶ οὖσαι, αἱ θνηταὶ ἡρῴνας τὴν ἐπιδήμιον φήμην δεδιυῖαι σωφροσύνην ἤσκουν καὶ εἰργάζοντο ὅτι μάλιστα.

Δ'.

Οὐ μὴν ἀλλὰ καὶ τὸ φιλάδελφον πολύ τι φαίνονται ἔχειν οἱ ἥρωες. Ἀγαμέμνων γὰρ σφόδρα φιλεῖ τὸν ἀδελφὸν Μενέλαον δεδιὼς μή τι κακὸν αὐτῷ ξυμβαίη[6]. Ναυσικάαν δὲ τὴν Ἀλκινόου οἱ ἀδελφοὶ χαίροντες, ἐπανιοῦσαν, ἐν προθύροις δέχονται καὶ τὰς ἡμιόνους τῆς ἁπήνης λύουσιν, αὐτὴ δ' αὖ ἀγαλλομένη ἐπὶ τούτῳ εἰσῆλθεν εἰς τὸν θάλαμον[7].

Ε'.

Καὶ τοὺς οἰκείους δ' ἐφίλουν ὡς Πρίαμος τὸν ἀδελφιδοῦν Μελάνιππον καὶ τοῖς υἱάσιν ἐναρίθμιον ἐλογίζετο[1].

Ϛ'.

Οὐδὲν δ' ἔλασσον καὶ τοὺς πρεσβυτέρους ἐτίμων ἐν μοίρᾳ πατέρων τιθέμενοι, τῶν νεωτέρων ξυνετωτέρους, τῶν οἴκων ἀρίστους ἐπάπτας, ἐμπειρίαν κεκτημένους καὶ ἀψευδεῖς. Ὁ Διομήδης κρατερὸς αἰχμητὴς εἶκε πρόφρων Ἀγαμέμνονι ἐπιπλήσσοντι[2]. Οἱ δὲ νεώτεροι τῶν πρεσβυτέρων ἀφρονέστεροι τυγχάνουσι[3]. Μενέλαος δὲ ὅρκια τῶν Ἀχαιῶν καὶ Τρώων ποιῆσαι βουλομένων τοὺς μὲν Πριάμου παῖδας ἐν δίκῃ μεμφόμενος ὑπερφιάλους καλεῖ καὶ ἀπίστους, τοὺς δὲ νεωτέρους καθόλου ἐνδεεστέρους τῇ γε ξυνέσει τῶν γερόντων ἐλογίζετο[4].

Οἱ δὲ πρεσβύτεροι ἀεὶ τῶν νέων προμηθέστεροι τυγχάνουσι καὶ ἐπιμελέστερον τοῖς πράγμασι χρῶνται[5]. Νέστωρ, ὁ λιγὺς τῶν Πυλίων δημηγόρος, αὐτόχρημά ἐστι ξύνεσις, διό περ καὶ ἔξοχα πάντων ἐτιμᾶτο καὶ πάντας νουθετῶν διετέλει τὰ δέοντα, ἀπάντων καὶ αὐτῶν δὴ τῶν ἀρίστων πειθομένων, Ἀχιλλέως καὶ Ἀγαμέμνονος[6]. Ἀντίλοχος δ' ὁ Νέστορος ὡς μέτρια φρονεῖ καὶ αἰδήμων ἐστὶ πρὸς Μενέλαον καὶ τὸ ἆθλον ἀποδίδωσιν αὐτῷ ἑκόντι[7]. Τηλέμαχος δὲ ξὺν Μέντορι ἐλθὼν Πύλονδε ἠδεῖτο τὸν γεραρὸν ἐρέσθαι Νέστορα αἰδήμων τυγχάνων[8]. Ἐπὶ πολὺ δὲ παραμένειν ἐν Σπάρτῃ ἠβούλετο τῆς ξυνέσεως τοῦ Μενελάου ἕνεκα[9]. Καὶ τοῦ Μενελάου κατανεύσαντος λόγους ἰέναι ἄφρονας ἠδεῖτο Τηλέμαχος[10].

Τοὺς πρεσβυτέρους, καὶ πολεμίους τυγχάνοντας, ἐτίμων, ὡς Πρίαμος καίπερ πολέμιος παρ' Ἀχιλέως τιμηθῆναι τοῦ γήρως ἕνεκα ἤλπιζε[11].

Τοὺς δὲ περὶ τοὺς πρεσβυτέρους ἀσεβοῦντας αἱ Ἐρινύες ἐδίωκον[12] τοῖς πατραλοίαις ἴσα καὶ μητραλοίαις. Τὸ δὲ γέροντα σεμνὸν αἰσχυνθῆναι ἡγοῦντο πάντων οἴκτιστον[13]. Οὐ μόνον δ' οἱ νεώτεροι, ἀλλὰ καὶ οἱ θεοὶ τοὺς πρεσβυτέρους ἀνθρώπους τιμᾷν ἐοίκασιν[14]. Καὶ γὰρ τῶν γερόντων ἡ βουλή ἐστι γέρας καὶ ὁ λόγος, ὡς φησι Νέστωρ, τῶν δ' αὖ νεωτέρων τὸ θάρσος

1) Ἰλ. Ζ, 129-132, 448-465. Ἰλ. Χ, 460-470.
2) Ὀδ. Τ, 107 114.
3) Ἰλ. Ξ, 412-415. Ὀδ. Ω, 290-296.
4) Ἰλ. Β, 700-702.
5) Ἰλ. Γ, 172 175.— Ὀδ. Ζ, 286-288.
6) Ἰλ. Δ, 169-171.
7) Ὀδ. Η, 3-7.

1) Ἰλ. Ο, 551.
2) Ἰλ. Δ, 401-402.
3) Ὀδ. Η, 292-294.
4) Ἰλ. Γ, 105-108.
5) Ἰλ. Γ, 109-110.
6) Ἰλ. Α, 286.—Β, 370-374.
7) Ἰλ. Ψ, 586-595.
8) Ὀδ. Γ, 22-24.
9) Ὀδ. Δ, 594-598.
10) Ὀδ. Δ, 157-160.
11) Ἰλ. Χ, 418-422. Ἰλ. Τ, 160-161.
12) Ἰλ. Ο, 204.
13) Ἰλ. Χ, 74-76.
14) Ἰλ. Ψ, 787-788.

καὶ τὸ ἀνδρείως ἐν πολέμοις μάχεσθαι[1]. Ἀλλὰ μὴν καὶ τῶν νεωτέρων τὴν βουλήν, εἰ ἀγαθή, ἡδομένως ἐδέχοντο[2]. Ὀδυσσεὺς νέος ἔτι ὢν εἰς πρεσβείαν, μετὰ χρέος πρὸς Μεσσηνίους ἐστάλη τῆς σωφροσύνης ἕνεκα δίκην ληψόμενος[3].

Ζ'.

Τοὺς δὲ παιδαγωγούς, ἢ διδασκάλους, ὡς ἂν εἴποιμεν, σφόδρ' ἐτίμων τῆς αὐτῆς ἧς αὐτοὶ ἀπήλαυον τιμῆς ἀξιοῦντες κἂν μοίρᾳ πατρὸς ἐτίθεντο. Πρέσβεις πρὸς Ἀχιλλέα τοῦ Ἀγαμέμνονος πέμψαντος Φοίνικα τὸν ἐκείνου παιδαγωγόν, Ὀδυσσέα καὶ Αἴαντα πρὸς τῆς μήνιδος ἀπόρρησιν, ὁ Ἀχιλλεὺς τοὺς ξύντρεις μὲν ἀσπασίως ἐδέξατο, ἰδίᾳ δὲ τὸν Φοίνικα. Ἀπράκτων δ' ἀπιόντων μετὰ τὴν διάλεξιν τὸν παιδαγωγὸν παρ' ἑαυτῷ μεῖναι ἐδείτο, πατέρα προσαγορεύων, καὶ βασιλεύειν ἴσ' αὐτῷ καὶ τῶν αὐτῶν τιμῶν μετέχειν[4]. Καὶ Φοῖνιξ δὲ οὐδὲν ἧσσον τὸν τρόφιμον οἷα πατὴρ ἐφίλει καὶ τούτῳ ἐχρήσατο μεταπεῖσαι πειρώμενος[5].

Η'.

Καὶ τοὺς ἀοιδοὺς παρὰ θεῶν ἡγοῦντο τιμᾶσθαι, ὅς τὴν ἀοιδὴν δῶρον χαρίζονται[6]. Ἀγαμέμνων ἐπὶ Τροίαν στρατεύων ἀοιδῷ τινι τόν τε οἶκον καὶ τὴν γυναῖκα Κλυταιμνήστραν ἐπέτρεψε λίαν τιμωμένῳ[7]. Οἱ δ' ἀοιδοὶ καὶ ἄλλοι δημιουργοί, μάντεις δῆλα δὴ καὶ ἰατροὶ καὶ τέκτονες, παρὰ πᾶσιν ἦσαν ἀσπάσιοι καὶ κλητοὶ ἀνὰ πᾶσαν τὴν ὑφ' ἥλιον[8].

Θ'.

Καὶ τῆς πρὸς τοὺς ἑταίρους φιλίας δείγματα παρ' Ὁμήρῳ περίτρανα πρόκειται. Ὡς δ' ἐν πολλοῖς Ὅμηρος τὰ ἔξοχα τῶν ἀρετῶν προβάλλεται, οἷον δὴ τῆς τῶν συζύγων σχέσεως καὶ τὰ τούτοις παραπλήσια, οὕτω καὶ τῆς τῶν φίλων, οὓς ἐν τοῖς μάλιστα ἐτίθεντο Αἴας ὁ Τελαμώνιος Αυκόφρονα Μάστορος υἱὸν Κυθήριον, πιστὸν ἑταῖρον, ἴσα πατρὶ Τελαμῶνι ἐτίμα[9]. Ἀγαθὸν δ' ἑταῖρον οἷα ἀδελφὸν ἐφίλουν καὶ ἠσπάζοντο[10].

Πλὴν δ' ἑτέρων αὐτὸν δὴ τὸν τῆς Ἰλιάδος ἥρωα, τὸν Ἀχιλλέα, παρέθηκεν Ὅμηρος φιλίας παράδειγμα τῆς ἀρίστης κομιδῇ τὸν ἑταῖρον φιλοῦντα Πάτροκλον, ὃν ἴσα ἑαυτῷ ἐτίμα[1]. Τὸν δ' αὐτοῦ θάνατον παρ' Ἀντιλόχου πυθόμενος βαρέως μάλ' ἤνεγκε καὶ ἦλγει, κόνιν δὲ κατὰ κεφαλῆς βαλὼν καὶ τὸ χαρίεν καταισχύνας πρόσωπον ἐκτάδην ἔκειτο τὴν κόμην τίλλων[2].

Μετὰ δὲ Ἕκτορι Πάτροκλον κτείναντι χαλεπαίνων, ἐφορμᾷ μαινόμενος καὶ κτείνει τὸν πολέμιον, τὸ Τρώων ἔρκος, λαμπρῶς δέ κηδεύει Πάτροκλον καὶ ἄθλα ἐπ' αὐτῷ τίθησι καὶ ἀγῶνας τῶν ἀρίστων ἀγωνιζομένων[3]. Τὰς δὲ τῶν φίλων ὑποθήκας καὶ βουλὰς ἐδέχοντο[4]. Καὶ τοῦ φίλου δεομένου ἤκουον ὥς περ Ἀχιλλεὺς ταῖς Πατρόκλου δεήσεσι πειθόμενος τὴν μῆνιν ἔλυσε καὶ τῶν Ἀχαιῶν προὐκινδύνευσε[5]. Πάτροκλον δὲ πέμπων εἰς μάχην τὴν πανοπλίαν δοὺς ὑπὲρ αὐτοῦ ηὔξατο Διὶ τῷ Δωδωναίῳ[6].

Ὡς δ' Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ θανόντι ἔκλαυσεν, οὕτω καὶ ἐπ' Ἐλπήνορι τῷ ἑταίρῳ Ὀδυσσεὺς τὴν ψυχὴν ἰδὼν ἐν Ἅιδου[7].

Ι'.

Τοὺς δὲ ξένους καὶ πτωχοὺς καὶ ἱκέτας ἠδοῦντο μάλα οἱ ἥρωες· τὸ γὰρ φιλόξενον ἐν τοῖς ἰδιαίτατον αὐτοῖς ἦν ὑπὸ τῶν θεῶν ἐπιταττόμενον. Ἄξυλος ὁ Ἀρισβηθεν τὴν οἰκίαν παρὰ τὴν ὁδὸν ἐδείματο, ἵνα τοὺς παριόντας ῥᾴδιον ἔχοι ξενίζειν[8]. Τοῦ ξένου πάντοτε διαπορευομένου Ζεὺς προίστατο ὁ ξένιος τοὺς περὶ τοὺς ξένους ἀσεβοῦντας τιμωρούμενος μάλιστα, καθάπερ Μενέλαος τοῖς Τρωσὶ μέμφεται τὴν γυναῖκα καὶ τὰ κτήμαθ' ἁρπακόσι καὶ τὴν Διὸς τίσιν παρ' οὐδὲν τεθειμένοις[9].

Ὀδυσσεὺς δ' ἐξ Ὠγυγίας ἐκπλεύσας ναυαγεῖ κατὰ θάλασσαν ὀργῇ τῇ Ποσειδῶνος, γυμνὸς δ' ἐσώθη καὶ τῶν πάντων ἄπορος εἰς Σχερίαν, τὴν τῶν Φαιάκων νῆσον, ὁπηνίκα τὰ ἱμάτια ἐν ποταμῷ ἔτυχε πλύνουσα Ναυσικάα ἡ Ἀλκινόου τοῦ βασιλέως θυγάτηρ μετὰ τῶν ἀμφιπόλων, τοῦ γάμου ἐγγίζοντος· ὃν οὑτωσὶν ἔχοντα ἡ Ναυσικάα ἰδοῦσα παραυτίκα ταῖς περὶ αὐτὴν ἐπιμεληθῆναι τοῦ ἀνδρὸς ἐκέλευσε, βρῶσιν παρασχεῖν, λοῦσαί τε ἐν ποταμῷ, εἶτα δὲ περιβαλεῖν ἱμάτια[10]. Ἐν δὲ Φαίαξι τοῦ Ὀδυσσέως

---

1) Ἰλ. Δ, 322-325. καὶ 487-488.
2) Ἰλ. Ξ, 107-108.
3) Ὀδ. Φ, 16-21.
4) Ἰλ. Ι, 607-619.
5) Ἰλ. Ι, 485-498.
6) Ὀδ. Θ, 479-481
7) Ὀδ. Γ, 267-268.
8) Ὀδ. Ρ, 383 386.
9) Ἰλ. Ο, 437-439.
10) Ὀδ. Θ, 585-586.

1) Ἰλ. Σ, 80-82. ἕως 82.
2) Ἰλ. Σ, 22-27.
3) Ἰλ. Ι, 40-41. — Χ, 131-138, 326-330.
4) Ἰλ. Α, 793.
5) Ἰλ. Π, 33-43, 80 καὶ 487-488.
6) Ἰλ. Π, 233-244.
7) Ὀδ. Α, 55.
8) Ἰλ. Ζ, 12-15.
9) Ἰλ. Ν, 622-625.
10) Ὀδ. Ζ, 206-207.

ξένου τυγχάνοντος προίστατο ἡ Ἀθηνᾶ μή τις τῶν Φαιάκων λόγῳ ἢ ἔργῳ αὐτὸν παραβλάψειεν ἀέρα πολὺν ἐπιχέασα[1]. Αὐτὸς δ' ὁ Ζεὺς προίστατο τῶν ἱκετῶν καὶ ξένων ὀπαδὸς αὐτῶν οἱονεὶ γιγνόμενος. Ὀδυσσεὺς τοῦ Κύκλωπος δεῖται μή τι κακὸν αὐτὸν ποιήσῃ, θεούς, καὶ δὴ τὸν Δία, αἰδούμενος ὃς τιμωρός ἐστι τῶν ἱκετῶν καὶ ξένων[2]. Καὶ ὁ συβώτης Εὔμαιος τῷ Ὀδυσσεῖ ἀγνώστῳ ἔτι τυγχάνοντι ξενίαν παρασχών, ἀνδρὸς ἀγαθοῦ ἔφη τὸ ξένον δέχεσθαι καὶ εὐσεβείᾳ περὶ τοῦτον χρῆσθαι[3].

Καὶ τοὺς πολεμίους ἔστιν ὅτε ἱκέτας ἱκνουμένους ἐξένιζον. Ὀδυσσεὺς καὶ Μενέλαος Τροίηνδε πεμφθέντες πρὸ τῆς μάχης περὶ τῆς Ἑλένης πρὸς Τρῶας διαπραξόμενοι ὑπ' Ἀντήνορος ἐξενίσθησαν[4].

Ξένον δὲ συνήθη καὶ ἐπιφανῆ, πάλαι γνωρίμως αὐτοῖς ἔχοντα, ἄσμενοι ἐδέχοντο. Τηλέμαχος ἐπὶ Πύλον ἀφικόμενος σὺν Ἀθηνᾷ πρὸς Νέστορα περὶ τοῦ πατρὸς πευσόμενος, τὸν γεραρὸν εὗρεν ἄνακτα μετὰ τῶν υἱῶν καὶ ἑταίρων ἐν ἀγορᾷ κρέα ὀβελοῖς διαπείροντα, ὀπτῶντα καὶ δεῖπνον παρασκευάζοντα. Οἱ δ' ἀμφὶ τὸν Πυληγενέα ἄνακτα ἕδραμον τοῖς ξένοις ὑπαντήσοντες καὶ τῆς χειρὸς ἁψάμενοι ἐκάθιζον, κρέα δὲ καὶ οἶνον ἐδίδοσαν, εἶτα δ' ἐπυνθάνοντο τίνες ἂν εἶεν· καὶ εἰ λῃσταί εἰσιν, ὡς τὸ τηνικαῦτα οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τ' ἐπιμελὲς εἴη εἰδέναι οὐκ ἀνειδιζόντων[5].

Τῷ δὲ Τηλεμάχῳ ὅς τις ἦν εἰπόντι καὶ ὅτου χάριν τὸν πλοῦν ἀνείλετο, ἵνα δῆλον ὅτι τοῦ πατρὸς πέρι πάλαι οἰχομένου τι μάθοι, ὅπου εἴη, ὁ Νέστωρ ὅσ' εἰδὼς ἐτύγχανεν ἔλεξεν, εἶτα δὲ ἑσπέρας γενομένης εἰς οἶκον ἦγε ξενίσων τῆς Ἀθηνᾶς ἀποπτάσης. Καὶ δὴ ἠγείτο μὲν Νέστωρ, οἱ υἱεῖς δ' εἵποντο καὶ γαμβροί[6]. Εὐθέως δ' ὁ γέρων ἐτῶν ἕνδεκα οἶνον τῷ ξένῳ ἐνεγκεῖν τοῖς θεράπουσιν ἐκέλευσε τὸ πρῶτον ἤδη τὸν πίθον ἐκεῖνον ἀνοίξασι[7].

Τοὺς ξένους δ' ἐν ἀσαμίνθῳ ἔτι ἔλουον καὶ ἱμάτια ἐνέδυον εἶτ' αἱ δμωαί, ὡς ἐν Σπάρτῃ παρὰ Μενελάῳ ὁρῶμεν[8] καὶ ἄλλοθι παρ' Ὁμήρῳ, καὶ αὗται ἔτι τῶν ἀνάκτων αἱ θυγατέρες, ὡς Τηλέμαχον ἐν Πύλῳ παρὰ Νέστορι ἡ καλὴ Πολυκάστη τῶν θυγατέρων Νέστορος νεωτάτη καὶ καλλίστη, ὡς οὔπω αἰσχύνην τοῦ ἔργου τούτου φέροντος[1].

Ἕωθεν δ' ὁ Νέστωρ τοῦ ὕπνου ἐγερθεὶς καὶ ἐξελθὼν τῶν θυρῶν ἔμπροσθεν καθέζετο ἐπὶ λίθων ξεστῶν λευκοτάτων, ἔνθ' ἄλλοτε Νηλεὺς ὁ πατήρ, περὶ δὲ οἱ υἱεῖς ἀθρόοι παρεγένοντο τῶν θαλάμων ἐξελθόντες. Τοῦ δὲ πατρὸς κελεύσαντος ὁ μὲν βοῦν ἀγαγεῖν ἀπῄει θῦσαι τῇ Ἀθηνᾷ καὶ αὐτοὺς ταρπῆναι, ὁ δὲ τοὺς Τηλεμάχου ἑταίρους ἀπὸ τῆς νηὸς οἴκαδε, ὁ δὲ χρυσοῦργὸν τὰ κέρα ἐπίχρυσα ποιῆσαι τοῦ θύματος, ὁ δὲ τοῖς οἴκοι τράπεζαν παραθέσθαι λαμπράν[2].

ἀκασκαῖόν τ' ἄγαλμα πλούτου,
μαλθακὸν ὁμμάτων βέλος,
δηξίθυμον ἔρωτος ἄνθος·
παρακλίνασ' ἐπέκρανε δὲ γάμου πικρὰς τελευτάς,
δύσζορος καὶ δυσόμιλος συμένα Πριαμίδαισιν,
πομπᾷ Διὸς ξενίου
νυμφόκλαυτος Ἐρινύς. (Ἀγαμ. 737—).

Ἐν πᾶσι τούτοις τοῖς χωρίοις οὐδαμοῦ ὑπεροχή τις φαίνεται τῶν Μοιρῶν, τῶν θεῶν δεσποζουσα, ἀλλὰ τοὐναντίον αὗταί τε καὶ αἱ Ἐρινύες, καὶ ἡ Ἄτη καὶ ὁ Ἀλάστωρ ἢ κακὸς δαίμων εἰσὶν ὑποδεέστεροι τῶν Θεῶν· καὶ ἂν ποτε ἐρίσωσιν ὑπὲρ τῶν καταπατουμένων ὑπό τινος τῶν θεῶν προνομιῶν αὐτῶν, ὡς αἱ Ἐρινύες

πρὸς τὸν Ἀπόλλωνα, νικῶνται καὶ ὑποχωροῦσιν. Ὁ δὲ Αἰσχύλος καὶ τὸ ὑπέρμορον δέχεται, ὡς ὁ Ὅμηρος, ὅτι δηλαδὴ τὸ ὁρισθὲν ὑπὸ τῆς Μοίρας γίνεται ταχύτερον τοῦ ὁρισθέντος χρόνου, ὅταν ὁ ἄνθρωπος, ὡς ὁ Αἴγισθος καὶ ὁ Ξέρξης, σπεύδῃ πρὸς τὴν ἑαυτοῦ καταστροφήν, ἢ ἀναβάλλεται τῇ παρεμβάσει θεοῦ τινος. Ὁ Δαρεῖος λέγει, ὅτι χρησμοὶ προεῖπον τοῖς Πέρσαις πεπρωμένας δυστυχίας, ἀλλ' ἐνόμιζεν, ὅτι αὗται μετὰ πολὺν χρόνον γενήσονται, ἐνέσκηψαν δὲ ταχύτερον διὰ τὴν ὑπερηφίαν τοῦ υἱοῦ αὐτοῦ·

φεῦ, ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις, ἐς δὲ παῖδ' ἐμὸν
Ζεὺς ἐπέσκηψε τελευτὴν θεσφάτων· ἐγὼ δὲ που
διὰ μακροῦ χρόνου τάδ' ἠῦχουν ἐκτελευτήσειν θεούς·
ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς συνάπτεται.
(Πέρσ. 729—).

Αἱ δὲ Εὐμενίδες μέμφονται τῷ Ἀπόλλωνι ὅτι παρέπεισε τὰς Μοίρας ἀναβαλεῖν τὸν θάνατον τοῦ Ἀδμήτου·

Τοιαῦτ' ἔθρασας καὶ Φέρητος ἐν δόμοις,
Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.
(Εὐμεν 723—).

Ἀλλὰ τότε πῶς ἐγεννήθη τὸ φρόνημα, ὅτι ἐν ταῖς τραγῳδίαις τοῦ Αἰσχύλου ὑπερτάτη δυναμίς ἐστιν ἡ Μοῖρα, θεῶν τε καὶ ἀνθρώπων δεσπόζουσα;

Πόθεν ἐπιστεύθη ὅτι ἡ Μοῖρα κυριαρχός ἐστι δέσποινα τῶν τραγῳδιῶν τοῦ Αἰσχύλου.

§ 39. Ἐκ τῶν ἓξ αἰτιῶν κατ' ἐμὴν κρίσιν, ἃ Αἰσχύλος ἐπεχείρησε δραματοποιῆσαι καὶ μύθους παναρχαίους μέχρι τῶν χρόνων ἀνερχομένους, καθ' οὓς ὁ Ζεὺς ἀνέλαβε τὴν ἀρχὴν καὶ ἀπήτει ὑπακοὴν παρὰ πάντων, ἀρχαίων τε καὶ νέων θεῶν· εἰς τῶν παναρχαίων τούτων μύθων ἐστὶ καὶ ὁ τῆς τριλογίας τοῦ Προμηθέως. Ὁ Προμηθεύς, καίπερ Τιτάν, ἀπεχωρίσθη ἀπὸ τῶν Τιτάνων κατὰ τοῦ Διὸς ἐπαναστάντων καὶ σὺν τῇ μητρὶ αὐτοῦ προσεχώρησε τῷ Διΐ· ἀλλὰ χάριν τῶν ἀνθρώπων ὑπὸ τὴν δυσμένειαν αὐτοῦ ὑπέπεσε, καὶ ἀπὸ συμπαθοῦς φίλου ἀσπονδος ἐγένετο ἐχθρὸς αὐτοῦ, διότι οὐδέποτε παρὰ τοῦ Διὸς περιέμενε τοιαύτην πρὸς αὐτὸν διαγωγήν. Ὁ Προμηθεὺς σταυρωθεὶς κατ' ἐντολὴν τοῦ Διὸς ὑπὸ τοῦ Ἡφαίστου ἐπί τινος ἀποκρήμνου φάραγγος τῆς Σκυθίας, ἀποχωρήσαντος τούτου μετὰ τοῦ Κράτους καὶ τῆς Βίας, μένων μόνος τὴν τύχην αὐτοῦ ἀπολοφύρεται, πρὸς τὰ στοιχεῖα τῆς φύσεως ἀποτεινόμενος, διότι οὐδεὶς τῶν Ὀλυμπίων θεῶν φόβῳ τοῦ Διὸς συμπαθεῖ αὐτῷ·

ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαὶ
ποταμῶν τε πηγαὶ ποντίων τε κυμάτων
ἀνήριθμον γέλασμα, παμμῆτόρ τε γῆ,
καὶ τὸν πανόπτην Ἡλίου κύκλον καλῶ·
ἴδεσθέ μ' οἷα πρὸς θεῶν πάσχω θεός.

Εἶτα στρέφων τὸν λόγον πρὸς ἑαυτὸν ζητεῖ ἐξ ἑαυτοῦ παραμυθίαν, διότι πάντα προεπίσταται τὰ συμβησόμενα αὐτῷ κατὰ τὰ μυριοετῆ δεσμά, πρέπει δὲ μεθ' ὑπομονῆς φέρειν τὸ πεπρωμένον, ὅπερ ἄφυκτον·

πάντα προεξεπίσταμαι
σκεθρῶς τὰ μέλλοντ', οὐδέ μοι ποταίνιον
πῆμα οὐδὲν ἥξει· τὴν πεπρωμένην δὲ χρὴ
αἶσαν φέρειν ὡς ῥᾷστον, γινώσκοντ' ὅτι
τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος.

Ἐν τούτοις γίγνεται τὸ πρῶτον μνεία τῆς Μοίρας· πρὸς δὲ τὸν χορὸν τῶν Ὠκεανίδων παραινοῦντα αὐτῷ μετριωτέραν ἔχειν γλῶσσαν ὅπως κατορθωθῇ συνδιλλαγὴ αὐτοῦ τῷ Διΐ, ἀποκρίνεται (στίχ. 511—519)·

οὐ ταῦτα ταύτῃ Μοῖρά πω τελεσφόρος
κρᾶναι πέπρωται· μυρίαις δὲ πημοναῖς
δύαις τε καμφθεὶς ὧδε δεσμὰ φυγγάνω.
τέχνῃ δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ.
Χο. Τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;
Πρ. Μοῖραι τρίμορφοι μνήμονές τ' Ἐρινύες.
Χο. Τούτων ἄρα Ζεὺς ἐστιν ἀσθενέστερος.
Πρ. Οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.
Χο. Τί γὰρ πέπρωται Ζηνὶ πλὴν ἀεὶ κρατεῖν;

Ὁ χορὸς καὶ αὖθις συμβουλεύει τῷ Προμηθεῖ μετριοφροσύνην, ὅπως μὴ καθ' ἑαυτοῦ βαρυτέρας ποινὰς ἐπισύρῃ· ὁ δὲ Τιτὰν περιφρονεῖ τῶν τιμωριῶν·

τί δ' ἂν φοβοίμην ᾧ θανεῖν οὐ μόρσιμον;
Χο. Οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί.
Πρ. Σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί.
Ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.

Ταῦτά εἰσι τὰ χωρία[1] ἐν οἷς ἡ Μοῖρα κηρύσ-

1) Ἐν ἑτέρῳ χωρίῳ (στίχ. 803—895) ὁ Χορὸς τῶν Ὠκεανίδων ὁρῶν τὰ ἐκ τοῦ ἔρωτος τοῦ Διὸς δεινὰ τῆς Ἰοῦς παθήματα εὔχεται ἵνα μηδέποτε αἱ σεμναὶ Μοῖραι ἴδωσιν αὐτὴν ἄλοχον τοῦ Διός·

μήποτε μήποτέ μ' ὦ
πότνιαι Μοῖραι λεχέων Διὸς εὐνάτειραν ἴδοισθε
πέλουσαν.

εὔχεται δὲ πρὸς τὰς Μοίρας, διότι αὗται ἦσαν νυμφαγωγοὶ ἐν τοῖς γάμοις, ὡς εἴρηται (§ 32 Σελ. 129).

σεσαι ὑπὸ τοῦ Προμηθέως ὑπερτέρα ἑαυτοῦ καὶ τοῦ Διός. Ἀλλὰ ταῦτα ἀρκοῦσιν ἵνα εἴπῃ τις, ὅτι «ἡ Μοῖρα, καίπερ ἀόρατος, ὄντως ἐστὶ τὸ παρὸν πάντοτε πρόσωπον, ὁ Πρως τῆς τραγῳδίας ταύτης;» οὐδαμῶς· ἄν τις ἐξετάσῃ τὴν πορείαν τῆς τραγῳδίας, εὑρήσει ὅτι ἡ Μοῖρα μνημανεύεται μᾶλλον χάριν τοῦ συνδέσμου καὶ τῆς συγκρατήσεως τῆς τριλογίας, ἐν δὲ τῇ πράξει ὅλως ξένη μένει· ὁ ἥρως τοῦ δράματός ἐστιν ἡ ἀγέρωχος καὶ σιδηρόφρων θέλησις τοῦ Προμηθέως ἀντιμαχομένη πρὸς τὴν ὑπέροχον θέλησιν τοῦ Διός, καὶ οὔτε ὑπὸ τοῦ ὑπάτου τῶν θεῶν δεσποζομένη, οὔτε ὑπὸ τῆς Μοίρας.

Ὁ Προμηθεὺς ὁμολογεῖ ὅτι ἑκὼν ἥμαρτε κλέψας τὸ πῦρ ἐκ τοῦ οὐρανοῦ χάριν τοῦ ἀνθρωπίνου γένους, καίπερ εἰδὼς ὅτι τιμωρηθήσεται, ὥστε ἡ ἁμαρτία δι' ἣν ἦλθε τὸ πρῶτον εἰς ῥῆξιν πρὸς τὸν Δία ἑκουσίως γενομένη οὐκ ἦν ἔργον ἐπιβληθὲν αὐτῷ ὑπὸ τῆς Μοίρας·

ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι·
θνηταῖς ἀρήγων αὐτὸς ηὑρόμην πόνους.

Ἀλλ' οὐδαμῶς τοσοῦτον αὐστηρὰς τιμωρίας περιέμενεν· ὁ Ζεὺς προσηνέχθη πρὸς τὸν Προμηθέα, ὡς συνήθως προσφέρονται πρὸς τοὺς ἀνθιστα μένους, κἂν τύχωσι φίλοι ὄντες, οἱ νεωστὶ κρατοῦντες·

ἅπας δὲ τραχύς, ὅστις ἂν νέον κρατῇ.

Ἐξ οὗ ἐν τῇ καρδίᾳ τοῦ Προμηθέως ἐγεννήθη φλογερὰ ἔχθρα καὶ μισος ἄσπονδον κατὰ τοῦ Διός, ὥστε αἱ συμβουλαὶ τῶν Ὠκεανίδων καὶ τοῦ Ὠκεανοῦ ἐξήπτον μᾶλλον ἢ κατεπράϋνον τὸ ἀγέρωχον τῆς προσβληθείσης φιλαυτίας αὐτοῦ. Ὁ εὐεργέτης καὶ φίλος τοῦ Διὸς ἐν δεσμοῖς! ἡ προσβολὴ αὕτη τίσιν ποινῆς ἀπαιτεῖ· οὐδέποτε, λέγει, τὸ ἀπόρρητον, ὅπερ κατέχω μαθὼν αὐτὸ ἐκ τῆς ἐμῆς μητρὸς Θέμιδος, μηνύσω αὐτῷ, ἄν τε θωπευτικῇ γλώσσῃ χρήσηται, ἄν τε ἀπειλαῖς, πρὶν ἢ ἀπαλλάξῃ με τῶν δεσμῶν τούτων καὶ ποινὴν ἀποτίσῃ·

καὶ μ' οὔ τι μειλιγλώσσοις πείθοῦς
ἐπαοιδαῖσιν
θέλξει, στερεὰς τ' οὔποτ' ἀπειλὰς
πτήξας τόδ' ἐγὼ καταμηνύσω,
πρὶν ἂν ἐξ ἀγρίων δεσμῶν χαλάσῃ
ποινάς τε τίνειν
τῆσδ' αἰκίας θελήσῃ. (172—178).

Κρ. Σὺ μὲν θρασύς τε καὶ πικραῖς
θύαισιν οὐδὲν ἐπιχαλᾷς,
ἄγαν δ' ἐλευθερόστομεῖς.
δέδια δ' ἀμφὶ σαῖς τύχαις,
πᾶ ποτε τῶνδε πόνων
χρή σε τέρμα κέλσαντ' ἐπιδεῖν· ἀκίχητα γὰρ ἤθεα
καὶ κέαρ
ἀπαραμύθητον ἔχει Κρόνου παῖς.
Πρ. Οἶδ' ὅτι τραχὺς καὶ παρ' ἑαυτῷ
τὸ δίκαιον ἔχων Ζεύς· ἀλλ' ἔμπας,
μαλακογνώμων
ἔσται ποθ' ὅταν ταύτῃ ραισθῇ·
τὴν δ' ἀτέραμνον στορέσας ὀργὴν
εἰς ἁρμὸν ἐλθεῖ καὶ φιλότητα
σπεύδων σπεύδοντί ποθ' ἥξει. (179—192).

Ἡ λύσις ἄρα ἤτοι ἡ συνδιαλλαγὴ τοῦ Διὸς καὶ τοῦ Προμηθέως τῇ βουλήσει ἀμφοτέρων οὐ τῇ ἀποφάσει τῆς Μοίρας γενήσεται. Τοῦτο καὶ παρακατιὼν λέγει ὁ Προμηθεύς, ὅτι τῶν δεινῶν ἀπαλλαγήσεται, ὅταν ὁ Ζεὺς θελήσῃ·

οὐκ ἄλλο γ' οὐδέν, πλὴν ὅταν κείνῳ δοκῇ.

Ὁ Προμηθεὺς ὅμως οὐδὲν πράττει, ὅπως τὴν ἀπαλλαγὴν ἀπὸ τῶν δεσμῶν ἐπιταχύνῃ, καταπράϋνων τὴν ὀργὴν τοῦ Διός, ἀλλὰ τοὐναντίον διὰ τῶν ἀπειλῶν καὶ ἀπαιτήσεων ποινῶν, δεινοτέραν τὴν τύχην αὐτοῦ καθίστησιν. Ὁ Ζεὺς ἀπαντῶν πρὸς τὰς ἀπειλὰς ταύτας καὶ ἀπαιτήσεις ἀπεφάσισεν ἵνα μηδέποτε αὐτὸν τῶν δεσμῶν ἀπαλλάξῃ, πρὶν ἢ ἄλλος τις τῶν ἀθανάτων διάδοχος τῶν πάνων αὐτοῦ φανῇ·

τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα
πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων
φανῇ, θελήσῃ τ' εἰς ἀναύγητον μολεῖν
Ἀιδην κνεφαιά τ' ἀμφὶ Ταρτάρου βάθη.
(1076—).

Μάτην ὁ Ὠκεανὸς παραινεῖ τῷ Προμηθεῖ μετριοφροσύνην·

ὁρῶ, Προμηθεῦ, καὶ παραινέσαι γέ σοι
θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ·
γίγνωσκε σαυτὸν καὶ μεθάρμοσαι τρόπους
νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς·
εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους
ῥίψεις, τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω
θακῶν κλύοι Ζεύς, ὥστε σοι τὸν νῦν ὄχλον
παρόντα μόχθων παιδιὰν εἶναι δοκεῖν·
ἀλλ', ὦ ταλαίπωρ', ἃς ἔχεις ὀργὰς ἄφες,
ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς·
ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε·
τοιαῦτα μέν τοι τῆς ἄγαν ὑψηγόρου
γλώσσης, Προμηθεῦ, ταπίχειρα γίγνεται·
σὺ δ' οὐδέπω ταπεινὸς οὐδ' εἴκεις κακοῖς,
πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις.
καὶ νῦν ἐγὼ μὲν εἰμὶ καὶ πειράσομαι
ἐὰν δύνωμαι τῶν δὲ σ' ἐκλῦσαι πόνων·
σὺ δ' ἡσύχαζε μηδ' ἄγαν λαβροστόμει·
ἢ οὐκ οἶσθ' ἀκριβῶς ὢν περισσόφρων ὅτι
γλώσσῃ ματαίᾳ ζημία προστρίβεται;

Ὁ Προμηθεὺς οὔτε τὰς παραινέσεις δέχεται οὔτε τὴν μεσιτείαν τοῦ Ὠκεανοῦ· ἀποπέμπει δ' αὐτὸν εἰς τὰ ἴδια·

σεαυτὸν σῶζ' ὅπως ἐπίστασαι.

Τοιαύτην ἀτρόμητον φρένα δείκνυσιν ὁ Προμηθεύς, ἐπιτιμώμενος καὶ πάλιν ὑπὸ τοῦ Χοροῦ·

Ζῆνα γὰρ οὐ τρομέων
αὐτάνῳ γνώμᾳ σέβει θνητοὺς ἄγαν, Προμηθεῦ.

Καὶ τοσοῦτον ἀτρόμητός ἐστιν, ὥστε καὶ πρὸς τὴν Ἰὼ θρασείαν κατὰ τοῦ Διὸς μεταχειρίζεται γλῶσσαν, ἀποκαλῶν αὐτὸν κενόφρονα, καὶ ἀπειλῶν ὅτι ἐκπεσεῖται τοῦ θρόνου· καὶ πρὸς τὸν Χορὸν ἐπαναλαμβάνει τὰς ἀπειλὰς κατὰ τοῦ Διός·

Ἦ μὴν ἔτι Ζεύς, καίπερ αὐθάδη φρονῶν,
ἔσται ταπεινός· τοῖον ἐξαρτύεται
γάμον γαμεῖν, ὃς αὐτὸν ἐκ τυραννίδος
θρόνων τ' ἄϊστον ἐκβαλεῖ· πατρὸς δ' ἀρὰ
Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται,
ἣν ἐκπίπτων ἠρᾶτο δηναιῶν θρόνων·
τοιούτων μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν
δύναιτ' ἂν αὐτῷ πλὴν ἐμοῦ δεῖξαι σαφῶς.
Ἐγὼ δὲ τάδ' οἶδα χῷ τρόπῳ· πρὸς ταῦτά νυν
θαρσῶν καθήσθω τοῖς πεδαραίοις κτύποις
πιστός, τινάσσων τ' ἐν χεροῖν πύρπνουν βέλος.
Οὐδὲν γὰρ αὐτῷ τοῦτ' ἐπαρκέσει τὸ μὴ ο�ὐ
πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετά.

Τοιαῦται ἀπειλαὶ ὁπωσδήποτε τὴν ἡσυχίαν τοῦ Διὸς ἐτάρασσον, πέμπει δὲ τὸν Ἑρμῆν ὅπως παρὰ τοῦ Προμηθέως μάθῃ, τίνες οἱ γάμοι, οἵτινες αἴτιοι τῆς ἐκπτώσεως αὐτοῦ ἐκ τῶν θρόνων γενήσονται· ἀλλὰ καὶ πρὸς τὸν Ἑρμῆν μετὰ πικρᾶς εἰρωνείας ἀποκρίνεται·

σεμνόστομός γε καὶ φρονήματος πλέως
ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου·
νέον νέοι κρατεῖτε καὶ δοκεῖτε δὴ
ναίειν ἀπενθῆ πέργαμ',. . .
μή τί σοι δοκῶ
ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς;
πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω· σὺ δὲ
κέλευθον ἥν περ ἦλθες ἐγκόνει πάλιν,
πεύσει γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.

Ἐπειδὴ δὲ ὁ Ἑρμῆς ἐπιμένει, ἔτι αὐθαδεστέρᾳ χρῆται γλώσσῃ ὁ Προμηθεύς·

Οὐ γὰρ σὺ παῖς τε κἄτι τοῦδ' ἀνούστερος,
εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα;
οὐκ ἔστιν αἴκισμ' οὐδὲ μηχάνημ' ὅτῳ
πρατρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε,
πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια·
πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσα φλόξ,
λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασι
χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω·
γνάψει γὰρ οὐδὲν τῶνδέ μ' ὥστε καὶ φράσαι
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν.
Ἑρ. Τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.
Πρ. Ὀχλεῖς μάτην με κὦμ' ὅπως παρηγορῶν·
εἰσελθέτω σε μήποθ' ὡς ἐγὼ Διὸς
γνώμην φοβηθεὶς θηλύνους γενήσομαι,
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν
λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.

Πρὸς δὲ τὰς ἀπειλὰς τοῦ Ἑρμοῦ ἀπειλοῦντος, ὅτι, ἂν μὴ ἐξείπῃ τὸ ἀπόρρητον, ὁ Ζεὺς τρομερωτέρας κατ' αὐτοῦ ἑτοιμάζει βασάνους, ἀπαντᾷ καρτεροψύχως καὶ ἀπτοήτως·

πρὸς ταῦτ' ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν
πυρὸς ἀμφήκης βόστρυχος, αἰθὴρ δ'
ἐρεθιζέσθω βροντῇ σφακέλῳ τ'
ἀγρίων ἀνέμων. Χθόνα δ' ἐκ πυθμένων
αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι,
κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ
συγχώσειεν τῶν τ' οὐρανίων
ἄστρων διόδους, ἐς τε κελαινὸν
Ταρτάρου ἄρδην ῥίψειε δέμας
τοὐμὸν ἀνάγκης στερραῖς δίνοις·
πάντως ἐμέ γ' οὐ θανατώσει.

Τοιοῦτος ὁ ἀγέρωχος καὶ ὑψηλόφρων ἠθικὸς χαρακτὴρ τοῦ Προμηθέως· τὸ δέμας αὐτοῦ ὑποκύπτει τῇ βίᾳ καὶ καταταρταροῦται, ἀλλ' ἡ φρὴν μένει ἄκαμπτος καὶ ἡ ἐλευθερία τῆς θελήσεως ἀκράδαντος, καὶ αὕτη ἐστὶν ἡ ψυχὴ τοῦ δράματος, οὐχ ἡ Μοῖρα.

δ'. Ἀφορμὴ ἐδόθη ὡσαύτως πρὸς παραδοχήν, ὅτι ἡ Μοῖρα κυριάρχος ἐστὶ δέσποινα, ἐκ τοῦ πολιοῦ καὶ τριγέροντος ἐκείνου νόμου, καθ' ὃν ἡ ἀδικία γεννᾷ ἑτέραν νέαν ἀδικίαν, ἡ ὕβρις ὕβριν, τὸ ἔγκλημα ἔγκλημα, ὁ φόνος φόνον, ὁ φονεύων συγγενῆ τινα φονευθήσεται ὑπὸ συγγενοῦς ὡσαύτως. Οὕτω δὴ τὸ ἔγκλημα μετὰ τοῦ ἐγκλήματος ἀπὸ γενεᾶς εἰς γενεὰν μεταβαίνει, καὶ οὐ μόνον αὐτό, ἀλλὰ καὶ οἱ συμπαραμαρτοῦντες ἄγριοι τιμωροὶ αὐτοῦ, αἱ Ἐρινύες, ἡ Ἄτη, ὁ Ἀλάστωρ δαίμων. Γενεά, ἔγκλημα καὶ Ἀλάστωρ συγκεκολλημένοι εἰσὶ καὶ ἀχώριστοι· ἐξ οὗ ἀπαντῶσι παρ' Αἰσχύλῳ αἱ φράσεις, *παλαιὸς δαίμων, τριπάχυντος δαίμων, δαίμων γέννης, δαίμων τῶν Πλειστονικιδῶν, ἀραία γονή*=ἐπικατάρατος γονή, γένος κεκολλημένον πρός ἄτᾳ κτλ.

Ὁ Αἰσχύλος ἀποδέχεται (Ἀγαμ. στιχ. 750—), ὡς ὁ Πίνδαρος, ὅτι οὐ μόνον αἱ κακίαι, ἀλλὰ καὶ αἱ ἀρεταὶ ἀπὸ γενεᾶς εἰς γενεὰν μεταβιβά-

ζονται ἐν τῷ αὐτῷ οἴκῳ· ἀλλ' ὁ μὲν Πίνδαρος τὰς εὐτυχίας καὶ τὰς ἀρετὰς ἐξυμνεῖ τῶν προγόνων, ἃς οἱ ἐξ αὐτῶν κληρονομήσαντες ἐνίκησαν ἐν τοῖς δημοσίοις ἀγῶσι· διὰ τοῦτο ὁ γενέθλιος δαίμων ἀγαθός παρ' αὐτοῦ φημίζεται, καθὰ καὶ ἡ τύχη, καὶ αὐτὸ δὲ τὸ μόριμον ἐπὶ καλοῦ λαμβάνεται (§ 32, σελ. 131· § 33, σελ. 132)· ὁ δὲ Αἰσχύλος, ὡς ἐκ τῆς φύσεως τῆς τραγῳδίας, ἥτις φιλεῖ ὡς ἐπὶ τὸ πολὺ ὑπόθεσιν λαμβάνειν τὰ ἐγκλήματα καὶ τὰς ἐκ τούτων καταστροφὰς τῶν μεγάλων οἴκων, σπανίως λαμβάνει ἀφορμὴν ἵνα περὶ ἀγαθοῦ δαίμονας ἢ περὶ ἀγαθῆς τύχης[1] μνείαν ποιήσηται· συνηθέστερον δὲ λόγον ποιεῖται περὶ κακοῦ δαίμονος ἢ Ἀλάστορος καὶ περὶ κακῆς τύχης[2]· καὶ τὸ μόριμον δὲ παρ' αὐτῷ ἐπὶ κακοῦ ὡς ἐπὶ τὸ πολὺ ἅπαντᾷ.

Ἐπειδὴ δὲ ὁ Ἀλάστωρ καὶ αἱ Ἐριννύες[3] σύγγονοι τῇ ἐπαράτῳ γενεᾷ καὶ ἄγουσι καὶ φέρουσι τὰ ἔνοχα πρόσωπα, ταῦτα οὐ δρῶσιν ἃ ἂν θέλωσιν, ἀλλὰ γίγνονται ὄργανα τῶν Μοιρῶν, τῶν Ἐριννύων, τῆς Ἄτης, τοῦ Ἀλάστορος. «Ὑπῆρχον, λέγει ὁ Paul Mesnard *(Oreste)* ἐν ταῖς μυθικαῖς παραδόσεσι τῆς ἀρχαίας Ἑλλάδος οὐ μόνον ἥρωες τραγικοί, ἀλλὰ καὶ γενεαί. Πολλαὶ γενεαὶ ἐκ τοῦ αὐτοῦ αἵματος προελθοῦσαι διεδέχυντο ἀλλήλας, τὰς διαφόρους πράξεις διαδραματίζουσαι δράματος στυγνοῦ τὴν τύχην ὅλης φυλῆς πληροῦντος· ἐν αὐτῷ αἱ καταστροφαὶ δίκην ἀλύσεως συνήπτοντο ἄλλαις καταστροφαῖς, αἱ τιμωρίαι ἄλλαις τιμωρίαις, τὸ ἔγκλημα ἐγέννα ἕτερον ἔγκλημα, ἡ δυστυχία ἑτέραν δυστυχίαν. Ἡ Μοῖρα περὶ τὸν οἶκον ἵπτατο, οὗ τὰ ἁμπλακήματα ἦσαν κληρονομικά, καὶ διαδοχὴ δυστυχημάτων ἐξετυλίσσετο, ὧν ἡ ἔννοια ἐν τῇ παραδόξῳ αὐτῶν ἠθικότητι οὐκ ἦν τελεία οὐδὲ καταληπτή, πρὶν ἢ ὁ κύκλος τῶν φρικαλεοτήτων λήξῃ καὶ πάντες οἱ χρησμοὶ ἐκπληρωθῶσιν, ἡ δὲ Ἄτη τὸ ἑαυτῆς ἐκτελέσῃ ἔργον, καὶ ἡ θεία δικαιοσύνη καταπρακτωθῇ ἢ ἀφοπλισθῇ. Τὰ τρομερὰ ταῦτα δράματα, ὧν τὰ πρὸς δρᾶσιν αἴτια ἐν οὐρανῷ ἐν ταῖς χερσὶν ἦσαν ἀνοικτιρμόνων θεοτήτων, καὶ ἐν αἷς οἱ ἄνθρωποι ὡς τυφλὰ θύματα συνεταράσσοντο, λίαν πρόσφορα ἦσαν τῇ Μούσῃ τοῦ Αἰσχύλου, διότι ὁ ἀρχαῖος οὗτος τραγικὸς ποιητὴς οὔτε πάθη οὔτε χαρακτῆρας ἀπεικονίζειν ἠδύνατο, ἀλλ' ἐν τοῖς πίναξιν, οὓς ἡ θρησκευτικὴ αὐτοῦ φαντασία εἴωθεν ἐν γενικῷ τύπῳ σχεδιαγραφεῖν, μόνοι οἱ θεοὶ ἦσαν ἐν τῷ φανερῷ, ἥ τε ἀρχαία δεισιδαιμονία ἐδείκνυεν, ὡς ἐν τοῖς στίχοις τοῦ Λουκρητίου, τὴν τρομερὰν αὐτῆς κεφαλὴν ἄνωθεν ἐκ τοῦ οὐρανοῦ·

. . . . Caput a coeli regionibus ostendebat.

Ὅπως δὲ τοὺς αἱματηροὺς τούτους κύκλους ἐνώπιον τῶν θεατῶν παραστήσῃ, ἐν οἷς οἱ υἱοὶ τὰς τύχας συμπληροῦσι τῶν πατέρων, εἶχε χρείαν πολλῶν διαδοχικῶν πινάκων οὕτω συνδεδεμένων ἀλλήλοις, ὥστε ἑνὶ βλέμματι δύνασθαι συμπεριλαμβάνειν αὐτούς· ταύτην δὲ τὴν συμπλοκὴν ἐν ἑνὶ δράματι πολλῶν χωριστῶν δραμάτων, ἀμοιβαίως διευκρινουμένων, παρασκευαζομένων καὶ συμπληρουμένων καὶ τὴν φρίκην συναγειρόντων, ἐκτελεστὴν καθίστα ἡ εἰς τὴν τραγικὴν σκηνὴν τῶν Ἀθηνῶν εἰσαχθεῖσα χρῆσις τῶν τριλογιῶν· ἦν π. χ. ἡ ἱστορία τῶν Λαβδακιδῶν ἀπὸ τοῦ ἁμαρτήματος τοῦ Λαΐου τὸν χρησμὸν τοῦ Ἀπόλλωνος παραβάντος μέχρι τῆς ἀλληλοφονίας τῶν υἱῶν τοῦ Οἰδίποδος ὑπὸ τῶν πατρικῶν ἀρῶν κατ' ἀλλήλων ἐλαυνομένων. Γνωστόν ἐστιν ὅτι οἱ *Ἑπτὰ ἐπὶ Θήβας* ἦσαν ἡ τελευταία τραγῳδία τῆς τριλογίας, ὧν αἱ δύο ἕτεραι ἦσαν ὁ Λάϊος καὶ ὁ Οἰδίπους· ἡ ἱστορία τῶν υἱῶν τοῦ Ἀτρέως ἀπὸ τοῦ φόνου τοῦ Ἀγαμέμνονος μέχρι τῆς δίκης τοῦ Ὀρέστου ὑπὸ τοῦ Ἀρείου Πάγου ἦν ἀνάλογος ὑπόθεσις τῆς αὐτῆς θείας φρίκης ἔμπλεως· αἱ δὲ τραγῳδίαι σχεδὸν κατὰ τὸ αὐτὸ σχέδιον πεποιημέναι ἦσαν. Ὁ Αἰσχύλος ἠδύνατο συνάφειαν δημιουργῆσαι πάντοτε ὁρατήν· ἡ αὐτὴ ἀρὰ ἀπ' ἀρχῆς μέχρι τέλους, τὸ πρόσωπον ἐπὶ σκηνῆς πάντοτε, ὀρθὸν πάντοτε. Καὶ μὴν ἐν τῇ ἐξελίξει τοῦ δράματος τῶν δρώντων προσώπων τινὲς ἐξηφανίζοντο, ἀλλ' ὑπὸ ἄλλων ἀνεπληροῦντο, προαναγγελιμένων ἤδη ἀπ' ἀρχῆς ὡς μελλόντων κληρονόμων τῶν μοιραίων ἀντιποίνων· ἤδη παρὰ τῷ Λαΐῳ χρησμοὺς αἰτοῦντι παρὰ τοῦ ἐν Δελφοῖς Μαντείου ὑπεφαίνοντο ὁ Οἰδίπους καὶ οἱ υἱοὶ αὐτοῦ, παρὰ δὲ τῷ Ἀγαμέμνονι εἰς τὸν οἶκον αὐτοῦ τὸν πλήρη δόλων εἰσερχομένῳ ὁ Ὀρέστης· τῶν δὲ τελευτώντων κατὰ τὰς πρώτας τῆς ἀπερχόντου τραγῳδίας πράξεις αἱ σκιαὶ ἀνεμιγνύοντο ἔτι ἐν τῇ δράσει τῶν τελευταίων σκηνῶν».

[1] Πρευμενὴς τύχη, σωτὴρ τύχη, σὺν τύχῃ τινί, & μὴ κραίνει τύχη, μεγάλη τύχη, εὔπομπος τύχη, ὀνήσιμοι τύχαι βίου, ἀγαθὴ τύχη.

[2] Κακὴ τύχη, ἐχθίων τύχη, οὐκ ἰσόρροπος τύχη, διαίμονες τύχαι, μάταιοι τύχαι, μέλαινα τύχη, ἔμπαιοι τύχαι, παλίγκοτος τύχη, κακόποτμοι τύχαι, δυσαλγὴς τύχη, φονολιβὴς τύχη, ἀτηρὰ τύχη ἀκόρεστος, δύσμορος τύχη, ἀνδροκμῆτες τύχαι κτλ. Οὐδαμοῦ ὁ Αἰσχύλος ἐξυμνεῖ ὡς ὁ Πίνδαρος, τὴν τύχην ὡς θεὰν μεγαλοδύναμον.

[3] Ἡ Κασσάνδρα τὰς Ἐριννύας καλεῖ συγγόνους τῶν ἐν τῷ οἴκῳ τῶν Πελοπιδῶν γενομένων ἐγκλημάτων· (Ἀγαμ. 1186—1192)·

> τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
> σύμφθογγος οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει·
> καὶ μὴν πεπωκὼς γ', ὡς θρασύνεσθαι πλέον,
> βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,
> δύσπεμπτος ἔξω, συγγόνων Ἐρινύων·
> ὑμνοῦσι δ' ὕμνον δῶμασιν πρασήμενοι
> πρώταρχον ἄτην. (στίχ. 1186—).

Τοιαύτη ἡ κυριωτέρα αἰτία, δι' ἣν ἐπιστεύθη ὅτι ἡ Μοῖρα δέσποινά ἐστι κυρίαρχος τῶν τραγῳδιῶν τοῦ Αἰσχύλου. Τοῦτο ὁμολογοῦσι καὶ αὐτὰ τὰ δρῶντα πρόσωπα τῶν τραγῳδιῶν, ὅταν τὰ πάθη αὐτῶν εἰς τὴν ὑψίστην κορυφωθῶσιν ἔξαψιν. Ὁ Προμηθεὺς οὐχ ὁρᾷ ὅτι τὸ ἔξαλλον αὐτοῦ πάθος, τὸ ἄσπονδον αὐτοῦ κατὰ τοῦ Διὸς μῖσος τυφλώττει αὐτὸν οὐδ' ἐᾷ εὑρεῖν τρόπον ταχείας συνδιαλλαγῆς, ἀλλ' ἀπονέμει τοῦτο τῇ Μοίρᾳ· ὁ δ' Ἐτεοκλῆς ἀκούων τοῦ ὀνόματος τοῦ ἀδελφοῦ αὐτοῦ Πολυνείκους ἐξίσταται εὐθὺς τῶν φρενῶν ὑπ' ὀργῆς καὶ σπεύδει εἰς συνάντησιν αὐτοῦ ἐπιφωνῶν,

> ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος,
> ὦ πανδάκρυτον ἀμὸν Οἰδίπου γένος,
> ὤμοι, πατρὸς δὴ νῶν ἀραὶ τελεσφόροι.

Μάτην ὁ Χορὸς ἐξορκίζει αὐτὸν ἵνα μὴ τὴν χεῖρα αὐτοῦ εἰς ἀδελφικὸν ἐμβάψῃ αἷμα· ὁ Ἐτεοκλῆς ἀποκρίνεται ὅτι παρ' αὐτῷ ἵσταται ἡ πατρικὴ ἀρὰ λέγουσα, μὴ φρόντιζε περὶ θανάτου ἀλλὰ περὶ ἐκδικήσεως·

> φίλου γὰρ ἐχθρὰ μοι πατρὸς ἀρὰ
> ξηροῖς ἀκλαύτοις ὄμμασιν προσιζάνει,
> λέγουσα κέρδος πρότερον ὑστέρου μόρου.

Ὁ Χορὸς ἐπιμένει δεόμενος ἵνα ἀπόσχῃ τῆς μιαιφονίας, διότι ἴσως ὁ δαίμων γενήσεται εὐνούστερος, νῦν δὲ βράζει ἔτι· — παρέβρασαν αἱ ἀραὶ τοῦ Οἰδίποδος, ἀποκρίνεται ὁ Ἐτεοκλῆς·

> Χο. ἐπεὶ δαίμων
> λήματος ἐν τροπαίᾳ χρονίᾳ μεταλ-
> λακτὸς ἴσως ἂν ἔλθοι θαλερωτέρῳ
> πνεύματι· νῦν δ' ἔτι ζεῖ.
> Ἐτ. Ἐξέζεσεν γὰρ Οἰδίπου κατεύγματα.

Ὁ Χορὸς φρίσσει ὁρῶν ὅτι ἡ Ἐρινὺς τὰς κατάρας τοῦ Οἰδίποδος ἐκτελέσει καὶ καταστρέψει τὸν οἶκον·

> πέφρικα τὰν ὠλεσίοικον θεόν, οὐ θεοῖς ὁμοίαν,
> παναλαθῆ, κακόμαντιν πατρὸς εὐκταίαν Ἐρινὺν
> τελέσαι τὰς περιθύμους κατάρας Οἰδιπόδα βλαψίφρονας.

Μετὰ δὲ τὴν ἀλληλοφονίαν τῶν δύο ἀδελφῶν καὶ τὴν ἐκπλήρωσιν τῶν ἀρῶν τοῦ Οἰδίποδος ὁ Χορὸς θρηνῳδεῖ·

> οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα·
> κἀρτα δ' ἀληθὴς πατρὸς Οἰδιπόδα
> πότνι' Ἐρινὺς ἐπέκρανε.
>
> ἔστακε δ' Ἄτας τροπαῖον ἐν πύλαις,
> ἐν αἷς ἐθείνοντο, καὶ
> δυοῖν κρατήσας ἔληξε δαίμων.
>
> Ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
> πότνιά τ' Οἰδίπου σκιά,
> μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.

Ὅτι δὲ μᾶλλον ἡ Κλυταιμνήστρα ὁμολογεῖ λέγουσα, ὅτι οὐκ αὐτὴ ἐφόνευσε τὸν Ἀγαμέμνονα, ἀλλ' ὁ ἐνσαρκωθεὶς ἐν αὐτῇ, ὁ τὴν μορφὴν αὐτῆς περιβληθεὶς παλαιὸς Ἀλάστωρ τοῦ Ἀτρέως· Μὴ νόμιζέ με, λέγει πρὸς τὸν Χορόν, γυναῖκα τοῦ Ἀγαμέμνονος·

> μηδ' ἐπιλεχθῇς
> Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον·
> φανταζόμενος δὲ γυναικὶ νεκροῦ
> τοῦδ' ὁ παλαιὸς θρασὺς ἀλάστωρ
> Ἀτρέως χαλεποῦ θοινητῆρος
> τόνδ' ἀπέτισεν,
> τέλεον νεαροῖς ἐπιθύσας.

«Ἐν τῷ διαλόγῳ τῆς Κλυταιμνήστρας καὶ τῶν γερόντων Ἀργείων τοῦτο τὸν δραματικὸν ἀπεργάζεται δύναμιν, ὅτι καθ' ὃν χρόνον ἡ ἀκαμπτος τυραννὶς τῶν καταχθονίων ἐπηρειῶν ἀλγεινοτέρᾳ ἀποκαλύπτεται ἐναργείᾳ, ὁ χαρακτὴρ τῆς ἀνάσσης τῶν κορυφῶν ἐφικνεῖται τῆς τόλμης καὶ τοῦ μικροῦ μεγαλείου. Ἐν δὲ τῇ φρικαλέᾳ ταύτῃ συμμαχίᾳ τῆς Εἱμαρμένης καὶ τοῦ πάθους προεξέρχει ἡ Εἱμαρμένη, ἀλλὰ μεθ' οἵων ὑπερεκχειλίσεων μέθης ἐγκύτου, μεθ' οἵων παραφορῶν φαντασίας, μεθ' οἵων βαθειῶν συγκινήσεων ποιεῖ αἰσθητὴν τὴν ἀδήριτον αὐτῆς ὑπεροχήν! . . . .

Ὁ Χορὸς φρίσσει ἐπὶ ταῖς ὑπερανθρωπίναις ταύταις παραφοραῖς καὶ ἀναγνωρίζει τὸν ὀλεσίοικον δαίμονα τῶν Ταντα λιδῶν· τοῦτον ἀναγνωρίζει καὶ ἡ Κλυταιμνήστρα ἐν μεγάλῃ παραφορᾷ ἐπιφωνοῦσα τοὺς στίχους, «μηδ' ἐπιλεχθῇς Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον» κτλ. Οἱ στίχοι οὗτοι δραματικώτατοί εἰσιν, ὀλέθριον φῶς φαίνεται τὴν σκηνὴν φωτίζον, ὁ ἄνθρωπος ἀφανίζεται, βλέπομεν δὲ ὅτι τὸ φρικαλέον πρόσωπον ὠχρόν, φρυκτόν, ὅπερ κατεπτόει ἡ-

μᾶς, οὐκ ἦν ἄνθρωπος, ἀλλ' ἡ Μοῖρα προσωποπεποιημένη, γνησία μήτηρ τῆς ἐκρήξεως ταύτης τῶν μαινομένων παθῶν. Ὁ δαίμων οὗτος τῶν Τανταλιδῶν ἐστιν ἡ Ἐριννύς, ἡ Ἄτη, ὁ Ἀλάστωρ, ὀνόματα διάφορα τῆς τιμωροῦ δυνάμεως, ἥτις, φύλαξ πιςὴ τρομερῶν ἀναμνήσεων, ὅλαις δυνάμεσιν εἰς τὸ αἱμοβόρον καὶ καταστρεπτικὸν αὐτῆς ἀσχολεῖται ἔργον καὶ εἰς τὴν ἀνανέωσιν τῶν ἐγκλημάτων, ἐν οἷς ὁ ἐπάρατος οὗτος οἶκος ἀπαρτίζει οἱονεὶ τὸν στήμονα τῆς ὑπάρξεως αὐτῆς». J. Girard.

Ὅταν λοιπὸν τοιαῦτα χωρία ἔχῃ τις ὑπ' ὄψει, ἐν οἷς μόνον περὶ τῶν Μοιρῶν, τῶν Ἐριννύων, τοῦ Ἀλάστορος γίνεται λόγος, οἷον καὶ τὸ ἑξῆς, ἐν ᾧ λέγεται ὅτι αἱ Μοῖραι τὸν νόμον τῶν ἀντιποίνων ἐκραταίωσαν, τιμωροῦσαι τὸν μιαιφόνον καὶ ἐνταῦθα καὶ ἐν τῷ ἄλλῳ κόσμῳ,

τοῦτο γὰρ λάχος διανταία
Μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν,
θνατῶν τοῖσιν αὐτουργίαι ξυμπέσωσιν μάταιοι,
τοῖς ὁμαρτεῖν ὄφρα γ' ἂν ὑπέλθῃ· θανὼν δ'
οὐκ ἄγαν ἐλεύθερος· (Εὐμεν. στχ. 334—).

ὅταν, λέγω, τοιαῦτα χωρία ἔχῃ ὑπ' ὄψει, ὀρθὴ φαίνεται αὐτῷ ἡ γνώμη, ὅτι ἡ Μοῖρά ἐστιν, εἴπερ τις ἄλλη δύναμις, ἡ ἐμψυχοῦσα τὰς τραγῳδίας τοῦ Αἰσχύλου· ὅταν ὅμως ταῦτα τοῖς προμνημονευθεῖσι (§ 38 Σελ. 146—147) συνδυάσῃ καὶ συνεξετάσῃ τὴν συνυφὴν τῆς ὅλης τραγῳδίας, ὡς μόνην ὀρθὴν τὴν ἑτέραν ἀποδέξεται γνώμην, ὅτι αἱ Μοῖραι καὶ αἱ Ἐριννύες οὐ προεξάρχουσιν, ἀλλ' ὑπείκουσι καὶ κατὰ τὰς βουλὰς τοῦ Διὸς καὶ τῶν ἄλλων Ὀλυμπίων θεῶν ἐνεργοῦσι. Λάβωμεν ὡς παράδειγμα αὐτὰς τὰς τραγῳδίας, ἐν αἷς τὰ δρῶντα πρόσωπα ὁμολογοῦσιν ἑαυτὰ ὄργανα τῶν Ἐριννύων καὶ τοῦ Ἀλάστορος· ἐν μὲν τοῖς *Ἑπτὰ ἐπὶ Θήβας* ἡ ἀρχὴ καὶ ἡ ῥίζα τῶν δυστυχημάτων ἐστὶν ἡ παράβασις ὑπὸ τοῦ Λαΐου τῶν χρησμῶν τοῦ Ἀπόλλωνος·

Ἀπόλλωνος εὖτε Λάϊος
βίᾳ, τρὶς εἰπόντος ἐν
μεσομφάλοις Πυθικοῖς
χρηστηρίοις θνήσκοντα γέννας ἄτερ σώζειν πόλιν,
κρατηθεὶς ἐκ φίλων ἀβουλιῶν
ἐγείνατο μὲν μόρον αὑτῷ,
πατροκτόνον Οἰδιπόδαν. (στχ. 745—).

Ὥστε τὸ πεπρωμένον ἵνα ὁ Οἰδίπους φονεύσῃ τὸν πατέρα αὐτοῦ καὶ νυμφευθῇ τὴν μητέρα αὐτοῦ ἦν ἔργον μᾶλλον τοῦ χρησμοδοτήσαντος θεοῦ ἢ τῶν Μοιρῶν καὶ Ἐριννύων, οὐδὲν ἄλλο πραξασῶν ἢ ἐκτελέσαι τοὺς χρησμούς.

Ἀλλὰ καὶ καθ' ὧν χρόνων ὁ Ἐτεοκλῆς ὑπὸ τὴν ἐπήρειάν ἐστι τῆς πατρικῆς Ἐριννύος, αἱ ἐνέργειαι τῶν θεῶν οὐκ ἀφανεῖς αὐτῷ, διότι λέγει·

ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεός,
ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχὸν
Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος·

καὶ, θεῶν διδόντων οὐκ ἂν ἐκφύγοις κακά.

Μετὰ δὲ τὴν ἀλληλοκτονίαν τῶν ἀδελφῶν ὁ χορός, ὃς πρότερον ἔφριττεν, ὅτι ἡ Ἐριννὺς ἡ ὁλεσίοικος καὶ οὐ θεοῖς ὁμοία ἐκπληρώσει τὰς ἀρὰς τοῦ Οἰδίποδος, θρηνῳδεῖ συνάπτων τὴν ἀρχὴν καὶ τὸ τέλος τῶν δυστυχημάτων, τὰς ἀπίστους βουλὰς τοῦ Λαΐου καὶ τὴν ἐκπλήρωσιν τῶν θεσφάτων·

ἐξέπραξεν, οὐδ' ἀπεῖπε
πατρόθεν εὐκταία φάτις·
βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν,
μέριμνα δ' ἀμφὶ πτόλιν·
θέσφατ' οὐκ ἀμβλύνεται.

Ἐν δὲ τῷ Ἀγαμέμνονι ἡ Κλυταιμνήστρα, ἡ προσωποποίησις τοῦ Ἀλάστορος, λέγει ὅτι ἡ Εἱμαρμένη σὺν θεοῖς ἐκτελέσει τὸν τοῦ Ἀγαμέμνονος φόνον·

θήσει δικαίως σὺν θεοῖς Εἱμαρμένα·

ἀλλαχοῦ δ' ὁμολογεῖ ὅτι ἔσφαζεν αὐτὸν σὺν τῇ Δίκῃ, τῇ Ἄτῃ καὶ Ἐριννύϊ·

Μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς Δίκην,
Ἄτην, Ἐρινύν θ', αἷσι τόνδ' ἔσφαξ' ἐγώ.

Ἡ Κλυταιμνήστρα ἐπίστευεν ὅτι οἱ θεοὶ καὶ ἡ Δίκη, ἡ κόρη τοῦ Διός, συμμετέσχον τῶν ἔργων τῆς Εἱμαρμένης, τῆς Ἄτης καὶ Ἐριννύος· ὥστε καὶ ἐν αὐταῖς ταῖς κατ' ἐξοχὴν μοιροκράντοις τραγῳδίαις αἱ Μοῖραι οὐκ ἄνευ θεῶν ἐνεργοῦσιν.

Ἀλλά τις ἡ διαφορά, ἂν αἱ Μοῖραι καὶ Ἐρινύες ἀφ' ἑαυτῶν ἐνεργῶσιν ἢ καὶ τῇ ἐπινεύσει τῶν θεῶν; τί ὠφελεῖται ὁ ἄνθρωπος, ἂν αἱ Μοῖραι καὶ αἱ Ἐριννύες χρῄζωσι τῆς θείας ἐπινεύσεως ἐν ταῖς ἐνεργείαις αὐτῶν; Τὸ κέρδος οὐ μικρόν ἐστι. Πρῶτον, ὡς πολλάκις ἐν τοῖς ἔμπροσθεν εἴρηται, αἱ Μοῖραι καὶ αἱ Ἐριννύες καὶ ἡ λοιπὴ χορεία, Ἄτη καὶ Ἀλάστωρ, ἀκαμπτοί εἰσι καὶ ἀνηλεεῖς καὶ μετ' ὀργῆς λυσσώδους ἐπιβάλλουσι τὰς τιμωρίας, οὐδεμίαν ἱκεσίαν δεχόμεναι· ὁ χορὸς ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβας τὴν Ἐριννὺν λέγει *θεὸν οὐ θεοῖς ὁμοίαν*· ὁ δὲ Ἀπόλλων ἐν ταῖς Εὐμενίσιν ἀποκαλεῖ τὰς Ἐριννύας *παντομισῆ κνώδαλα, στύγη θεῶν*, καὶ ἐκδιώκει τοῦ ναοῦ κελεύων αὐταῖς ἀπελθεῖν ἔνθα

καρανιστῆρες ὀφθαλμωρύχοι
δίκαι σφαγαί τε σπέρματός τ' ἀποφθοραὶ
παίδων, κακοῦ τε χλοῦνις ἠδ' ἀκρωνία.

Οἱ δὲ θεοὶ φιλάνθρωποι καὶ στρεπτοὶ καὶ ὅτε μὴ φιλοῦντες τὸ κακὸν πολλάκις τὰς τιμωρίας ἀναβάλλουσι·

κρατεῖταί πως τὸ θεῖον παρὰ τὸ μὴ ὑπουργεῖν
κακοῖς. (Χοηφ. 957—).

Δεύτερον, ὅταν κατὰ τὰς θείας βουλὰς ἐνεργῶσιν αἱ Μοῖραι καὶ αἱ Ἐριννύες, οὐκ ἀποχωρίζονται τῆς θείας δίκης οὐδὲ αὐθαιρεσίαις χρῶνται· αἱ Εὐμενίδες ἐν τῇ ὁμωνύμῳ τραγῳδίᾳ ὁμολογοῦσιν ὅτι ἥδονται τῇ δικαιοσύνῃ καὶ εἰσὶν εὐθυδίκαιοι, τοὺς μὲν ἀγνοὺς οὐδόλως βλάπτουσαι, τοὺς δὲ μιαιφόνους καταδιώκουσαι καὶ τιμωροῦσαι·

εὐθυδίκαιοι δ' ἠδόμεθ' εἶναι·
τὸν μὲν καθαρὰς χεῖρας προνέμοντ'
οὔ τις ἐρέρπει μῆνις ἀφ' ἡμῶν,
ἀσινῆ δ' αἰῶνα διοιχνεῖ·
ὅστις δ' ἀλιτὼν ὥςπερ ὅδ' ἀνὴρ (Ὀρέστης)
χεῖρας φονίας ἐπικρύπτει,
μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσιν
παραγιγνόμεναι πράκτορες αἵματος
αὐτῷ τελέως ἐφάνημεν. (στιχ. 312—).

Παρακατιὼν δὲ (στιχ. 533—565) ὁ χορὸς τῶν Εὐμενίδων ἀρίστας ἐκφέρει διδασκαλίας καὶ συμβουλάς, ὡς εἰ ἦν τοῦ θείου λόγου ἱερὸς διδάσκαλος· τῆς μὲν δυσσεβείας, λέγει, τέκνον ἡ ὕβρις, τῆς δὲ φρονήσεως ὁ πολύευκτος ὄλβος· σέβου τὸν βωμὸν τῆς δίκης, μηδὲ χάριν κέρδους καταπάτει τὴν δικαιοσύνην· σέβου τοὺς γονεῖς καὶ τοὺς ξένους· ὁ πράττων τὴν δικαιοσύνην ἑκὼν οὔτε ἄνολβος ἔσται, οὔτε πανωλεθρίαν ὑποστήσεται· ὁ δὲ ἄδικος πρὸς ὥραν εὐτυχῆσαι δύναται, ἀλλ' ἐπὶ τέλους πανωλεθρίαν πάσχει, μάτην τὸν θεὸν ἐπικαλούμενος·

δυσσεβείας μὲν ὕβρις τέκος ὡς ἐτύμως.
ἐκ δ' ὑγιείας
φρενῶν ὁ πᾶσιν φίλος
καὶ πολύευκτος ὄλβος·
ἐς τὸ πᾶν δέ σοι λέγω,
βωμὸν αἰδέσαι δίκας·
μηδὲ νιν κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς·
ποινὰ γὰρ ἑπέσται.
κύριον μένει τέλος.
πρὸς τάδε τις τοκέων σέβας εὖ πρατίων
καὶ ξενοτίμους
ἐπιστροφὰς δωμάτων
αἰδόμενός τις ἔστιω.
Ἑκὼν δ' ἀνάγκας ἄτερ δίκαιος ὢν οὐκ ἄνολβος
ἔσται,
πανώλεθρος δ' οὐδέποτ' ἂν γένοιτο·
τὸν ἀντίτολμον δὲ φαμὶ παρβάταν
τὰ πολλὰ παντόφυρτ' ἄγοντ' ἄνευ δίκας
βιαίως ξὺν χρόνῳ καθήσειν

λαῖφος, ὅταν λάβῃ πόνος θρασυομένας κεραίας·
καλεῖ δ' ἀκούοντας οὐδὲν ἐν μέσᾳ δυσπαλεῖτε
δίκᾳ·
γελᾷ δὲ δαίμων ἐπ' ἀνδρὶ θερμῷ,
τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμαχάνοις
δύαις λαπαδνὸν οὐδ' ὑπερθέντ' ἄκραν·
δι' αἰῶνος δὲ τὸν πρὶν ὄλβον
ἕρματι προσβαλὼν δίκας ὤλετ' ἄκλαυστος, ἄ-
στος.

Τρίτον, τὸν αὐστηρὸν νόμον τῶν ἀντιποίνων δύνανται οἱ θεοὶ εἰς νόμον τῆς χάριτος μετατρέψαι κελεύοντες τὴν ἐξάγνισιν τοῦ ἐνόχου καθαρμοῖς ἐξιλαστηρίοις· οὕτως ὁ Ὀρέστης, ὃς ὤφειλε κατὰ τὸν ἀρχαῖον νόμον τὸ χυθὲν αἷμα τῆς μητρὸς αὐτοῦ ἀποτῖσαι τῷ ἰδίῳ αὐτοῦ αἵματι, ἐσώθη τῇ ἐπινεύσει τοῦ Διός, παρεμβάσει δὲ τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀθηνᾶς· αἱ δὲ Μοῖραι καὶ αἱ Ἐριννύες ὑπεχώρησαν καὶ ἀπεδέξαντο ἐπὶ τέλους τὸν νέον νόμον τῆς χάριτος καὶ ἐπιεικείας, διότι καὶ αὗται συμπροοδεύουσιν· ἐξ Ἐριννύων γίγνονται Εὐμενίδες εὐμενῶς διακείμεναι τοῖς ἀνθρώποις καὶ εὐχαὶ ὑπὲρ τῆς σωτηρίας καὶ εὐδαιμονίας αὐτῶν ποιούμεναι, αὗται αἱ πρότερον μηδεμίαν δεχόμεναι εὐχήν, καὶ τελευταῖον ἀποχαιρετίζουσι τοὺς Ἀθηναίους διὰ τῶν ἑξῆς.

Χαίρετε, χαίρετε δ' αὖθις, ἔπος διπλοίζω,
πάντες οἱ κατὰ πτόλιν, δαίμονές τε καὶ βροτοί,
Παλλάδος πόλιν νέμοντες, μετοικίαν δ' ἐμὴν
εὖ σέβοντες οὔ τι μέμψεσθε συμφορᾶς βίου.

Ἡ δὲ Ἀθηνᾶ παρακινεῖ τοῖς Ἀθηναίοις ἵνα τὰς Ἐριννύας σέβωσι·

μέγα γὰρ δύναται
πότνι' Ἐρινὺς παρά τ' ἀθανάτοις
τοῖς θ' ὑπὸ γαῖαν, περί τ' ἀνθρώπων
φανερῶς τελέως διαπράσσουσιν
τοῖς μὲν ἀοιδάς, τοῖς δ' αὖ δακρύων
βίαν ἀμβλωπὸν παρέχουσαι.

Αἱ δὲ Εὐμενίδες εὐχόμεναι ἀποτροπὴν τῶν δυστυχιῶν καὶ καλοὺς γαμβροὺς ταῖς παρθένοις ἐπικαλοῦνται καὶ τὴν ἀρωγὴν τῶν αὐταδέλφων Μοιρῶν·

θεαί τ', ὦ Μοῖραι ματροκασιγνῆται
δαίμονες ὀρθονόμοι,
παντὶ δόμῳ μετάκοινοι,
παντὶ χρόνῳ δ' ἐπιβριθεῖς
ἐνδίκοις ὁμιλίαις,
παντοῖ τιμιώταται θεῶν.

Τοιαύτην ἔδωκε λύσιν ὁ Αἰσχύλος τῆς συγκρούσεως τῶν ἀρχαίων καὶ νέων θεῶν, τοῦ ἀρχαίου καὶ τοῦ νέου κόσμου· αὕτως ἡ ἠθικὴ ἐπανάστασις, λέγει ὁ σοφὸς Girard, ἡ παρὰ τοῦ

Αἰσχύλου ἐν ταῖς δυσὶ τραγῳδίαις (Ἀγαμέμνονι καὶ Χοηφόροις) παρασκευασθεῖσα τελεῖται ἐν τῇ τρίτῃ (ταῖς Εὐμενίσιν)· ὅταν ἔρχηται, χαιρετίζομεν αὐτὴν μετὰ πόθου, αἰσθανόμενοι ὅτι ἀναγκαία ἐστί· διότι ὁ ἄνθρωπος οὐκ αἰωνίως δύναται τὸν αἱματηρὸν ζυγὸν τοῦ παρελθόντος φέρειν· ἂν αἰσθάνηται ὅτι μοιραίως πιέζει αὐτὸν τὸ βάρος τῶν πρὸ αὐτοῦ γενομένων ἀποφάσεων, ἐχέτω τοὐλάχιστον τὸ δικαίωμα ἑαυτὸν ἀπολυτρῶσαι τῶν ἁμαρτημάτων, ἃ οὔτε ἔπραξεν οὔτε ὑπεύθυνός ἐστιν. Αἱ ἀξιώσεις καὶ ἐλπίδες τοῦ Αἰσχύλου οὐ βαίνουσι περαιτέρω· ὁ ἄνθρωπος ἐχέτω βάσανα, διότι τοιαύτη ἡ ἀπόφασις τῆς Εἱμαρμένης, ἀλλὰ μὴ αἰωνίως βασανιζέσθω· ἂν προπατορικόν τι φέρῃ ἁμάρτημα, ἐξέστω τοὐλάχιστον αὐτῷ ἑαυτὸν ἐξαγνίζειν διὰ τῆς ἀληθείας καὶ τῆς πίστεως εἰς τὸ ἀγαθόν· ἔστι δυνατὸν ἵνα καταδεδικασμένος ἤ μηδὲν ἄλλο γινώσκειν ἢ σκιάν τινα εὐτυχίας ἑτοίμην ἀεὶ ἐξαφανίζεσθαι, ὅταν ἡ πονηρὰ δύναμις, ἥτις ἔργον ἔχει τὴν ἀποπλάνησιν καὶ τιμωρίαν αὐτοῦ, αἴφνης ἐξ ὕπνου ἀπατηλοῦ ἐξεγερθῇ ἢ τὰ ἱμάτια ἀπεκδυθῇ ἅπερ αὐτὴν ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ἐκάλυπτον; Ἔστι δυνατὸν ἵνα πάντοτε τοσοῦτον αὐτοῦ γίγνηται κυρία, ὥστε ἡ θέλησις, οἱ ὑπολογισμοί, τὸ πάθος, πᾶσα ἡ ἐνέργεια αὐτοῦ, πᾶσα ἐνὶ λόγῳ ἡ ζωὴ αὐτοῦ ἁπλᾶ ὦσιν ὄργανα ἢ παιδιὰ τοῦ ἀοράτου τούτου ἐχθροῦ; Διὰ τί ἄρα, ἐν τῷ σκότει τοῦ προορισμοῦ αὐτοῦ, τῇ λάμψει ἔστιν ὅτε οὐκ οἶδα τίνος φωτὸς βλέπει ὡς ἀδιακρίτους μορφὰς τὴν ἀλήθειαν, τὴν δικαιοσύνην καὶ τὸ ἀγαθόν; γίγνεται τοῦτο μόνον ὅπως βασανίζηται ἐκ τῆς συναισθήσεως τοῦ τί ὤφειλεν εἶναι καὶ ἐκ ματαίας ἐλπίδος; Οὐχί. Ὁ κλῆρος τῆς ἀνθρωπότητος οὐκ ἐκ μόνων πλανῶν καὶ ἀγωνιῶν ἀπαρτίζεται· ὁ ἄνθρωπος ποθεῖ τὴν ἀσφάλειαν καὶ τὴν πίστιν· ὅταν τὸ ἐξ οὗ πάσχει κακὸν καλῶς γιγνώσκῃ, καιρὸς ἐστὶν ἵνα τοῦτο πραϋνθῇ καὶ ταῖς δοκιμασίαις αὐτοῦ τεθῇ τέρμα, καὶ αἰσθάνηται ἑαυτὸν μὴ εἶναι ὑποχείριον τῆς δυνάμεως ἐκείνης τῆς λυσσωδῶς κατ' αὐτοῦ ἐπιπιπτούσης, ἀλλ' ὑπὸ τὴν σκέπην τοῦ αὐστηροῦ ἅμα τε καὶ ἐπιεικοῦς νόμου τῆς θείας Προνοίας».

.....Αἱ μέριμναι αὗται καὶ τάσεις τῆς τραγῳδίας τοῦ Αἰσχύλου οὐ μόνον σύμφωνοι τῷ ἑλληνικῷ πνεύματί εἰσιν, ἀλλὰ καὶ τὸ ἀριθμλότατον αὐτοῦ γνώρισμα· οὐ μόνον ἐκ τῆς κινήσεως πηγάζουσιν, ἥτις ἀφ' Ὁμήρου ἀρξαμένη ἄνευ διακοπῆς διέρχεται τοὺς αἰῶνας, ἀλλὰ καὶ ὑπερφαίνουσι τὶς ὁρμὴ ἔμφυτος ἦγε τοὺς Ἕλληνας πρὸς τὴν ζωὴν καὶ τὸ φῶς ἐν τῷ βάθει τῶν ζαφερωτάτων θρησκευτικῶν δοξασιῶν, καθότι αὗται ἐγένοντο ἀφορμὴ τῆς εὑρέσεως τοῦ δράματος. Ὁ Αἰσχύλος ὅλως ἔμπλεως αὐτῶν ἐστι, τὰς ὑπουργοὺς τοῦ Ἅδου Ἐρινύας τρομερῷ μεγαλείῳ περιβάλλων, ὅπερ πρὸ αὐτοῦ οὐκ εἶχον, οὐδ' ἐπανεῦρον ὕστερον. Αὐτὸς δὲ οὗτος ἐπισημοτάτῳ τῷ τρόπῳ ἐκδίδωσι τὸ συμβόλαιον τῆς συνδιαλλαγῆς, ὃ ἄνευ οὐδεμιᾶς μειώσεως αὐτῶν ἀξιωτέρας αὐτὰς τοῦ σεβασμοῦ τοῦ ἡμετέρου λογικοῦ καθίζησι.

Περὶ τῆς λύσεως τῆς Ὀρεστείας καὶ τῆς μεταμορφώσεως τῶν ἀσπλάγχνων Ἐρινύων εἰς σεμνὰς θεὰς ἱκανὸν ἐποιησάμεθα λόγον, διότι ἡ μεταμόρφωσις αὕτη ὅλως ἑλληνική ἐστι· παρὰ μὲν τοῖς ἄλλοις λαοῖς ἡ ἀρχὴ τοῦ κακοῦ, ἅπαξ ἀναγνωρισθεῖσα, ἀμετακίνητος ἐν τῇ οὐσίᾳ αὐτῆς ἐστι, μεταβάλλουσα μόνον κατὰ τὴν ἄπειρον ποικιλίαν τῶν ἐπόψεων αὐτῆς· ὁ Ἀρειμάνιος ἀπὸ τῆς ἀρχῆς τοῦ κόσμου οὐ παύεται τὸ φθοροποιὸν στοιχεῖον ἐν παντὶ πράγματι ἀναμιγνύων, πιστὸς ἐν τῇ ὀλεθρίᾳ αὐτοῦ φύσει διαμένων. Ἡ δ' ἑλληνικὴ θρησκεία τὴν ἀπεριόριστον καὶ ἀνεξάρτητον ὕπαρξιν τῆς ἀρχῆς τοῦ κακοῦ οὐκ ἀποδέχεται· διότι τὰς δυνάμεις, αἷς τὴν κακοποιὸν φύσιν ἀπονέμει, ἠθικῇ τινι ἰδέᾳ τῆς τάξεως καὶ τῆς δικαιοσύνης περιβάλλει· ἐφ' ὅσον ἡ ἀνθρωπότης τελειοποιεῖται, βελτιοῦνται καὶ αὗται· ἡ κακοποιὸς δύναμις οὐκ ἔστιν ἀπεριόριστος, ἡ δὲ ἀγαθοποιὸς ἀρχὴ ἀναπτύσσεται ἐν αὐταῖς· αἱ Ἐρινύες γίνονται Εὐμενίδες· οὕτως ἡ ἀνθρωπότης καὶ αἱ ἐπιτετραμμέναι τὴν φροντίδα τοῦ προορισμοῦ αὐτῆς δυνάμεις πρὸς τὸ ἰδανικὸν τοῦ ἀγαθοῦ καὶ τῆς εὐδαιμονίας συμβαδίζουσιν· ὁ δὲ ἄριστος διερμηνεὺς τῶν μεγάλων τούτων ἰδεῶν ὑπῆρξε γνήσιον τῆς Ἑλλάδος τέκνον, ὁ Αἰσχύλος· τί δὲ ἄλλο ὄντως ἑλληνικώτερόν ἐστιν ἅμα τε καὶ διαρκέστερον καὶ ἁρμοδιώτερον κηλεῖν καὶ ὑποστηρίζειν ἢ τὸ βαθὺ συναίσθημα τοῦτο, ὅπερ τὴν αἰωνίαν ἀδυναμίαν καὶ τὴν αἰωνίαν δύναμιν ἀπεργάζεται τῆς ἀνθρωπότητος, ἡ δυσαναλογία δηλονότι τῶν δυνάμεων καὶ τῶν ἐπιθυμιῶν καὶ ἡ πίστις εἰς τὴν πρόοδον;»

Περὶ τοῦ ἀνθρώπου καὶ τῆς ἠθικῆς αὐτοῦ ἐλευθερίας.

§ 40. Ἐκ τῶν προειρημένων ἔξεστιν ἡμῖν τὸ συμπέρασμα ἐξαγαγεῖν ὅτι ὁ Αἰσχύλος ἐν ταῖς τραγῳδίαις αὐτοῦ ὁ πρόδρομος ἐγένετο τῆς ἠθικῆς τοῦ ἀνθρώπου ἐλευθερίας, προοδοποιῶν τὴν κυριαρχίαν τοῦ νοῦ καὶ τοῦ λόγου· ἀλλὰ τοῦτο οὐκ ἀρκεῖ ἡμῖν. Ὀφείλομεν, ὡς ἐζητάσαμεν τὰς σχέσεις τῶν Μοιρῶν, Ἐρινύων, Ἄτης, Ἀλάστορος πρὸς τοὺς θεοὺς ἐν ταῖς τραγῳδίαις τοῦ Αἰσχύλου, οὕτως ἐξετάσαι καὶ τίνες αἱ σχέσεις τῆς ἐλευθερίας τοῦ ἀνθρώπου πρὸς τὰς δυνάμεις ταύτας καὶ πρὸς τοὺς θεούς. Πάντων τούτων ἀναμιγνυομένων ἐν τοῖς ἀνθρωπίνοις πράγμασι, τί λείπεται τῇ ἐλευθερίᾳ τοῦ ἀνθρώπου καὶ τίνα τὰ ὅρια αὐτῆς; Εἰ μὲν πάντα τὰ πρόσωπα ἦσαν οἷος ὁ Προμηθεύς, ἡ ἐλευθέρα αὐτῶν θέλησις ἐκτὸς ἂν ἦν πάσης ἀμφισβητήσεως· ἀλλ' ἔχομεν Κλυταιμνήστραν, Ἐτεοκλῆ, Ὀρέστην. Ἡ Κλυταιμνήστρα ἐν τῇ ἐξάψει αὐτῆς οὐ μόνον τὴν ἐλευθέραν αὐτῆς θέλησιν ἀλλὰ καὶ ἑαυτὴν ἀπαρνεῖται, ὡς εἴδομεν (§ 30, Σελ. 155), ἀξιοῦσα ὅτι ἐν ἑαυτῇ ἐνσεσαρκωμένος ἐστὶν ὁ παλαιὸς Ἀλάστωρ τῶν Πλεισθενιδῶν· ἀλλ' ὁ χορὸς οὐδαμῶς αὐτὴν ἀπαλλάσσει τῆς ἐνοχῆς καὶ τῆς εὐθύνης τοῦ φόνου τοῦ Ἀγαμέμνονος·

> ὡς μὲν ἀναίτιος εἶ
> τοῦδε τοῦ φόνου τις ὁ μαρτυρήσων;

Ὅτε δὲ ἡ Κλυταιμνήστρα λέγει, ὅτι οὐδένα ἔχει φόβον, ἕως ἐν τῷ οἴκῳ αὐτῆς μένῃ ὁ Αἴγισθος εὖ φρονῶν αὐτῇ, καὶ θάρρος ἐμπνέων,

> οὗ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖ,
> ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμῆς
> Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί·
> οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ σμικρὰ θράσους·

λανθάνει ἑαυτὴν κατηγοροῦσα, ὅτι ἄλλο πάθος, οὐχ ὁ Ἀλάστωρ, ὦθησεν αὐτὴν εἰς τὴν μιαιφονίαν. Ὁ δὲ Ἐτεοκλῆς ἀγωνίζεται ἀποδείξαι ὅτι ὑπὸ τῆς πατρικῆς ἀρᾶς καὶ Ἐρινύος ὠθεῖται εἰς τὴν ἀδελφοκτονίαν· ἀλλ' ἐκ τοῦ διαλόγου αὐτοῦ καὶ τοῦ Χοροῦ ἀποτρέποντος αὐτὸν τῆς ἀδελφοκτονίας, βλέπει ἕκαστος ὅτι τὸ πάθος μᾶλλον ἄγει αὐτὸν κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἢ ἡ πατρικὴ ἀρά. Ἔπειτα αὐτός τε καὶ ὁ Πολυνείκης ἦσαν ἐλεύθεροι ἵνα καλῶς τῷ ἑαυτῶν πατρὶ προσενεχθῶσι καὶ μὴ κατὰ τῆς κεφαλῆς αὐτῶν τὴν πατρικὴν ἀρὰν ἐπισπάσωνται.

Ὁ δὲ Ὀρέστης ὄργανον μᾶλλον φαίνεται τοῦ Ἀπόλλωνος ἢ ἐλευθέραν ἔχων θέλησιν· διότι χρησμοὺς εἴληφε ῥητῶς ἐντελλομένους τὴν μητροκτονίαν· ὁμολογεῖ ἀλλ' ὅμως καὶ οὗτος ὅτι ἡ μήτηρ αὐτοῦ τιμωρηθήσεται διὰ τῶν θεῶν καὶ τῶν χειρῶν αὐτοῦ·

> πατρὸς δ' ἀτίμωσιν ἄρα τίσει
> ἕκατι μὲν δαιμόνων,
> ἕκατι δ' ἁμῶν χερῶν.

Ἀλλὰ τοῦτο καθίστησιν αὐτὸν ὑπεύθυνον ὅσον τὸν θεάν; Τίς ἀρνηθήσεται ὅτι ἡ κατ' ἐντολὴν τοῦ Ἀπόλλωνος μητροκτονία αὐτὴ ἀποτρόπαιός ἐστιν; ὀρθῶς δὲ λέγει καὶ ὁ Mesnard, «Ἔνθεν μὲν οἱ θεοὶ ἀκατάσχετον διδόασιν ὥθησιν τῇ βουλήσει τῶν ἀνθρώπων, ἔνθεν δὲ ἡ ἀρετὴ τῆς εὐνοίας αὐτῶν ἀξιοῦται, τὸ δὲ ἔγκλημα τῆς ὀργῆς αὐτῶν· τοῦτο ἀναντιρρήτως ἐστὶ δύσλυτον αἴνιγμα· ἀλλ' οὐ μόνον ἐν τῇ θεολογίᾳ τοῦ Αἰσχύλου ἡ ἁρμονία τῆς θείας παντοδυναμίας καὶ τῆς ἀνθρωπίνης εὐθύνης λίαν ἐστὶ σκοτεινή, ὁ δὲ ἄνθρωπος τοσαύτην ἔχει ἀνάγκην τῇ μὲν καὶ τῇ δὲ πιστεύειν καὶ ζῆν ἐν τῷ κάλυπτῳ τῆς ἀναποφεύκτου ταύτης σκοτεινότητος, ὥστε οὐ πολύ τι αὐτὸν ἐκπλήττει».

Ἐν δὲ τοῖς Πέρσαις αὐτὴ ἡ σκιὰ τοῦ Δαρείου λέγει ὅτι δι' ἀβουλίαν τοῦ Ξέρξου ἐνέσκηψαν τὰ δυστυχήματα τοῖς Πέρσαις·

> θνητὸς ὢν θεῶν δὲ πάντων ἥσσ', οὐκ εὐβουλίᾳ,
> καὶ Ποσειδῶνος κρατήσειν· πῶς τάδ' οὐ νόσος
> φρενῶν
> εἶχε παῖδ' ἐμόν;

Ἐπειδὴ δὲ ἡ Ἄτοσσα λέγει αὐτῷ ὅτι συμβουλῇ θεοῦ τινος ὁ Ξέρξης τὸν Ἑλλήσποντον ἐγεφύρωσε,

> γνώμης δὲ πού τις δαιμόνων ξυνήφατο·

ὁ Δαρεῖος διορᾷ μέγαν δαίμονα ὃς ἀφεῖλε τὰς φρένας τὸν Ξέρξην·

> φεῦ, μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν
> καλῶς·
> ἀλλ' ὅταν σπεύδῃ τις, χὠ θεὸς συνάπτεται.

Ὥστε ἡ σπουδή, ἡ θέλησις τοῦ Ξέρξου πάντων τῶν κακῶν πηγή·

> τῶν κακῶν ἔοικε πηγὴ πᾶσιν ηὑρῆσθαι φίλοις.

Ἀλλὰ παρὰ τῷ Ξέρξῃ ἀοράτως ἵστανται δύο γυναικεῖα πρόσωπα, ἡ Ἀσία καὶ ἡ Εὐρώπη, ἃ καθ' ὕπνον εἶδεν ἡ Ἄτοσσα·

> ἐσοξάτην μοι δύο γυναῖκ' εὐείμονε,
> ἡ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη,
> ἡ δ' αὖτε Δωρικοῖσιν, εἰς ὄψιν μολεῖν,
> μεγέθει τε τῶν νῦν ἐκπρεπεστάτα πολύ,
> κάλλει τ' ἀμώμω καὶ κασιγνήτα γένους
> ταὐτοῦ· πάτραν δ' ἔναιον ἡ μὲν Ἑλλάδα
> κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον.

Καὶ ἡ μὲν τὸν ἀσιατικὸν ἐκπροσωπεῖ πολιτισμόν, ἡ δὲ τὸν εὐρωπαϊκόν. Ὑπόθες τὸν Προμηθέα τοιαύτην ἔχοντα ἀδάμαστον θέλησιν, οἷαν ἐν τῇ ὁμωνύμῳ τραγῳδίᾳ, ὑπόθες ὅμως αὐτὸν νικητὴν καὶ χορηγοῦντα τοῖς ἀνθρώποις πᾶσαν τέχνην καὶ πᾶσαν ἐπιστήμην, καὶ ἔξεις τὸ πρόσωπον τὸ ἐκπροσωποῦν τὸν ἑλληνικὸν πολιτισμόν.

Ὁ Αἰσχύλος ἐν ταύτῃ τῇ τραγῳδίᾳ λανθάνει θανάσιμα καταφέρων τραύματα κατὰ τῆς Εἱμαρμένης· ὁ ἄγγελος λέγει μὲν πρὸς τὴν Ἀτοσσαν ὅτι κακός τις δαίμων ἦρξε τοῦ παντὸς κακοῦ,

ἦρξεν μέν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ
φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.

Ἐκ τῆς ἀφηγήσεως ὅμως αὐτοῦ (στίχ. 353—432) φαίνεται ὅτι ἡ μὲν ἧττα τῶν Περσῶν ἦν ἔργον τοῦ κακοῦ δαίμονος, ἡ δὲ νίκη τῶν Ἑλλήνων κατόρθωμα τῆς Θεᾶς, ᾗ ἐλάτρευον καὶ ὑπὲρ ἧς ἐμάχοντο· «Πῶς ἠδύνατο ὁ ἄνθρωπος μὴ αἰσθέσθαι ἑαυτοῦ ἐλευθέρου καὶ αὐτεξουσίου, ὅτε ἔβλεπε τὸν πολὺν ἀριθμόν, ὃς ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν οἱονεὶ Εἱμαρμένη ἐστί, νικώμενον ὑπὸ τῆς ἀνδρείας καὶ πειθαρχίας, τουτέστιν ὑπὸ τῆς διανοίας καὶ ἀρετῆς; Τοῦτο ἐμπνέει τῷ ἱστορικῷ τῶν Μηδικῶν πολέμων τοὺς ἀληθεῖς τούτους λόγους· «Οἰκότα μέν νυν βουλευομένοισι ἀνθρώποισι ὡς τὸ ἐπὶπαν ἐθέλει γίνεσθαι, μὴ δὲ οἰκότα βουλευομένοισι οὐκ ἐθέλει οὐδὲ ὁ θεὸς προσχωρέειν πρὸς τὰς ἀνθρωπηίας γενεάς (Η, 60)». Denis Histoire des Théories et des idées morales dans l'antiquité, I, pag. 30—31. Ὁ μοιρόπιστος Ἡρόδοτος (ἔνθ. § 20, σελ. 117—119) ἐλλαμφθεὶς ὑπὸ τοῦ φωτὸς τῆς ἀληθείας ἀναγνωρίζει ἐνταῦθα τὴν ἀνθρωπίνην ἐλευθερίαν καὶ τὴν δύναμιν αὐτῆς.

Καθόλου ὅμως εἰπεῖν, ἡ ἐλευθερία τῶν κακοποιῶν καὶ μιαιφόνων ἀνδρῶν ἐν ταῖς τραγῳδίαις τοῦ Αἰσχύλου περιορίζεται, ὅταν εἰς τοὺς ὄνυχας τῶν πονηρῶν πνευμάτων ἐμπέσωσι, τῶν Ἐρινύων, τῆς Ἄτης, τοῦ Ἀλάστορος· διότι δυσκόλως τῇ θελήσει αὐτῶν καὶ ἀγωνίᾳ, ἄνευ θείας ἀρωγῆς, τοῦ βαράθρου τούτου ἐξέρχονται. Ὁ Αἰσχύλος περιγράφων τὰς τρομερὰς βασάνους τῶν τρομερῶν τούτων Διαβόλων τῆς ἀρχαίας θρησκείας, σωστικὸν ἐμβάλλει τρόμον ταῖς ψυχαῖς τῶν θεατῶν, ὅπως τῶν μιαιφονιῶν καὶ τῶν ἄλλων κακῶν πράξεων ἀπέχωνται, φυλάττωσι δὲ ἀνεπηρέαστον τὴν ἠθικήν αὐτῶν ἐλευθερίαν· διότι ὁ πράττων τὸ ἀγαθὸν ἐλεύθερός ἐστι καὶ πάσης ἐπηρείας τῶν κακῶν πνευμάτων ἀπηλλαγμένος, ὡς φασι καὶ αὐταὶ αἱ Ἐρινύες·

τὸν μὲν καθαρὰς χεῖρας προνέμοντ'
οὔ τις ἐφέρπει μῆνις ἀφ' ἡμῶν,
ἀσινῆ δ' αἰῶνα διοιχνεῖ.

Τί δὲ περὶ τῆς καθόλου καταστάσεως τοῦ ἀνθρωπίνου γένους φρονεῖ ὁ Αἰσχύλος; Ὅτι καὶ ὁ Πίνδαρος, σκιᾶς ὄναρ ἄνθρωπος. Ὁ χορὸς τῶν Ὠκεανίδων μεμφόμενος τῷ Προμηθεῖ ὅτι λίαν τιμᾷ τὸ τῶν θνητῶν γένος λέγει, ὅτι ἡ χάρις ἄχαρίς ἐστι, διότι τίς ἡ δύναμις τῶν θνητῶν; οὐχ ὁρᾷς ὅτι μηδαμινή ἐζιν ἰσόνειρος;

αὐτανόῳ γνώμᾳ σέθεν θνητοὺς ἄγαν, Προμηθεῦ·
φέρ' ὅπως ἄχαρις χάρις, ὦ φίλος, εἰπὲ ποῦ τις
ἀλκά;
τίς ἐφαμερίων ἄρηξις; οὐὸ' ἐσέρχεθης
ὀλιγοδρανίαν ἄκικυν,
ἰσόνειρον, ᾗ τὸ φωτῶν
ἀλαὸν γένος ἐμπεποδισμένον;
(Προμηθ. 545—).

Ἡ δὲ Κασσάνδρα οἰκτείρει τὰ ἀνθρώπινα πράγματα, διότι τὸν μὲν εὐτυχοῦντα σκιὰ ἁπλῆ δύναται ἀνατρέψαι, τοῦ δὲ δυστυχοῦς σπόγγος ὑγρὸς ἐξαλείφει καὶ αὐτὸ τὸ ὄνομα·

Ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
σκιά τις ἂν τρέψειεν· εἰ δὲ δυστυχοῖ,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσεν γραφήν·
καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ.
(Ἀγαμ. 1327—).

Ὁ μὲν Πίνδαρος λέγει ὅτι πρὸς ἓν ἀγαθὸν οἱ θεοὶ διδόασι τῷ ἀνθρώπῳ δύο κακά· ὁ δὲ Αἰσχύλος φρονεῖ ὅτι τὸ πλῆθος τῶν κακῶν ὡς ποταμὸς ἐπέρχεται τῷ ἀνθρώπῳ·

καὶ πολλαχῇ γε δυσπάλαιστα πράγματα,
κακῶν δὲ κλῆθος ποταμὸς ὡς ἐπέρχεται·
ἄτης δ' ἄθυσσον πέλαγος οὐ μάλ' εὔπορον.
(Ἱκέτ. 469—).

Ὁ Αἰσχύλος τὰς δυστυχίας ὑπολαμβάνει ἀναγκαίας τῷ ἀνθρώπῳ, ἀνυψῶν αὐτὰς εἰς νόμον ὑπὸ τοῦ Διὸς ἐμπεδωθέντα, οὗ ἄνευ οὐδεμία μάθησις δυνατή· *πάθει μάθος* = *τὰ παθήματα μαθήματα*·

Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων
τεύξεται φρενῶν τὸ πᾶν·
τὸν φρονεῖν βροτοὺς ὁδώσαντα, τὸν πάθει μάθος
θέντα κυρίως ἔχειν.

Ἡ γνώμη αὕτη ἦν τῶν Ὀρφικῶν καὶ Πυθαγορείων ὅτι διὰ τῶν δοκιμασιῶν καὶ παθημάτων ὁ ἄνθρωπος ἐξαγνίζεται καὶ βελτιοῦται.

Ἐκ δὲ τῶν γενικῶν τούτων ἠθικῶν ἀρχῶν τοῦ Αἰσχύλου ἀπορρέουσιν αἱ ἄλλαι, ὅτι ὁ ἄνθρωπος ὀφείλει εἶναι μετριόφρων, φρόνιμος, εὐσεβὴς πρὸς τοὺς θεούς, πρὸς τοὺς γονεῖς, πρὸς τοὺς ξένους, ἐχθρὸς τῆς ὑψηλοφροσύνης καὶ ἀλαζονείας καὶ ὑψηγορίας, φιλοδίκαιος. Ἐν τῇ πράξει τῶν ἀρετῶν τούτων ἡ ἐλευθερία τοῦ

ἀνθρώπου οὐ μόνον πρὸς οὐδὲν προσκρούει κώλυμα, ἀλλὰ καὶ τῆς εὐνοίας ἀπολαύει καὶ ἀρωγῆς τῶν θεῶν.

α'. Μετριοφροσύνη· ὁ εἰδὼς ὅτι ὁ ἄνθρωπος οὐδέν ἐστι, γινώσκει ἑαυτὸν καὶ κατ' ἀνάγκην γίγνεται μετριόφρων.

Γίνωσκε σαυτὸν καὶ μεθάρμοσον τρόπους

λέγει ὁ Ὠκεανὸς πρὸς τὸν ὑψηλόφρονα Προμηθέα·

παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασεν.

Τίς ἀγνοεῖ ὅτι τό, *πᾶν μέτρον ἄριστον* καὶ τὸ *μηδὲν ἄγαν* ἦσαν ἑλληνικώτατα ἀξιώματα πολὺ πρότερον πρὶν ἢ ὁ Ἀριστοτέλης κηρύξῃ τὴν μεσότητα ἀρετήν; (ἴδ. § 34, Σελ. 134).

β'. Εὐσέβεια· ὁ μετριόφρων πάντως ἐστὶ καὶ θεοσεβής, διότι γινώσκων τὴν ἀσθένειαν τοῦ ἀνθρώπου προσφεύγει πρὸς τὸν θεὸν ὡς πρὸς ἄσυλον·

δεινὸς δὲ θεοὺς σέβει.

Καὶ ὁ Αἰσχύλος, ὡς ὁ Πίνδαρος, διδάσκει σέβας πρὸς τοὺς θεούς, πρὸς τοὺς γονεῖς πρὸς τοὺς ξένους·

βωμὸν αἴδεσαι δίκας·
. . . . . .
πρὸς τάδε τις τοκέων σέβας εὖ προτίων
καὶ ξενοτίμους
ἐπιστροφὰς δωμάτων
αἰδόμενός τις ἔστω. (Εὐμεν. 539—).

θεοὺς δ' οἳ γᾶν ἔχουσιν, ἀεὶ
τίοιεν ἐγχωρίους πατρῴοις
δαφνηφόροισι βουθύτοισι τιμαῖς.
τὸ γὰρ τεκόντων σέβας
τρίτον τόδ' ἐν θεσμίοις
Δίκας γέγραπται μεγιστοτίμου. (Ἱκέτ. 704—).

γ'. Ὑψηλοφροσύνη, ἀλαζονεία. Ὁ Αἰσχύλος σφόδρα ἀπαγορεύει τὴν ὑπερφροσύνην, διότι πολλὰ τὰ ἐξ αὐτῆς ἐπακόλουθα κακά· οἱ μεγαλόφρονές εἰσιν ἀλαζόνες καὶ περιφρονηταὶ τοῦ θείου·

φυσίφρονες δ' ἄγαν ἀνιέρῳ μένει μεμαργωμένοι
κυνοθαρσεῖς, θεῶν οὐδὲν ἐπαίοντες. (Ἱκέτ. 757).

Ἡ ὑπερηφάνεια, ὡς ἄρουρα, γεννᾷ πολλοὺς στάχυς τῆς Ἄτης·

ὡς οὐκ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν·
ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν
ἄτης, ὅθεν πάγκλαυτον ἐκμᾷ θέρος·
ταιαῦθ' ὁρῶντες τῶνδε τἀπιτήμια
μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
ὑπερφρονήσας τὸν παρόντα δαίμονα
ἄλλων ἐρασθεὶς ἄλβον ἐκχέῃ μέγαν.

Ζεὺς τοι καλαστὴς τῶν ὑπερκόπων ἄγαν
φρονημάτων ἔπεστιν· εὔθυνος βαρύς.
(Πέρσ. 820—).

Θαυμασίως δὲ ὁ Αἰσχύλος τὸν ἀσεβῆ καὶ ἀλαζόνα χαρακτῆρα τοῦ Καπανέως περιγράφει, ὃς κακὸς κακῶς ἀπώλετο ὑπὸ τῶν θεῶν διὰ τὴν ἀσεβῆ αὐτοῦ ὑπερηφάνειαν·

Ἀγ. γίγας δ' ἄλλος τοῦ πάρος λελεγμένου
μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ,
πύργους δ' ἀπειλεῖ δεῖν' ἃ μὴ κραίνοι τύχη·
θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
καὶ μὴ θέλοντός φησιν, οὐδὲ τὴν Διὸς
ἔριν πέδοι σκήψασαν ἐμποδὼν σχεθεῖν.

Ἐτ. Καπανεὺς ἀπειλεῖ πᾶν παρεσκευασμένος
δρᾶν, θεοὺς ἀτίζων, κἀπογυμνάζων στόμα
χαρᾷ ματαίᾳ θνητὸς ὢν εἰς οὐρανὸν
κέμπει γεγωνὰ Ζηνί κυμαίνοντ' ἔπη·
πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
ἥξειν κεραυνόν.

δ'. Δικαιοσύνη· τῆς ἀρετῆς ταύτης πάντες οἱ ποιηταὶ ἀπὸ Ὁμήρου ἀρξάμενοι ὑπῆρξαν θεράποντες καὶ κήρυκες (ἴδ. § 15. 16. 24. 26. 34)· οὐδενὸς δὲ τῶν ἄλλων ὑπολείπεται ὁ Αἰσχύλος, πανταχοῦ καὶ πάντοτε τὸ τῆς Δίκης ὄνομα ἔχων ἀνὰ στόμα[1] καὶ ἴδιον ἐκφράζων φρόνημα ὅτι ὁ οἶκος τοῦ δικαίου ἀεὶ εὐημερεῖ, οὐδ' ἐστὶν ὀρθὸν τὸ λεγόμενον παλαιόθεν, ὅτι ὁ μέγας ὄλβος τεκνογονεῖ, ἀλλὰ τὰ γεννώμενά εἰσι μεγάλαι δυστυχίαι·

παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος
τέτυκται, μέγαν τελεσθέντα φωτὸς ὄλβον
τεκνοῦσθαι μηδ' ἄπαιδα θνήσκειν,
ἐκ δ' ἀγαθᾶς τύχας γένει
βλαστάνειν ἀκόρεστον οἰζύν·
ὀίζω δ' ἄλλων μονόφρων εἰμί· τὸ δυσσεβὲς γὰρ ἔργον
μετὰ μὲν πλείονα τίκτει, σφετέρᾳ δ' εἰκότα γέννᾳ.
οἴκων δ' ἀρ' εὐθυδίκων

---

1) Ὁ Εὐριπίδης ἐν τῇ σοφῇ Μελανίππῃ εἶπε περὶ τῆς δικαιοσύνης ὅτι τὸ πρόσωπον αὐτῆς λαμπρότερόν ἐστι τοῦ Ἑσπέρου καὶ τοῦ Λύγερινοῦ·

δικαιοσύνης τὸ χρύσεον πρόσωπον·
οὔθ' ἕσπερος οὔθ' ἕῳος οὕτω
θαυμαστός.

Τούτων δὲ τῶν στίχων ἐμνημόνευσεν ὁ Ἀριστοτέλης ἐν τοῖς Ἠθικοῖς Νικομαχείοις βουλόμενος ἀποδεῖξαι ὅτι ἡ δικαιοσύνη τελεία ἐστὶν ἀρετή· κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη, καὶ οὔθ' Ἕσπερος οὔθ' Ἕῳος οὕτω θαυμαστός· καὶ παροιμιαζόμενοί φαμεν· ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετὴ ἔνι».

καλλίπαις πύτμος ἀεί.
φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεάζουσαν ἐν κακοῖς βροτῶν ὕβριν
τότ' ἢ τόθ', ὅταν τὸ κύριον μόλῃ
νεαρὰ φόνου κότου,
δαίμονά τε τὸν ἄμαχον, ἀπύλεμον, ἀνίερον
θράσος μελαίνας μελάθροισιν Ἄτας
εἰδομέναν τοκεῦσιν·
Δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν,
τὸν δ' ἐναίσιμον τίσει βίον·
τὰ χρυσόπαστα δ' ἔδεθλα σὺν πίνῳ χερῶν
παλιντρόποις
ὄμμασι λιποῦσ', ὅσια πρασσέθεμις δύναμιν οὐ σέβουσα πλούτου παράσημον αἴνῳ.
(Ἀγαμ. 750—).

Ἴσως γράφων ταῦτα ὁ ποιητὴς εἶχεν ἐν νῷ τὸν δίκαιον Ἀριστείδην καὶ τὸν συγγενῆ αὐτοῦ τὸν λακκόπλουτον Καλλίαν. Καὶ ἀλλαχοῦ δὲ (αὐτόθι στίχ. 382—) ἀποφαίνεται ὅτι ὁ πλοῦτος οὐ δύναται τὸν παραβάτην τῆς δικαιοσύνης ἀπαλλάξαι τοῦ ὀλέθρου·

οὐ γάρ ἐστιν ἔπαλξις
πλούτου πρὸς κῆρον ἀνδρὶ
λακτίσαντι μέγαν Δίκας βωμὸν εἰς ἀφάνειαν.

Ἐκ τῶν μακρῶν τούτων, ἀναγκαίων δὲ μελετῶν περὶ τῶν θρησκευτικῶν δοξασιῶν τοῦ Αἰσχύλου τελειωρούμεθα τὰ ἑξῆς.

α. Ὅτι ὡς πάντες οἱ ποιηταὶ ἀπὸ Ὁμήρου καὶ ἑξῆς, οὕτω καὶ ὁ Αἰσχύλος ἐπίστευεν εἰς τὰς Μοίρας, εἰς τὰς Ἐριννύας, Ἄτην καὶ Λιτὰς θεοὺς ἀναγκαίους, ἀλλ' ἐπίστευεν ὡσαύτως ὅτι ἡ δύναμις τῶν Μοιρῶν οὐκ ἦν ὑπερτέρα τῆς τῶν θεῶν, παλλοῦ γε καὶ δεῖ· αὗταί τε καὶ αἱ Ἐριννύες καὶ ἡ λοιπὴ χορεία τῶν πονηρῶν πνευμάτων ὑπεῖκον τοῖς θεοῖς καὶ οὐδὲν ἄνευ τῆς ἐπινεύσεως αὐτῶν ἔπραττον· διότι ἄλλως οἱ θεοὶ ἀνέτρεπον τὰς ἀποφάσεις αὐτῶν.

β'. Ὅτι ἡ ἐλευθερία τῶν ἐνόχων καὶ ἁμαρτωλῶν ὡς λέγομεν νῦν, ἐν ἄλλαις λέξεσι τῶν τραγικῶν προσώπων, ἦν περιωρισμένη, παραδιδομένων εἰς τὰς χεῖρας τῶν Ἐριννύων, τῆς Ἄτης, τοῦ Ἀλάστορος, τῇ ἐπινεύσει τῶν θεῶν τιμωρούντων τὴν πονηρίαν καὶ ἀδικίαν. Περὶ τοῦ Αἰσχύλου ὀρθῶς ἔχει λεγόμενον ὅ,τι ὁ σοφὸς Croiset περὶ Πινδάρου εἶπεν· «ἐνώπιον τῆς αἰωνίου ἀντινομίας τῆς ἀνθρωπίνης ἐλευθερίας καὶ τῆς θείας παντοδυναμίας τὸ ἀνθρώπινον πνεῦμα κατὰ τοὺς καιρούς, ὁτὲ μὲν πρὸς τὸν ἄνθρωπον, ὁτὲ δὲ πρὸς τὸν θεὸν ῥέπει. Κατὰ τὰς θρησκευτικὰς ἐποχὰς ἡ εὐσέβεια πολὺ μὲν τῇ θείᾳ παραχωρεῖ χάριτι, ὀλίγον δὲ τῇ ἀνθρωπίνῃ ἐλευθερίᾳ». Καὶ τοιαύτη ἐποχὴ ἦν ἡ τοῦ Αἰσχύλου καὶ Πινδάρου.

Ἀναξαγόρας καὶ ἡ φιλοσοφία τοῦ Νοῦ.

§ 41. Διὰ τοῦ ἀτρομήτου ὕμνου τοῦ ἠθικοῦ χαρακτῆρος τοῦ Προμηθέως, ὃς ἀνδρείως πρὸς τὴν βίαν καὶ τὸ κράτος τοῦ Διὸς ἀντιτάσσεται καὶ γενναίως πίπτει, καὶ μετὰ τὴν σωματικὴν ἧτταν ἀήττητον διατηρῶν τὸ φρόνημα, ὁ Αἰσχύλος τοῦ νέου πνεύματος ἐγένετο πρόδρομος, προοδοποιῶν τὸ κράτος τῆς ἐλευθερίας τοῦ ἀνθρωπίνου νοῦ καὶ τοῦ λόγου καὶ προαγγέλλων αὐτό· «ὁ Αἰσχύλος, λέγει ὁ φιλόσοφος Ζέλλερος, ἐν τοῖς μεθορίοις ἵσταται δύο περιόδων πνευματικῆς ἀναπτύξεως· ἐν οἷς δὲ λέγει περὶ ἡμερώσεως τοῦ ἀρχαίου δικαίου καὶ τῆς κυριαρχίας τῶν θεῶν, ἀφηγεῖται κατ' ἄλλον τρόπον τοῦτο ὅπερ ὕστερον ἐγένετο, ὅτε ἡ φαιδρὰ καλλονὴ τῶν χρόνων τοῦ Περικλέους διεδέξατο τὸ αὐστηρὸν τῆς Μαραθωνομάχου γενεᾶς. Τότε μάχη καὶ συνδιαλλαγὴ τῶν ἀρχαίων καὶ νέων χρόνων ἐπῆλθε καὶ παρ' αὐτοῖς τοῖς θεοῖς ἐν τῷ οὐρανῷ, ὡς φησι Köchly».

Ἴδει ἵνα ἡ Εἱμαρμένη ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων ἐκθρονισθῇ καὶ καταθρυσθῇ τὸ κράτος αὐτῆς, τὴν δὲ τάξιν αὐτῆς καταλάβῃ ὁ νοῦς καὶ ὁ λόγος· ἔδει ἵνα φωτισθῇ τὸ πνεῦμα τοῦ ἀνθρώπου καὶ ἀπαλλαγῇ τῶν τρόμων καὶ βασάνων τῶν πονηρῶν πνευμάτων. Καὶ τοῦτο ἐγένετο. Ἀλλὰ πόθεν ἦλθε τὸ φῶς; ἐξ Ἰωνίας.

Τῷ 480 π. Χ., ὅτε τὰ παράλια τῆς Σαλαμῖνος, τῆς Μυκάλης καὶ τὰ πεδία τῶν Πλαταιῶν εἰς οὐρανὸν ἀνέπεμπον τοὺς ἐπινικίους ὕμνους τῶν Ἑλλήνων, ὁ Ἀναξαγόρας ἐξ Ἰωνίας ἤρχετο εἰς Ἀθήνας φέρων τὴν φιλοσοφίαν τοῦ Νοῦ. Ἡ σύμπτωσις αὕτη οὐκ ἦν τυχαία, ἀλλὰ συνάντησις διδύμων καὶ ὁμαιμόνων ἀδελφῶν[1]

1) Τοιαύτη καθ' ἡμᾶς ἡ πρώτη καὶ κυριωτάτη αἰτία τῆς ἐκτάκτου πνευματικῆς κινήσεως καὶ προαγωγῆς κατὰ τοὺς χρόνους τοῦ Περικλέους. Ὁ δὲ Γαλάτης Filleul, ὁ συγγραφεὺς τοῦ *Αἰῶνος τοῦ Περικλέους (le Siècle de Périclès)*, βούλεται τε εἰπεῖν, ἀλλ' οὐδὲν λέγει γράφων τοιάδε. «Ἐν τισιν ἐποχαῖς αἱ ἀνθρώπιναι κοινωνίαι ἰδίου τινὸς ἐμφοροῦνται πνεύματος, τὰς διανοίας πρὸς τὸ ἀληθὲς ἄγοντος μεγαλεῖον καὶ κάλλος. Τότε δὴ ἐν παντὶ εἴδει πλῆθος μεγαλοφυῶν ἀνδρῶν ἀνακαίονται· ὁ δὲ μετὰ προσοχῆς καὶ ἀμεροληψίας ἐξετάζων τὰ πράγματα εὑρίσκει ὅτι τοῦτο οὔτε τῆς ἐλευθερίας ἐστὶν

τῆς ἐλευθερίας τοῦ σώματος καὶ τῆς ψυχῆς, καὶ τῆς ἐλευθερίας τοῦ πνεύματος καὶ τοῦ λόγου, συνάντησις θαυματουργός, ἐξ ἧς πάντα ἐπήγασαν, ἐφ' οἷς ὁ χρυσοῦς τοῦ Περικλέους αἰὼν κλείζεται.

Τότε παύει τὸ κράτος τῆς Εἱμαρμένης, ἥτις βαρέως ἔτι, ὡς ἐφιάλτης, τὰ στήθη τῶν ἀνθρώπων ἐπίεζεν, ἄρχεται δὲ τὸ κράτος τοῦ νοῦ καὶ τοῦ λόγου· τότε ἐκδηλοῦται ἐναργῶς καὶ γονίμως ἡ ἁρμονία τῆς φύσεως τοῦ ἐδάφους καὶ τοῦ κλίματος τῆς Ἀττικῆς καὶ τῆς φύσεως τῶν Ἀθηναίων· τότε ἡ διάνοια ἡ τῶν ἀνθρώπων ἀναζητεῖ καὶ ἀνευρίσκει τὴν ἀδελφὴν αὐτῆς, τὴν ἐν τῇ φύσει διάνοιαν τοῦ δημιουργοῦ, ἣν καὶ πρότυπον τῶν ἔργων αὐτῆς λαμβάνει· τότε καὶ ἡ ὑψίστη διάνοια τῆς πολιούχου θεᾶς ἀποκαλύπτεται ἐν ὕλῃ αὐτῆς τῇ τελειοτάτῃ τοῖς ποιηταῖς καὶ τοῖς ἀγαλματοποιοῖς· τότε ἡ ἑλληνικὴ παιδεία ἐξικνεῖται τῶν ἄκρων κορυφῶν, δι' ἧς ἡ πόλις τῆς Παλλάδος καθίσταται ὑπέρλαμπρος ἑστία τῶν φώτων καὶ κοινὸν διδασκαλεῖον τῆς Ἑλλάδος συμπάσης.

Ὁ Ἀναξαγόρας τεσσαράκοντα ἐν Ἀθήναις διέτριψεν ἔτη διδάσκων τὴν φιλοσοφίαν τοῦ Νοῦ. Ἐδίδαξε δὲ ἄλλους τε καὶ Θουκυδίδην τὸν ἱστορικὸν καὶ Εὐριπίδην τὸν ἀπὸ σκηνῆς φιλόσοφον, ἰδίᾳ ὅμως Περικλέα τὸν πάνυ, ἐν οὗ τῷ οἴκῳ καὶ παρέμενεν. Ὁ δὲ Σωκράτης, εἰ μὴ μαθητὴς τοῦ Ἀναξαγόρου ἐγένετο, ἀνέγνω πάντως καὶ ἐμελέτησε τὸ *Περὶ Φύσεως* σύγγραμμα αὐτοῦ (ἴδ. § 47).

Ὁ Ἀναξαγόρας προσηγορεύθη *Νοῦς*, διότι τοῖς ἄλοις, φησὶ Πλούταρχος, πρῶτος οὐ τύχην, οὐδ' ἀνάγκην διακοσμήσεως ἀρχὴν, ἀλλὰ Νοῦν ἐπέστησε καθαρὸν καὶ ἄκρατον. Λέγει δὲ καὶ Ἀριστοτέλης· «Νοῦν δέ τις εἰπὼν ἐνεῖναι, καθάπερ ἐν τοῖς ζώοις, καὶ ἐν τῇ φύσει τὸν αἴτιον τοῦ κόσμου καὶ τῆς τάξεως πάσης, οἷον νήφων ἐφάνη παρ' εἰκῆ λέγοντας τοὺς πρότερον»[1]. Ἡ διδασκαλία αὕτη τοῦ Ἀναξαγόρου βαθείας κατέβαλε ῥίζας καὶ πολυειδῶς ἠρμηνεύθη· οἷον ὁ μὲν κωμικὸς Πλάτων ἔλεγε,

προμηθία γὰρ ἀνθρώποις ὁ νοῦς·

ὁ δὲ Μένανδρος·

θεός ἐστι τοῖς χρηστοῖς ἀεὶ
ὁ νοῦς.

Οἱ χαρακτῆρες οὗτοι κατατάσσουσι τὸν Θου-κυδίδην ἐν τοῖς μεγίστοις τῶν ὅσοι ἀφηγήσαν-το ἢ ἔκριναν τὰ τῆς ἀνθρωπότητος, τῇ δὲ ἱστορίᾳ αὐτοῦ ἐξασφαλίζουσι τὴν ἣν ἀπένειμεν αὐτῇ σπουδαιότητα. Ὁ μὲν Βοσσουέτος ἀνα-λαβὼν τὴν σύλληψιν τοῦ Ἡροδότου καὶ ταύτην ὑπὸ χριστιανικὴν ἔμπνευσιν εὑρύνας, τὰς βου-λὰς τοῦ Θεοῦ δείκνυσι διεπούσας τὰς ἐπανα-στάσεις τῶν μοναρχιῶν καὶ ποιούσας αὐτὰς κατ' ἀρχὰς μὲν συντηρεῖν τὸ σπέρμα τῆς σω-τηρίας τοῦ ἀνθρωπίνου γένους, οὗ φύλαξ ἦν εἷς λαός, ὕστερον δὲ διασπεῖραι αὐτὸ ἀνὰ πᾶ-σαν τὴν οἰκουμένην. Ὁ δὲ Θουκυδίδης οὐκ ἐ-θέλει διερμηνεὺς γενέσθαι οὔτε τῆς θείας θελή-σεως οὔτε τῆς θείας προνοίας, ἀλλὰ μόνον ἐξ ὀνόματος τῆς ἀνθρωπίνης διανοίας ὁμιλεῖ, ποιεῖ δὲ αὐτὸ μετὰ τοσαύτης δικυγείας, ὥστ' ἐκ ταύτης τῆς μικρᾶς μοίρας τῆς ἑλληνικῆς ἱστορίας σύμπαν τὸ μέλλον καὶ σύμπασαν τὴν οἰκουμένην φωτίζει».

Καὶ ὁ Ὀδ. Μύλλερος λέγει· «Ὁ Θουκυδίδης μετά τινος αὐστηρότητος ἐκ τῆς ἱστορίας ἀπέ-κλεισε τὰς παραδόσεις, τὴν μυθολογίαν, τὴν ποίησιν ὡς ἀλλοτρίας καὶ μηδὲν ἐχούσας αὐτῇ κοινόν. Δυνάμεθα δ' αὐτὸν Ἀναξαγόραν καλέ-σαι τῆς ἱστορίας· διότι τὰ θεῖα πράγματα οὕ-τω σαφῶς χωρίζει ἀπὸ τῆς ἀλληλουχίας τῶν αἰτίων τοῦ ἀνθρωπίνου βίου, ὡς ὁ φυσιολόγος τῆς Ἰωνίας τὸν Νοῦν ἀπὸ τῶν ἀποτελεσμάτων τῶν φυσικῶν δυνάμεων ἐχώρισεν».

Οἱ λόγοι τοῦ Μυλλέρου ἑρμηνείας χρῄζουσι, διότι ὁ Θουκυδίδης ἔστιν ὅπου τῆς ἱστορίας αὐ-τοῦ λόγον ποιεῖται περὶ τῶν θείων, οὐχ ὅμως καθ' ὃν τρόπον ὁ Ἡρόδοτος ἐξ ἑαυτοῦ, ἀλλ' ὡς ἐκ τῶν πραγμάτων[1] καὶ τῶν περιστάσεων καὶ τῶν δρώντων προσώπων, ἃ πρὸς δικαιολόγησιν τῶν ἀποφάσεων καὶ τῶν πράξεων αὐτῶν χρῶν-ται ἐν τοῖς λόγοις αὐτῶν τοῖς θείοις ὡς μιᾷ τῶν ἀφορμῶν ἐξ ὧν ὁρμῶνται· οἷον οἱ Πλα-ταιεῖς (Β, 71, 74· Γ, 58—59) πολιορκούμε-νοι ὑπὸ τῶν Λακεδαιμονίων καὶ τῶν ἄλλων συμμάχων, πέμψαντες πρέσβεις ἔλεγον τοιάδε· «Ἀρχίδαμε καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖ-τε οὐδὲ ἄξια οὔτε ὑμῶν οὔτε πατέρων ὧν ἔσε, ἐς γῆν τὴν Πλαταιῶν στρατεύοντες· Παυσανίας γὰρ ὁ Κλεομβρότου, Λακεδαιμόνιος, ἐλευθερώ-σας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων μετὰ Ἑλ-λήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυ-νον τῆς μάχης, ἣ παρ' ἡμῖν ἐγένετο, θύσας ἐν

1) «Ἡ ἱστορία τοῦ Πελοποννησιακοῦ πολέμου, καίπερ ἀτελής, συγκινεῖ, ὡς ἡ τραγῳδία· ἡ δὲ συγ-κίνησις αὕτη ἐπιγέννημά ἐστι τῆς ἱστορικῆς πραγ-ματικότητος, οὐδεμία δὲ χρεία ἐγένετο τῆς βοηθείας τῶν θεῶν πρὸς διαλεύκανσιν τῶν συμβαινόντων. Ὁ Θουκυδίδης οὐκ ἀγνοεῖ, ὅτι λίαν ἀπαραίτητος τῇ δημοσίᾳ εὐημερίᾳ ἐστὶν ἡ θρησκεία, καὶ διὰ τῆς περιγραφῆς αὐτοῦ δείκνυσιν, ὅτι οὐ μόνον τὴν τῶν ἠθῶν διαφθοράν, ἀλλὰ καὶ τὴν τῆς θρησκείας ἀπο-δοκιμάζει, ἀλλ' ἐᾷ ἵνα ἡ κυβέρνησις τῆς θεότητος καὶ ἡ ἠθικὴ τάξις διὰ τῆς πορείας αὐτῆς τῆς ἱστο-ρίας ἐμφανισθῶσι· φρονεῖ ὅτι ἡ ἀνθρωπεία φύσις ἡ αὐτὴ μένει, ἐκτίθησι δὲ τοὺς ἠθικοὺς νόμους, ὅτε ἐξ ὡρισμένων περιπτώσεων λαμβάνων ἀφορμήν, δεί-κνυσι πῶς ἡ δυστυχία ἐκ τῆς ἀδυναμίας καὶ τῶν παθῶν τοῦ ἀνθρώπου γεννᾶται, ἃ γινώσκει ἀρκούν-τως καὶ ὀρθῶς κρίνει· αὐθαιρέτου πίστιν δίδωσιν εἰς τὰ σημεῖα ἐκεῖνα, ἐν οἷς παρ' Ἡροδότῳ ἡ χεὶρ τῆς θεότητος ἀποκαλύπτεται. . . . . Ἡ ἱστορία τοῦ Θουκυδίδου διεγείρει τὸν ὕψιστον θαυμασμὸν ἡμῶν οὐ μόνον ὑπὲρ τοῦ συγγραφέως, ἀλλὰ καὶ ὑπὲρ τῶν χρόνων οἵτινες τοιοῦτον ἄνδρα ἠδυνήθησαν ἐκθρέψαι».

Zeller.

τῇ Πλαταιῶν ἀγορᾷ Διὶ τῷ Ἐλευθερίῳ ἱερὰ καὶ ξυγκαλέσας πάντας τοὺς ξυμμάχους ἀπεδίδου Πλαταιεῦσι γῆν καὶ πόλιν τὴν σφετέραν ἔχοντας αὐτονόμους οἰκεῖν, στρατεύσαί τε μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς μηδ' ἐπὶ δουλείᾳ· εἰ δέ μή, ἅπερ καὶ τὸ πρότερον ἤδη προύκαλεσάμεθα, ἡσυχίαν ἄγατε νεμόμενοι τὰ ὑμέτερα αὐτῶν, καὶ ἕστε μηδὲ μεθ' ἑτέρων, δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ μηδὲ ἑτέρους· καὶ τάδε ἡμῖν ἀρκέσει».

Ἐπειδὴ δὲ οὐδὲν τούτων ἀπεδέξαντο οἱ Πλαταιεῖς, ὁ Ἀρχίδαμος εἰς ἐπιμαρτυρίαν ἐπικαλεῖται τοὺς ἐγχωρίους θεοὺς καὶ ἥρωας· «Θεοί ὅσοι γῆν τὴν Πλαταιΐδα ἔχετε καὶ ἥρωες, ξυνίστορες ἔστε ὅτι οὔτε τὴν ἀρχὴν ἀδίκως, ἐκλιπόντων δὲ τῶνδε τὸ ξυνώμοτον, ἐπὶ γῆν τήνδε ἤλθομεν, ἐν ᾗ οἱ πατέρες ἡμῶν εὐξάμενοι ὑμῖν Μήδων ἐκράτησαν καὶ παρέσχετε αὐτὴν εὐμενῆ ἐναγωνίσασθαι τοῖς Ἕλλησιν, οὔτε νῦν, ἢν τι ποιῶμεν, ἀδικήσομεν· προκαλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα οὐ τυγχάνομεν· ξυγγνώμονες δὲ ἔστε τῆς μὲν ἀδικίας κολάζεσθαι τοῖς ὑπάρχουσι προτέροις, τῆς δὲ τιμωρίας τυγχάνειν τοῖς ἐπιφέρουσι νομίμως».

Ὅτε δὲ οἱ Πλαταιεῖς οὐκέτι δυνάμενοι ἀντέχειν παρεδόθησαν τοῖς Λακεδαιμονίοις καὶ ἐκρίνοντο περὶ ζωῆς καὶ θανάτου, ζητοῦσι μαλάξαι τὴν καρδίαν αὐτῶν ἐπαναλαμβάνοντες ὅσα καὶ πρότερον εἶπον· «ὑμεῖς δὲ εἰ κτενεῖτε ἡμᾶς καὶ χώραν τὴν Πλαταιΐδα Θηβαΐδα ποιήσετε, τί ἄλλο ἢ ἐν πολεμίᾳ τε καὶ παρὰ τοὺς αὐθένταις πατέρας τοὺς ὑμετέρους καὶ ξυγγενεῖς ἀτίμους γερῶν ὧν νῦν ἰσχουσι καταλείψετε; πρὸς δὲ καὶ γῆν ἐν ᾗ ἠλευθερώθησαν οἱ Ἕλληνες δουλώσετε, ἱερά τε θεῶν οἷς εὐξάμενοι Μήδων ἐκράτησαν ἐρημοῦτε, καὶ θυσίας τὰς πατρίους τῶν ἐσσαμένων καὶ κτισάντων ἀφαιρήσεσθε».

Ἀλλὰ μάτην ἐπεκαλέσαντο τοὺς ἐλευθερίους θεοὺς καὶ τοὺς ὅρκους τῶν πατέρων. Πάντες ἐσφάγησαν ἀνηλεῶς. Καὶ οἱ Μήλιοι δέ, ἄποικοι ὄντες Λακεδαιμονίων, ὑπὸ δὲ Ἀθηναίων πολιορκούμενοι παρὰ τὸ δίκαιον (Ε, 89—90) προσκαλοῦνται ὑποταγῆναι «μηδὲ ὁμοιωθῆναι τοῖς πολλοῖς, οἷς παρὸν ἀνθρωπείως ἔτι σώζεσθαι, ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλίπωσιν αἱ φαναραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθίστανται, μαντικήν τε καὶ χρησμοὺς[1] καὶ ὅσα τοιαῦτα μετ' ἐλπίδων λυμαίνεται».

Οἱ Μήλιοι πιστεύουσιν ἐπὶ τῇ θείᾳ προστασίᾳ, τὸ δίκαιον ὑπὲρ ἑαυτῶν ἔχοντες· ἀλλὰ καὶ ἡμῖν, ἀποκρίνονται οἱ Ἀθηναῖοι, οἱ θεοὶ ἔσονται εὐμενεῖς, διότι χρώμεθα νόμῳ, ὃν καὶ αὐτοὶ ἀσπάζονται, καθ' ὃν ὁ ἰσχυρότερος ἄρχει τοῦ ἀσθενεστέρου.

Μήλ. «Χαλεπὸν μὲν καὶ ἡμεῖς, εὖ ἴστε, νομίζομεν πρὸς δύναμίν τε τὴν ὑμετέραν καὶ τὴν τύχην, εἰ μὴ ἀπὸ τοῦ ἴσου ἔσται, ἀγωνίζεσθαι· ὅμως δὲ πιστεύομεν τῇ μὲν τύχῃ ἐκ τοῦ θείου μὴ ἐλασσοῦσθαι, ὅτι ὅσιοι πρὸς οὐ δικαίους ἱστάμεθα».

Ἀθην. «Τῆς μὲν τοίνυν πρὸς τὸ θεῖον εὐμενείας οὐδ' ἡμεῖς οἰόμεθα λελείψεσθαι· οὐδὲν γὰρ ἔξω τῆς ἀνθρωπείας τῶν μὲν ἐς τὸ θεῖον νομίσεως τῶν δ' ἐς σφᾶς αὐτοὺς βουλήσεως δικαιοῦμεν ἢ πράσσομεν. Ἡγούμεθα γὰρ τό τε θεῖον δόξῃ, τὸ ἀνθρώπειόν τε σαφῶς διὰ παντὸς ὑπὸ φύσεως ἀναγκαίας, οὗ ἂν κρατῇ, ἄρχειν· καὶ ἡμεῖς οὔτε θέντες τὸν νόμον, οὔτε κειμένῳ πρῶτοι χρησάμενοι, ὄντα δὲ παραλαβόντες καὶ ἐσόμενον ἐς ἀεὶ καταλείψοντες χρώμεθα αὐτῷ, εἰδότες καὶ ὑμᾶς ἂν καὶ ἄλλους ἐν τῇ αὐτῇ δυνάμει ἡμῖν γενομένους δρῶντας ἂν αὐτό».

Οἱ δυστυχεῖς Μήλιοι ἀντέστησαν ὅσον ἠδύναντο· εἶτα παρεδόθησαν τοῖς Ἀθηναίοις· «οἱ δὲ ἀπέκτειναν Μηλίων ὅσους ἡβῶντας ἔλαβον·

1) Τὸ χωρίον τοῦτο ἀρκούντως δείκνυσιν οἵαν πρόοδον ἐποίησεν ὁ λόγος καὶ ἡ ἐλευθεροδοξία, ὅτε ἡ μαντικὴ καὶ οἱ χρησμοὶ ὡς ὀλέθρια πράγματα ἀποσκυβαλίζονται ὑπὸ τοῦ Ἀθηναίου ῥήτορος μαθητοῦ καὶ ὀπαδοῦ τῶν σοφιστῶν.

παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν». (Ε, 116).

Τοιοῦτον τὸ δίκαιον τοῦ ἰσχυροτέρου, σκληρὸν καὶ ἀπάνθρωπον. «Οὐδέποτε σκληρότερον ἰδικαιολογήθη ἡ βία, οὐδέποτε ἀπαθέστερον καὶ προπετέστερον κατεστρέφη ὅ,τι παρκυθία καὶ στήριγμά ἐςι καὶ παράγει τὴν ἀνδρείαν καὶ τὴν φιλοπατρίαν, ἡ πίστις εἰς τὸ καθῆκον, εἰς τὴν ἐλπίδα, εἰς τὴν θεότητα· τί ἐστι τιμή; χίμαιρα τῶν ἁπλῶν· τί ἐλπίς; δελέασμα καὶ καταστροφὴ τῶν ἀδυνάτων· τί θεία πρόνοια; καταφυγὴ τῶν μὴ δυναμένων σώζειν ἑαυτούς. Ὁ φρόνιμος λαμβάνει ὑπ' ὄψει τὸ συμφέρον καὶ πράττει κατ' αὐτό». Girard. (Ἴδε καὶ Dönis I, σελ. 48· καὶ Γρίτιον Τόμ. Γ', σελ. 56—66).

Ὁ Θουκυδίδης οὐδεμίαν ἐπάγει κρίσιν, διότι τὰ πράγματα ἀφ' ἑαυτῶν λαλοῦσιν. Εἰ δὲ ἦν ὁ Ἡρόδοτος, πάντως ἂν τὰ μὲν δυστυχήματα τῶν Σπαρτιατῶν ἐν Πύλῳ ἀπέδωκε τῇ Ἐριννύϊ τῶν Πλαταιέων, τὴν δὲ καταστροφὴν τῶν Ἀθηναίων ἐν Σικελίᾳ τῇ Ἐριννύϊ τῶν Μηλίων ἀνθ' ὧν ἔπαθον. Καὶ ὄντως ἡ κατάστασις τῶν Ἀθηναίων κατὰ τὴν τελευταίαν ναυμαχίαν ἐν τῷ λιμένι τῶν Συρακουσῶν ἦν ἡ αὐτὴ τῇ τῶν Μηλίων, ὅτ' ἐπολιορκοῦντο· καὶ οἱ Ἀθηναῖοι τὴν ἀρωγὴν τῶν θεῶν ἐπεκαλοῦντο, ὅπως σωθῶσι· «καὶ πρὸς ἀνάκλησιν θεῶν μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας ἐτρέποντο»· ἀλλὰ μάτην· κατεστρέφησαν οἰκτρῶς.

Οἱ Ἀθηναῖοι κατακλασθέντες τὸ Δήλιον τῆς Βοιωτίας ἐβεβήλουν τὸ ἱερὸν πράττοντες ὅτα ἄνθρωποι ἐν βεβήλῳ τόπῳ δρῶσι· κατηγορούμενοι δὲ ὑπὸ τῶν Βοιωτῶν ὅτι τὰ νόμιμα τῶν Ἑλλήνων παραβαίνουσιν, ἀπολογοῦνται ὅτι ἄκοντες ταῦτα πράττουσι, τοῖς δὲ ἀκουσίοις ἁμαρτήμασι συγγνώμην παρέχει καὶ αὐτὸς ὁ θεός· «πᾶν δ' εἰκὸς εἶναι τῷ πολέμῳ καὶ δεινῷ τινι κατειργόμενον ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ· καὶ γὰρ τῶν ἀκουσίων ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμούς».

Οὐ μόνον δὲ οἱ Ἀθηναῖοι, ἀλλὰ καὶ οἱ ἄλλοι Ἕλληνες τοιοῦτοι πρὸς τὸ θεῖον· μετακειρίζονται αὐτὸ πρόφασιν χάριν τῶν ἰδίων συμφερόντων· οἷον οἱ Κορίνθιοι ἀρνούμενοι τὰς σπονδὰς δέξασθαι, ἃς οἱ Λακεδαιμόνιοι ἐπονήσαντο πρὸς τοὺς Ἀθηναίους, προύφασίζοντο τοὺς ὅρκους οὓς ὤμοσαν πρὸς τοὺς θεούς· κυρία ὅμως αἰτία ἦν ἄλλη· «ἃ μὲν ἠδικοῦντο, οὐ δηλοῦντες ἀντικρυς, ὅτι οὔτε Σάλλιον σφίσιν ἀπέλαβον πκρ' Ἀθηναίων οὔτε Ἀνακτόριον, εἴτε τι ἄλλο ἐνόμιζον ἐλασσοῦσθαι, πρόσχημα δὲ ποιούμενοι τοὺς ἐπὶ Θρᾴκης μὴ προδώσειν· ὁμόσαι γὰρ αὐτοῖς ὅρκους ἰδίᾳ τε, ὅτε μετὰ τῶν Ποτιδαιατῶν ἀφίσταντο, καὶ ἄλλους ὕστερον. Οὔκουν παραβαίνειν τοὺς τῶν ξυμμάχων ὅρκους ἔφασαν αὐκ ἐσιόντες ἐς τὰς τῶν Ἀθηναίων σπονδάς· θεῶν γὰρ πίστεις ὁμόσαντες ἐκείνοις οὐκ ἂν εὐορκεῖν προδιδόντες αὐτούς» (Ε, 30).

Οἱ δὲ Λακεδαιμόνιοι καὶ ποιοῦνται μνείαν ἐν ταῖς σπονδαῖς ὑπὲρ τοῦ ἐν Δελφοῖς Μαντείου τοῦ Ἀπόλλωνος καὶ τῶν προνομίων αὐτοῦ (Δ, 118· Ε, 18), διότι καὶ τὸ Μαντεῖον εὐμενῶς αὐτοῖς εἶχε χρησμοδοτῆσαν, ὅτι τῇ ἀντιλήψει τοῦ Ἀπόλλωνος νικήσουσιν ἐν τῷ πολέμῳ τοὺς Ἀθηναίους (Β, 54).

Παρὰ Θουκυδίδῃ πολλάκις γίνεται περὶ χρησμῶν λόγος (Β, 54· Γ, 92, 104· Ε, 32· Η, 1). Τί δὲ φρονεῖ περὶ τῶν ἀποκρύφων τούτων ἀποκαλύψεων τῆς θεότητος; Οἱ χρησμοὶ ὡς ἱστορικὰ στοιχεῖα οὐκ ἀμελοῦνται ὑπ' αὐτοῦ, ἀλλὰ δηλοῖ τὴν ῥοπὴν ἣν ἔχουσιν ἐπὶ τῶν ἀνθρώπων, ὑπαινίσσεται τὸ πλῆθος αὐτῶν, καὶ ὅταν μνημονεύῃ αὐτῶν, ὑποβάλλει εἰς αὐστηρὸν ἔλεγχον. Καίτοι δὲ ἀναγνωρίζει ὅτι εἰς αὐτῶν, ὁ περὶ τῆς διαρκείας τοῦ Πελοποννησιακοῦ πολέμου, ἐτελέσθη, συνάγει ἐν κεφαλαίῳ ὅτι εἰσὶ τροφὴ προσφερομένη τῇ εὐπιστίᾳ τοῦ ἀνθρωπίνου πνεύματος καὶ ἁπτᾶι τῆς ἀδυναμίας αὐτοῦ, ἤ γε τῶν φροντίδων οὕτως ἀπαλλάσσεται ἃς ὤφειλεν ἔχειν. Τοιαῦτα τολμᾷ φρονεῖν περὶ χρησμῶν καὶ καταληπτὰ ποιεῖν.

Καὶ περὶ σεισμῶν δὲ ὡσαύτως ποιεῖται λόγον καὶ περὶ ἐκλείψεων (Γ, 87. 89· Δ, 52· Ε, 45, 50), καὶ περὶ ἀστραπῶν καὶ βροντῶν (ζ, 70· Ζ, 79—80), καθ' ὅσον καὶ ταῦτα ὡς θεῖα σημεῖα ὑπὸ τῶν ἀνθρώπων ὑπολαμβανόμενα οὐ μικρὰν ἔχουσι ῥοπὴν ἐπὶ τῶν φρονημάτων, τῶν ἀποφάσεων καὶ τῶν πράξεων αὐτῶν· «Ἔτυχον δὲ καὶ βρονταί τινες ἅμα γιγνόμεναι καὶ ὕδωρ, οἷα τοῦ ἔτους πρὸς μετόπωρον ἤδη ὄντος φιλεῖ γίγνεσθαι· ἀφ' ὧν οἱ Ἀθηναῖοι μᾶλλον ἔτι ἠθύμουν καὶ ἐνόμιζον ἐπὶ τῷ σφετέρῳ ὀλέθρῳ καὶ ταῦτα πάντα γίγνεσθαι». Τίς οὐκ οἶδεν ὅτι ἡ γενομένη ἔκλειψις ὑπῆρξεν ἡ κυριωτάτη ἀφορμὴ τῆς καταστροφῆς αὐτῶν ἐν Σικελίᾳ; (Ζ, 50).

Ὁ Θουκυδίδης καὶ περὶ τύχης διὰ τὰς αὐτὰς αἰτίας λόγον ποιεῖται. Οἱ Συρακούσιοι ἡττηθέντες ὑπὸ τῶν Ἀθηναίων ἔπαυσαν τοὺς στρατηγοὺς ὡς αἰτίους διὰ τὴν κακὴν αὐτῶν τύχην, «ὡς ἡ δυστυχία ἡ προδοσίᾳ τῇ ἐκείνων βλαπτόμενοι» (ζ, 103). Ἐκ δὲ τῶν Ἀθηναίων ὁ Νικίας ἐπὶ μεγάλῃ ἐκλείζετο εὐτυχίᾳ καὶ εὐσεβείᾳ, ἐφ' ᾧ καὶ προὐτιμᾶτο ὑπὸ τῶν Ἀθηναίων ὡς στρατηγός· καὶ αὐτὸς τοιαῦτα

περὶ τῆς ἀγαθῆς αὐτοῦ τύχης ἐφρόνει, διὸ καὶ τοὺς ἀπέλπιδας Ἀθηναίους ἐν Σικελίᾳ προτρέπει θαρρεῖν καὶ ἐλπίζειν· «Ἔτι καὶ ἐκ τῶν παρόντων, ὦ Ἀθηναῖοι καὶ ξύμμαχοι, ἐλπίδα χρὴ ἔχειν· ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν· μηδὲ καταμέμφεσθαι ὑμᾶς ἄγαν αὐτοὺς μήτε ταῖς ξυμφοραῖς μήτε ταῖς παρὰ τὴν ἀξίαν νῦν κακοπαθείαις. Κἀγώ τοι οὐδενὸς ὑμῶν οὔτε ῥώμῃ προφέρων (ἀλλ' ὁρᾶτε δὴ ὡς διάκειμαι ὑπὸ τῆς νόσου) οὔτ' εὐτυχίᾳ δοκῶν που ὕστερός του εἶναι κατά τε τὸν ἴδιον βίον καὶ ἐς τἆλλα, νῦν ἐν τῷ αὐτῷ κινδύνῳ τοῖς φαυλοτάτοις αἰωροῦμαι· καίτοι πολλὰ μὲν ἐς θεοὺς νόμιμα δεδιήτημαι, πολλὰ δὲ ἐς ἀνθρώπους δίκαια καὶ ἀνεπίφθονα, ἀνθ' ὧν ἡ μὲν ἐλπὶς ὅμως θρασεῖα τοῦ μέλλοντος, αἱ δὲ ξυμφοραὶ οὐ κατ' ἀξίαν δὴ φοβοῦσι· τάχα δ' ἂν καὶ λωφήσειαν· ἱκαναὶ γὰρ τοῖς τε πολεμίοις εὐτύχηται, καὶ εἴ τῳ θεῶν ἐπίφθονοι ἐστρατεύσαμεν, ἀποχρώντως ἤδη τετιμωρήμεθα. Πλέον γὰρ που καὶ ἄλλοι τινὲς ἤδη ἐφ' ἑτέρους, καὶ ἀνθρώπεια δράσαντες ἀνεκτὰ ἔπαθον· καὶ ὑμᾶς εἰκὸς τὰ ἀπὸ τοῦ θεοῦ ἐλπίζειν ἠπιώτερα ἕξειν· οἰκτου γὰρ ἀπ' αὐτῶν ἀξιώτεροι ἤδη ἐσμὲν ἢ φθόνου».

Ὁ Θουκυδίδης οὐδεμίαν ἐπέχει κρίσιν, διότι οἱ λόγοι τοῦ Νικίου ἀρκούντως χαρακτηρίζουσι τὸν ἄνδρα πιστεύοντα οὐ μόνον εἰς τὴν τύχην ἀλλὰ καὶ ὅτι τὸ θεῖον φθονερόν. Ὁ Θουκυδίδης, ὁ τηρητὴς θεράπων τοῦ ὀρθοῦ λόγου, ἦν ὁμόφρων μᾶλλον τῷ Περικλεῖ φρονοῦντι περὶ τύχης, οἷα καὶ ὁ Δημόκριτος, ὅτι «οἱ ἄνθρωποι τύχης εἴδωλον ἐπλάσαντο πρόφασιν ἰδίας ἀβουλίης· βραχὺ γὰρ φρονήσει τύχη μάχεται, τὰ δὲ πλεῖστα ἐν βίῳ ψυχὴ εὐξύνετος ὀξυδερκέειν κατιθύνει».

Ἡ ἐνέργεια τῆς τύχης περιωρισμένη, τὸ πλῆθος ποιεῖ αὐτὴν θεὰν καὶ λατρεύει αὐτῇ, ἀλλ' αἱ μεγάλαι καὶ εὐξύνετοι ψυχαὶ οὐδαμῶς ὑποκείμεναί εἰσι τοιαύτῃ δεισιδαιμονίᾳ, ἀλλ' εὐθαρσῶς ἀνθίζανται τοῖς δαιμονίοις, τοῖς ἀπροόπτοις δηλονότι δεινοῖς, καὶ ἐξέρχονται νικηφόροι, διότι ὁ νοῦς ἐστι κύριος καὶ κυβερνήτης τῶν ἀνθρωπίνων.

Ὁ Θουκυδίδης καὶ περὶ ἐκλείψεων συμφρονεῖ τῷ Περικλεῖ, ὃς κατά τινα ναυτικὴν ἐκβολὴν γενομένης ἐκλείψεως καὶ πάντων ἐκπλαγέντων ὡς πρὸς μέγα σημεῖον, ὁρῶν περίφοβον τὸν κυβερνήτην καὶ διηπορημένον ἀνέσχε τὴν χλαμύδα πρὸ τῆς ὄψεως αὐτοῦ καὶ παρακαλύψας ἠρώτησε, μή τι δεινὸν ἢ δεινοῦ τινος οἴεται σημεῖον· ὡς δ' οὐκ ἔφη· «Τί οὖν, εἶπεν, ἐκεῖνο τούτου διαφέρει, πλὴν ὅτι μεῖζόν τι τῆς χλαμύδος ἐς τὸ πεποιηκὸς τὴν ἐπισκότησιν; » (Πλουτάρχ. Περικλ. § λε').

Εἰ δὲ καὶ ὁ Νικίας τοιαῦτα ἐφρόνει περὶ ἐκλείψεων, οὐκ ἂν ἐγίνετο αἴτιος τῆς καταστροφῆς τῶν Ἀθηναίων ἐν Σικελίᾳ ἀναβαλὼν τρὶς ἐννέα ἡμέρας τὴν ἀποχώρησιν τοῦ στρατοῦ διὰ τὴν τῆς σελήνης ἔκλειψιν, εἰς ἄκρον ὢν δεισιδαίμων· «ἦν γάρ τι καὶ ἄγαν θειασμῷ τε καὶ τῷ τοιούτῳ προσκείμενος», λέγει ὁ Θουκυδίδης (Ζ, 50).

Τί λοιπὸν φρονεῖ ὁ Θουκυδίδης, ὅτι ὁ Θεὸς τὸν κόσμον ἐγκατέλιπεν; Οὐχί, διότι τιμᾷ τὴν εὐσέβειαν καὶ λύπην ἐκφράζει ἐπὶ τῷ θανάτῳ τοῦ εὐσεβοῦς Νικίου· «Ἥκιστα δὴ ἄξιος ὢν τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἐς τοῦτο δυστυχίας ἀφικέσθαι, διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπιτήδευσιν»· ἀλλ' οὐκ ἀποδέχεται τὴν διηνεκῆ ἀνάμιξιν τοῦ θείου ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν. Ἀλλ' ἄρά γε ὁ κόσμος στερηθεὶς τῆς διηνεκοῦς παρεμβάσεως τῆς παντοδυνάμου ταύτης δυνάμεως οὐκ ἀπώλεσε τοῖς ὄμμασι τοῦ θεωμένου αὐτὸν τὸ μεγαλεῖον αὐτοῦ; Ναί, λέγει ὁ συγγραφεὺς τοῦ *Δοκιμίου*, ἀπώλεσε τὸ ξένον τοῦτο μεγαλεῖον, ὅπερ αὐτὸν εἰς τυφλὴν καὶ παθητικὴν πλεμόρφου ἔκφανσιν δυνάμεως ἐπὶ τῇ ἐνεργείᾳ αὐτῆς ζηλοτύπου· ἀλλ' ἄλλην ἐκτήσατο πραγματικωτέραν καὶ προσιτωτέραν τῷ λόγῳ ἡμῶν. Ἐν αὐτῷ ἐμφαίνεται δύναμις ἐλευθέρως ἀναπτυσσομένη καὶ ἔχουσα συνείδησιν τῆς ἀξιοπρεπείας αὐτῆς, ἡ ἀνθρωπίνη διάνοια, φυλάσσουσα ὡς ἱερὸν παρακατατεθὲν τὰς ὑπερτέρας ἀρχὰς δι' ὧν ἀναπτύσσει τὴν ἑαυτῆς ἐνέργειαν καὶ κρίνει ἑαυτήν· ὁ ἄνθρωπος οὐκέτι καταπιέζεται, οὐδὲ κατὰ τύχην βαδίζει, τὴν φαντασίαν ἔχων διηνεκῶς τεταραγμένην ὑπό φασμάτων ὑπερφυοῦς τινος δυνάμεως, ἣν νομίζει παντοῦ βλέπειν καὶ ἀεὶ παρ' αὐτῷ αἰσθάνεσθαι, ἀεὶ ἀνεξήγητον πρὸ τῆς ἐκβάσεως, ἀλλ' ἐν ἑαυτῷ φέρει ὁδηγὸν ὃς οὐκ ἀποπλανήσει αὐτόν, ἂν ἔχῃ τὴν ἀνδρείαν ἀκολουθεῖν αὐτῷ· αἱ ὁδηγίαι αὐτοῦ εἰσι τοιαῦται, ὥστε ἐν μέρει καὶ τὰς τρίβους τοῦ μέλλοντος ἀποκαλύπτουσι· καίτοι δὲ αἱ δυνάμεις τῆς φύσεως, ὧν οὐκ ἔστι κύριος, καὶ ἡ κοινῶς καλουμένη τύχη, δύνανται ἀπροόπτους ἐπισωρεῦσαι δυσχερείας, αὐτὸς οἶδεν ἀνευρίσκειν καὶ κατανοεῖν νόμους ἀρκούντως σταθερούς, ὅπως κύριος τῶν συμβαινόντων γίγνηται, καὶ θριαμβεύειν δι' αὐτῶν, φυλάττων τὴν σαρῆ αὐτῶν κατάληψιν καὶ συναρμόζων αὐτοῖς μέχρι τέλους τὴν διαγωγὴν αὐτοῦ.

Τί δὲ ἄλλο μεῖζόν ἐστι τῆς πάλης ταύτης τοῦ ἀνθρώπου κατὰ τῶν ἐξωτερικῶν κωλυμάτων καὶ τῶν ἀβεβαιοτήτων τοῦ μέλλοντος; αὕτη συγκινεῖ τὸν Θουκυδίδην, αὕτη ἐκπλήσσει τὴν φαντασίαν αὐτοῦ τὴν ἄλλως ἀνεπίδεκτον τῶν ὑπερφυσικῶν ἐντυπώσεων καὶ δεισιδαιμονιῶν. Ὑπάρχουσιν ἐν τῇ ἱστορίᾳ περιστάσεις, καθ' ἃς τὰ ἀκμαιότατα ἔθνη συγκρούουσιν ἑαυτὰ τρομερωτάτας προσβολὰς καὶ πρὸς καταστροφὴν ἑαυτῶν πάντα μεταχειρίζονται τὰ μηχανήματα τῆς ἐνεργείας, πάσας τὰς δυνάμεις τῆς ἀνθρωπίνης διανοίας, τὰ δὲ πάθη ὑπεκκαιόμενα τὰς εὐγενεστάτας τίκτουσιν ἐνεργείας, ἀλλὰ καὶ τὰς οἰκτροτάτας παρεκτροπάς. Ἂν τότε ἡ φύσις φαίνηται πρὸς τῇ ταραχῇ ταύτῃ τῆς ἀνθρωπότητος προστιθεῖσα καὶ τὴν ἰδίαν αὐτῆς συγκίνησιν καὶ παραδιδομένη τῇ ἀταξίᾳ καὶ ἀπολύουσα κατὰ τῶν λαῶν τὰς ὀλεθριωτάτας συμφοράς, τί ἄλλο πλείονος λόγου ἄξιόν ἐστι καὶ κάλλιον ἢ ὁ ἀγὼν τῆς θελήσεως τοῦ ἀνθρώπου ἐν τῷ μέσῳ τοσούτων ποικίλων διαταράξεων καὶ τοσούτων ἀπειλῶν, ὧν ἀπηλλάχθη; Τοῦτο τὸ αἴσθημα τὴν ψυχὴν τοῦ Θουκυδίδου κατέλαβεν ἐπὶ τῇ θέᾳ τῶν σκηνῶν, ὧν τὸ κεράλαιον ἀπαρτίζει τὸ δρᾶμα τοῦ Πελοποννησιακοῦ πολέμου. Διὸ πρὶν ἄρξασθαι τῆς ἀφηγήσεως θαυμάζει τὸ ζοφερὸν μεγαλεῖον.

«Τούτου δὲ τοῦ πολέμου μηκός τε μέγα προὔβη, παθήματά τε ξυνηνέχθη γενέσθαι ἐν αὐτῷ τῇ Ἑλλάδι οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ· οὔτε γὰρ πόλεις τοσαίδε ληφθεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων, αἱ δ' ὑπὸ σφῶν αὐτῶν ἀντιπολεμούντων (εἰσὶ δὲ αἳ καὶ οἰκήτορας μετέβαλον ἁλισκόμεναι), οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων καὶ φόνος, ὁ μὲν κατ' αὐτὸν τὸν πόλεμον, ὁ δὲ διὰ τὸ στασιάζειν· τά τε πρότερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σπανιώτερον βεβαιούμενα, οὐκ ἄπιστα κατέστη, σεισμῶν τε πέρι, οἳ ἐπὶ πλεῖστον ἅμα μέρος γῆς καὶ ἰσχυρότατοι οἱ αὐτοὶ ἐπέσχον, ἡλίου τε ἐκλείψεις, αἳ πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν χρόνου μνημονευόμενα ξυνέβησαν, αὐχμοί τε ἔστι παρ' οἷς μεγάλοι καὶ ἀπ' αὐτῶν καὶ λιμοὶ καὶ ἡ οὐχ ἥκιστα βλάψασα καὶ μέρος τι φθείρασα λοιμώδης νόσος. Ταῦτα γὰρ πάντα μετὰ τοῦδε τοῦ πολέμου ἅμα ξυνεπέθετο».

Τοιοῦτος ὁ πρόλογος τῆς τραγῳδίας τοῦ Θουκυδίδου, ἥτις δραματικωτέρα ἐστὶ καὶ τρόμον ἐμποιοῦσα δεινότερον τῶν τραγῳδιῶν καὶ αὐτῶν τῶν τριλογιῶν τοῦ Αἰσχύλου· διότι ἐν αὐταῖς μὲν ἡ ὑπόθεσις περιωρισμένη, ἐν δὲ τῇ ἱστορίᾳ τοῦ Θουκυδίδου σύμπασα ἡ Ἑλλὰς καὶ μέρος τῆς βαρβαρικῆς χώρας· ψυχὴ δὲ αὐτῆς συνέχουσα καὶ συγκρατοῦσα τὰ μέρη οὐχ ἡ Μοῖρα καὶ ἡ Ἐριννύς, ἀλλ' ὁ νοῦς καὶ ὁ λόγος· κύρια δὲ πρόσωπα αἱ Ἀθῆναι καὶ ἡ Σπάρτη, δευτερεύοντα δὲ οἱ σύμμαχοι ἑκατέρων[1].

---

1) Ὁ Κορίνθιος (Α', 70) ἄριστα περιγράφει τοὺς χαρακτῆρας τῶν δύο κυριωτέρων τοῦ ἱστορικοῦ δράματος προσώπων· «περὶ ὧν οὐκ αἰσθάνεσθαι ἡμῖν γε δοκεῖτε οὐδ' ἐκλογίσασθαι πώποτε πρὸς οἵους ὑμῖν Ἀθηναίους ὄντας καὶ ὅσον ὑμῶν καὶ ὡς πᾶν διαφέροντας ὁ ἀγὼν ἔσται· οἱ μὲν γὰρ νεωτεροποιοὶ καὶ ἐπινοῆσαι ὀξεῖς καὶ ἐπιτελέσαι ἔργῳ ἃ ἂν γνῶσιν· ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν καὶ ἐπιγνῶναι μηδὲν καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέσθαι· αὖθις δὲ οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταὶ καὶ παρὰ γνώμην κινδυνευταὶ καὶ ἐπὶ τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι τῶν τε δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι· καὶ μὴν καὶ ὀκνοι πρὸς ὑμᾶς μελλητὰς καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτους. Οἴονται γὰρ οἱ μὲν τῇ ἀπουσίᾳ ἄν τι κτᾶσθαι, ὑμεῖς δὲ τῷ ἐπελθεῖν καὶ τὰ ἑτοῖμα ἂν βλάψαι· κρατοῦντές τε τῶν ἐχθρῶν ἐπὶ πλεῖστον ἐξέρχονται καὶ νικῶμενοι ἐπ' ἐλάχιστον ἀναπίπτουσιν· ἔτι δὲ τοῖς μὲν σώμασιν ἀλλοτριωτάτοις ὑπὲρ τῆς πόλεως χρῶνται, τῇ γνώμῃ δὲ οἰκειοτάτῃ ἐς τὸ πράσσειν τι ὑπὲρ αὐτῆς· καὶ ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐπεξέλθωσιν οἰκεῖα στέρεσθαι ἡγοῦνται· ἃ δ' ἂν ἐπελθόντες κτήσωνται ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες*· ἢν δ' ἄρα του ἢ καὶ πεῖρα σφαλῶσιν, ἀντελπίσαντες ἄλλα ἐπλήρωσαν τὴν χρείαν· μόνοι γὰρ ἔχουσί τε ὁμοίως καὶ ἐλπίζουσιν ἃ ἂν ἐπινοήσωσι διὰ τὸ ταχεῖαν τὴν ἐπιχείρισιν ποιεῖσθαι ὧν ἂν γνῶσι· καὶ ταῦτα μετὰ πόνων πάντα καὶ κινδύνων δι' ὅλου τοῦ αἰῶνος μοχθοῦσι, καὶ ἀπολαύουσιν ἐλάχιστα τῶν ὑπαρχόντων διὰ τὸ ἀεὶ κτᾶσθαι καὶ μήτε ἑορτὴν ἄλλο τι ἡγεῖσθαι ἢ τὸ τὰ δέοντα πρᾶξαι, ξυμφοράν τε οὐχ ἧσσον ἡσυχίαν ἀπράγμονα ἢ ἀσχολίαν ἐπίπονον· ὥστε εἴ τις αὐτοὺς ξυνελὼν φαίη πεφυκέναι ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν, ἀρθῶς ἂν εἴποι».

»Ἡ διττὴ αὕτη εἰκὼν ἔργον ἐστὶ τοῦ Θουκυδίδου δεινοῦ περὶ τὰς ἠθικογραφίας, ἐν αἷς ἡ ὑπεροχὴ ἀποκαλύπτεται τοῦ πνεύματος αὐτοῦ, καὶ γίνεται πρόδρομος τοῦ Ἀριστοτέλους. . . .

»Ἀπεικονίσκι πρὸ τοῦ πολέμου τοὺς δύο ἀντιπάλους λαοὺς οὐκ ἔστιν, ὡς ἐν τῇ ἐκθέσει τῆς τραγῳδίας, παραστῆσαι ἐν ταῖς πρώταις σκηναῖς τὰ κύρια πρόσωπα καὶ ἐξ ἀρχῆς ἐγκολάψαι ἐν τῷ πνεύματι τὴν φυσιογνωμίαν καὶ τὸ παράστημα αὐτῶν ὅπως ὕστερον οἱ ἐξωτερικοὶ οὗτοι χαρακτῆρες συμπαρο-

*) Ὅτι ἐνταῦθα λέγει περὶ Ἀθηναίων ὁ Κορίνθιος, ἐπαναλαμβάνει ἀλλαχοῦ (Δ, 55) ὁ Θουκυδίδης ὡς ἐξ ἑαυτοῦ.

Τὸ δὲ παθητικὸν τοῦ Θουκυδίδου οὐκ ἔστι τρυφερὸν ὡς τὸ τοῦ Εὐριπίδου, ἀλλὰ ζοφερὸν ὡς τὸ τοῦ Αἰσχύλου, συνεχὲς δὲ ἐν πάσῃ τῇ ἱστορίᾳ καὶ ἀκένωτον ὡς θάλασσα, ἧς τὰ κύματα βραχέα καὶ ἀλλεπάλληλα τύπτουσι πλοῖον κλυδωνιζόμενον. Οἱ ἀρχαῖοι κριτικοί, τοὐλάχιστον οἱ Ἕλληνες, ἐθεώρουν αὐτὸν ὡς τὸν παθητικώτατον τῶν ἱστορικῶν· δύναται δέ τις εἰπεῖν, ὅτι ἐν τῇ ἱστορίᾳ αὐτοῦ ἡ συνυφὴ τῆς γενικῆς ἀφηγήσεως σχεδὸν πάντοτε λίαν συνεσφιγμένη συνέχειά ἐστι παθητικῶν ἀποτελεσμάτων, ἃ ποικίλλουσι διηνεκῶς ἥ τε φύσις τῶν ὑπ' αὐτοῦ ἱστορουμένων πραγμάτων καὶ τὰ μηχανήματα τῆς τέχνης αὐτοῦ· ἀλλ' ὑπέρτατον νόμον ἔχει τὴν ἁπλότητα, τὴν συμμετρίαν, τὴν ἀλήθειαν· ὁ δὲ κύριος αὐτοῦ σκοπὸς οὐκ ἔστιν ἡ ἐπίδρασις ἐπὶ τῆς καρδίας τῶν ἀναγινωσκόντων, ἀλλ' ἡ ἐν τῷ πνεύματι αὐτῶν ἐντύπωσις εἰκόνων σαφῶν καὶ ἰδεῶν διαρκῶν.

Ὁ βουλόμενος πεῖραν λαβεῖν διελθέτω ἐκ τῆς πρώτης ξυγγραφῆς τὰς § 50—51· ἐκ δὲ τῆς ἕκτης τὴν § 30 καὶ ἑξῆς· ἐκ δὲ τῆς ἑβδόμης § 75 καὶ 84.

Καὶ ἡ μέθοδος δὲ τοῦ Θουκυδίδου, οἷα ἡ τῶν δραματικῶν ποιητῶν· διότι, ὡς οὗτοι ἐξ ἑαυτῶν δημιουργοῦσι τὰ δράματα καὶ ζωοποιοῦσιν αὐτά, οὐχ ὅμως φαίνονται ἐπὶ σκηνῆς, ἐῶντες τοῖς δρῶσι προσώποις ἵνα χαρακτηρίζωνται ἐξ ὧν φρονοῦσι, λέγουσι καὶ πράττουσιν, οὕτω καὶ ὁ Θουκυδίδης ἐν ταῖς ἀφηγήσεσι καὶ ἐν ταῖς δημηγορίαις τῶν δρώντων προσώπων, καίτοι δημιουργήματά εἰσι τῆς μεγαλοφυΐας αὐτοῦ, σπανίως πάρεστι καὶ ἰδίαν ἐκφέρει κρίσιν· οὕτω δέ εἰσιν ὑπ' αὐτοῦ συνεξυφασμένα, ὥστε τὰ πράγματα ἀφ' ἑαυτῶν λαλοῦσι καὶ τὰ δρῶντα πρόσωπα ἐξ ὧν φρονοῦσι καὶ πράττουσι χαρακτηρίζονται. «Ἀναγινώσκων τις τὴν ἱστορίαν τοῦ Θουκυδίδου νομίζει, λέγει ὁ Ὀδ. Μύλλερος, ὅτι οὐχ ὁ ἱστορικός, ἀλλ' αὐτὴ ἡ ἱστορία λαλεῖ».

Θαυμάσια δὲ καὶ ὅσα περὶ Θουκυδίδου λέγει ὁ πολυμαθὴς Taine, καίπερ οὐκ ἀπηλλαγμένα τολμηρῶν τινων ἐκφράσεων δυναμένων ἀποπλανῆσαι· «Ὁ Θουκυδίδης, φησίν, ἐνδοξότατός ἐστι καὶ παραδοξότατος τῶν ἀρχαίων ἱστορικῶν· οὐδενὸς βιβλίου ἡ ἀνάγνωσις τοσοῦτον ἐμβριθῆ καὶ ἐκπληκτικὴν παράγει ἐντύπωσιν, ὅσον ἡ ἱστορία αὐτοῦ· νομίζει τις ὅτι ἐνώπιον χαλκοῦ ἵσταται ἀνδριάντος. Ὁ καθόλου ἔρως τῆς ἁπλῆς ἀληθείας ἐστὶν ἡ ἰδιάζουσα αὐτῷ ἀρετή· καίπερ ζῶν ἐν τῷ μέσῳ λαοῦ φίλου τῶν μύθων καὶ τῆς ποιήσεως, τὴν κριτικὴν ἐφεῦρε καὶ τὴν ἱστορικὴν ἐπιστήμην, καί, ὡς αὐτός λέγει, κτῆμα ἐς ἀεὶ ἐδημιούργησεν.

»Ἐκ τῶν γεγονότων, ὧν τὴν ἀλήθειαν σκοπεῖται, ταῦτα ἐκλέγει, ἃ τῆς ἱστορίας οὐσία εἰσί, παρίστησι δὲ αὐτὰ γυμνά, οὐδὲν ἑρμηνεύων, οὐδὲν ὑπερασπίζων, οὐδὲν χρωματίζων· ἀλλὰ τὰ πράγματα μόνα παρίστανται, ὡς εἰ ὁ ἱστορικὸς ἀπήν. Οὐδὲν ὅμως τῆς φυσικῆς ταύτης ἀπαθείας τρομερώτερον· ὁ ἱστορικὸς διέρχεται τοὺς φόνους, τὰς στάσεις, τοὺς λοιμούς, ὡς ἄνθρωπος τὴν ἀνθρωπότητα ἀπεκδυθείς, ὡς ἄπατρις, ὃς οὐδενὶ ἄλλῳ προσέχων τὸν νοῦν ἢ τῇ ἀληθείᾳ οὐ δύναται μέχρι τοῦ θυμοῦ καὶ τοῦ ἐλαίου κατελθεῖν. Ἐν τῷ ἀγαθῷ, ἐν τῷ κακῷ, ἐν ταῖς ἀρεταῖς, ἐν τοῖς ἐγκλήμασιν οὐδὲν ἄλλο ἐπιζητεῖ ἢ αἰτίας καὶ αἰτιατά. Ὁ Θουκυδίδης οὐδ' ὑπ' αὐτῆς τῆς φορᾶς τῶν συμβαινόντων παρασύρεται, ὑπ' οὐδενὸς καταλαμβανόμενος πάθους. Ἡ διήγησις αὐτοῦ ἤρεμός ἐστιν· εἰ δέ τις Μοῦσα ἐμπνέει αὐτὸν ὁμοία ἐξὶ τῇ ψυχρᾷ ἐκείνῃ τῆς Ἑαυρίδος Ἀρτέμιδι, ἥτις ἠρέμᾳ μετώπῳ τοὺς ξένους ἐσφαγίαζε καὶ τὰς παρθενικὰς αὐτῆς χεῖρας εἰς τὸ αἷμα ἐνέβαπτεν.

»Ἀλλ' ἡμεῖς τρέμειν εἰωθότες καὶ ἐφ' ἑκάστῳ τῶν γιγνομένων φωνὰς ῥηγνύναι, ἐκπλησσόμεθα μὴ δυνάμενοι νοῆσαι πῶς ὁ ἀνὴρ οὗτος μάρτυς αὐτόπτης τῶν σφαγῶν τοῦ πολέμου καὶ ἐν τοῖς ταραξικαρδίοις τῆς ἀγορᾶς ἀγῶσιν ἀναμιχθείς, τὴν ὑψηλὴν ταύτην ἡδυνήθη διατηρῆσαι ἀταραξίαν. Ἀλλὰ τοιαύτη ἡ ἑλληνικὴ μεγαλοφυΐα. Ὅταν εἴδός τι συλλάβῃ τελειότητος, μετ' ἐκπληκτικῆς ταῦ λόγου τόλμης μέχρι τῶν ἐσχάτων προάγει αὐτὸ ὁρίων.

»Τοιοῦτος ὁ Θουκυδίδης· συλλαβὼν τὴν φύσιν

μαρτῶσι ταῖς πράξεσι καὶ συμπληρῶσι τὰ ἀποτελέσματα αὐτῶν;» .....

»Ἂν δέ τις μακρότερον ἀποβλέψῃ, ἀπὸ τοῦδε ἀνακαλύπτει, τοὐλάχιστον ἐν μέρει, τὰς ἠθικὰς αἰτίας τῶν κυριωτέρων περιπετειῶν τοῦ Πελοποννησιακοῦ πολέμου, ἰδίᾳ δὲ τὸ ἐπιχειρηματικὸν πνεῦμα ὅπερ ἐξωθήσει τοὺς Ἀθηναίους εἰς τὴν δυστυχῆ ἐκστρατείαν τῆς Σικελίας, καὶ τοὺς ἀπροσδοκήτους πόρους, οὓς εὑρήσει ἡ δραστηριότης αὐτῶν, ὅπως παρὰ τὰς ἀφροσύνας αὐτῶν καὶ τὰς ἐμφυλίους ἔριδας παρατείνωσι τὴν πάλην καὶ διαφισβητήσωσι τὴν νίκην μέχρι τῆς προτεραίας τῆς καταστροφῆς αὐτῶν. Οὕτως ἀπὸ τῆς ἀρχῆς τοῦ πολέμου διαφωτίζεται ἡ ἐν τῷ μέλλοντι πολιτικὴ τῶν Ἀθηναίων καὶ αἱ περιπέτειαι αὐτῶν, καὶ ἐκ τῶν προτέρων περιορίζεται τὸ μέρος τῆς Τύχης, ἧς αἱ ἰδιοτροπίαι οὐ κατισχύσουσι τῆς λογικῆς ἀναπτύξεως τῶν συμβησομένων». J. Girard.

τῆς ἀληθείας καταφρονεῖ τῶν ἄλλων· ἀρκούμενος δ' ὅτι τὴν ἐσωτερικὴν τῆς συνειδήσεως φωνὴν ἔχει σύμφωνον ἑαυτῷ, μένει ἀεὶ ὁ αὐτός, οὐδέποτε μαλθακυνόμενος. Ἔστι φιλόσοφος καὶ ῥήτωρ καθ' ὃν τρόπον ἱστορικός ἐστι καὶ κριτικός. Ἡ φιλοσοφία αὐτοῦ, ὡς καὶ πάντων τῶν ἄλλων ἀρχαίων ἱστορικῶν, ἐν ταῖς δημηγορίαις αὐτοῦ ὑπολανθάνει, ἀλλ' οὐδεμίαν ἔχει τῇ τῶν ἄλλων ὁμοιότητα. Πρὸς ἀπόδειξιν δὲ τούτου ἀρκεῖ ἁπλῆ ἀνάγνωσις τῆς ὑπὸ τῶν Κορινθίων εἰκόνος τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων (Α, 70), τῆς ὑπὸ Περικλέους ἐν τῷ Ἐπιταφίῳ (Β, 37—41) περιγραφῆς τοῦ πολιτεύματος καὶ τῶν τρόπων τῶν Ἀθηναίων, τῶν δημηγοριῶν ἐν αἷς αἱ δυνάμεις τῶν ἀντιμαχομένων μερῶν ἐκτίθενται (Α, 140—144). Αἱ ἰδέαι ἐν αὐταῖς οὔτε ἐξωραϊσμέναι εἰσὶν οὔτε ῥητορικοῖς σχήμασι κεκοσμημέναι, ἀλλὰ καθαραὶ καὶ γυμναί, ὡς αὐτὰ τὰ πράγματα· οἱ δὲ λόγοι οὐδὲν ἄλλο εἰσὶν ἢ συγκεφαλαίωσις τῶν αἰτίων, δι' ἃ τὰ πράγματα οὕτως ἢ ἄλλως συμβαίνουσιν. Ὁ Θουκυδίδης γινώσκει τὰς αἰτίας, ὡς ὁ Τάκιτος τοὺς ἀνθρώπους. Ἡ φιλοσοφία αὐτοῦ τοσοῦτόν ἐστιν ἀκριβής, ὅσον αἱ εἰκόνες τοῦ ἑτέρου· ὥστε ἑκάτεροι ἀντίθετον βαδίζοντες ὁδόν, ὁ μὲν τὴν τοῦ λόγου, ὁ δὲ τὴν τῆς φαντασίας, ἡδυνήθησαν ἀμφότεροι τῆς τελείας ἐφικέσθαι ἀληθείας». Ἄξια δὲ ἀναγνώσεως καὶ μελέτης καὶ τὰ ἑξῆς τοῦ Ἰουλίου Girard. «Οὐδεὶς ἱστορικός, ὡς ὁ Θουκυδίδης, συνέγραψεν, οὐδεὶς τοσούτῳ τολμηρὸς ἅμα δὲ καὶ τοσούτῳ σώφρων ἐγένετο· συντρίβων εὐσταθῶς τοὺς δεσμοὺς τῶν ψευδῶν παραδόσεων, πάσῃ τῇ ἀρχαιοτέρᾳ ἱστορίᾳ τοῦ ἑλληνικοῦ ἔθνους τὸν νόμον τῆς ἰδίας αὐτοῦ διανοίας ἐπιβάλλει, τὴν δὲ σύγχρονον ἱστορίαν πρῶτος ἀναλαμβάνει ποιῆσαι φέρον τῶν μελλόντων χρόνων· ἡ δὲ θέλησις αὕτη ἡ τοσοῦτον τολμηρά, οὐχ ἧττονα καταναλίσκει ἐνέργειαν, ὅπως πᾶσαν περιστείλῃ παρεκτροπὴν διανοίας συναισθανομένης τὴν σφριγῶσαν ἀκμὴν αὐτῆς, καὶ πᾶσαν ἄτακτον φορὰν ψυχῆς ὑπὸ τῶν συγκινήσεων παρελκομένης. Τὰ πράγματα ἀφ' ἑαυτῶν ἀναπτύσσονται καὶ σχεδὸν πάντοτε ἀφ' ἑαυτῶν τάς τε αἰτίας αὐτῶν καὶ τὰ ἀποτελέσματα ἀφηγοῦνται, ἱκανά τέ εἰσι διεγεῖραι τῷ ἀναγινώσκοντι ἃς φέρουσιν ἐν ἑαυτοῖς ἠθικὰς ἢ παθητικὰς ἐντυπώσεις. Ἡ διάνοια ὅμως τοῦ Θουκυδίδου πανταχοῦ ἐστιν, οὐ μόνον διότι ἐνίοτε κατ' εὐθεῖαν παρεμβαίνει, ὅπως τῷ ἡμετέρῳ πνεύματι σκέψεις τινὰς πολιτικὰς ἐμβάλῃ φωτιζούσας τὸ ἱστορούμενον, χαρακτηριστικά τέ τινα ἱστορικοῦ τινος προσώπου, ἢ γενικά τινα πράγματα εἰς τὰς ἕξεις ἀφορῶντα τῆς ἀνθρωπίνης ψυχῆς, ἀλλὰ καὶ διότι πανταχοῦ συνδυάζει κατ' ἀναλογίαν τὰς ἀναπτύξεις καὶ τὰ ἀποτελέσματα· ὁρισθείσης ἅπαξ τῆς ὑποθέσεως, ἡ διάνοια τοῦ συγγραφέως αὐστηρῶς ὑποτάσσει αὐτῇ τὴν ἔκθεσιν καὶ ἐν αὐταῖς ταῖς δημηγορίαις, αἳ τοσοῦτόν εἰσιν ἐπεξειργασμέναι, καὶ ἐν οἷς χωρίοις ἡ μορφὴ τὸ πλεῖον τῆς ἀξίας παρ' ἑαυτῆς δέχεται· συσσωρεύουσα δὲ τὸ ἐνδιαφέρον ἐν σημείοις τισὶν ὑπ' αὐτῆς προδιατεταγμένοις, ἐκ τῆς φυσικῆς ἀντιθέσεως τῶν πραγμάτων, εἴτε ἐν τῇ πραγματικῇ τάξει εἴτε ἐν τῇ ἠθικῇ, ἐξάγει τὴν ἀπόκρισιν εἰς τὰ ἐξῆς δύσκολα ζητήματα; Ἐκ τίνων περιπλοκῶν αἰτίων καὶ ἀποτελεσμάτων οἱ Ἀθηναῖοι ἐν τῇ ἀποτελεσματικῇ πόλῃ, ἐν ᾗ ἠττήθησαν, τὴν δύναμιν αὐτῶν καὶ τὴν ἀδυναμίαν ἔδειξαν, τὰς ἀρετὰς καὶ τὰς ἐλλείψεις; Πῶς ἐν ὁμοίαις περιστάσεσι ταῖς τῶν ἄλλων Ἑλλήνων τὰ κυριώτερα καὶ τὰ σπουδαιότερα οὗτοι παρέσχον μαθήματα τῷ βουλομένῳ ἐν τῷ μέλλοντι μελετῆσαι τὴν ἀπόκρυφον συναρμογὴν τῶν ἀνθρωπίνων πραγμάτων καὶ τὸ πρόσωπον ὃ διαδραματίζει ἡ διάνοια ἐν τῷ κόσμῳ; Ἡ διάνοια τέλος τοῦ Θουκυδίδου ἐγκολάπτει ἐν τῷ λεκτικῷ τὴν ἰδιάζουσαν ἐκείνην δύναμιν, ἥτις τὸν γραπτὸν λόγον ποιεῖ ἐναργῆ καὶ ταχὺν διερμηνέα τῶν περιπλόκων τοῦ πνεύματος ἔργασιῶν, τὴν μὲν πορείαν ἐπιταχύνουσα, τὴν δὲ δύναμιν τῶν ἰδεῶν ἐπαυξάνουσα».

Ὁ δὲ Θουκυδίδης οὔτε ὅλως ἀπαθὴς ἦν ὡς χαλκοῦς ἀνδριάς, ὡς ἀποφαίνεται ὁ Taine, οὔτε ἀδιαφόρως εἶχε πρὸς τὰς ἀγαθὰς καὶ κακὰς πράξεις, ἐν ἴσῃ μοίρᾳ τιθέμενος τὸ ἀγαθὸν καὶ τὸ κακόν, οὔτε ἄμοιρος ἦν φιλοπατρίας· ἔγραψε ζωηροτάτοις χρώμασι τὴν εἰκόνα τῶν Ἀθηναίων, ὅπερ ὑπὲρ οὐδενὸς ἄλλου ἑλληνικοῦ λαοῦ ἐποίησεν, ἐν τῷ λόγῳ τῶν Κορινθίων, ἐν τῷ Ἐπιταφίῳ[1] ὑπὸ Περικλέους ἐκφωνηθέντι, καὶ ἐν τῷ λόγῳ τοῦ Κλέωνος, ὃς ὑπερβολαῖς χρώμενος θαυμασίως τὸν χαρακτῆρα τῶν Ἀθηναίων ἀπεικονίζει. «Ἡ δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ μὲν ἆθλα ἑτέροις δίδωσιν, αὐτὴ δὲ τοὺς κινδύνους ἀναφέρει. Αἴτιοι δ' ὑμεῖς κακῶς ἀγωνοθετοῦντες, οἵτινες εἰώθατε θεαταὶ μὲν τῶν λόγων γίγνεσθαι, ἀκροαταὶ δὲ τῶν ἔργων, τὰ μὲν μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων

---

1) Ὁ κ. Σαρίπολος ἐν τῇ Πραγματείᾳ αὐτοῦ (σελ. 60—63) λίαν ὀρθῶς ἑρμηνεύει καὶ ἀναπτύσσει τὸν Ἐπιτάφιον, καλῶν αὐτὸν un cours véritable de politique constitutionnelle.

σκοποῦντες ὡς δυνατὰ γίγνεσθαι, τὰ δὲ πεπραγμένα ἤδη, οὐ τὸ δρασθὲν πιστότερον ὄψει λαβόντες ἢ τὸ ἀκουσθέν, ἀπὸ τῶν λόγῳ καλῶς ἐπιτιμησάντων· καὶ μετὰ καινότητος μὲν λόγου ἀπατᾶσθαι ἄριστοι, μετὰ δεδοκιμασμένου δὲ μὴ ξυνέπεσθαι ἐθέλειν, δοῦλοι ὄντες τῶν ἀεὶ ἀτάπων, ὑπερόπται δὲ τῶν εἰωθότων, καὶ μάλιστα μὲν αὐτὰς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι, εἰ δὲ μή, ἀνταγωνιζόμενοι τοῖς τοιαῦτα λέγουσι μὴ ὕστεροι ἀκολουθῆσαι δοκεῖν τῇ γνώμῃ, ὀξέως δέ τι λέγοντος προεπαινέσαι καὶ προαισθέσθαι τε πρόθυμοι τὰ λεγόμενα καὶ προνοῆσαι βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβησόμενα· ζητοῦντές τε ἄλλο τι, ὡς εἰπεῖν, ἢ ἐν οἷς ζῶμεν, φρονοῦντες δὲ οὐδὲ περὶ τῶν παρόντων ἱκανῶς· ἁπλῶς τε ἀκοῆς ἡδονῇ ἡσσόμενοι καὶ σοφιστῶν θεαταῖς ἐοικότες καθημένοις μᾶλλον ἢ περὶ πόλεως βουλευομένοις».

Ἐκ τούτων δῆλον ὅτι ἡ καλλιέργεια τοῦ λόγου καὶ αὐτῷ τῷ λαῷ ἦν διαδεδομένη, ἑκάστου Ἀθηναίου φιλοτιμουμένου ἀπὸ βιβλίου μανθάνειν, ὅπως μὴ ᾖ τῶν ἄλλων ὑποδεέστερος, ὡς μαρτυρεῖ Ἀριστοφάνης λέγων ἐν τοῖς *Βατράχοις* διὰ τοῦ χοροῦ πρὸς τὸν Αἰσχύλον καὶ Εὐριπίδην περὶ τῶν πρωτείων ἐριζοντας τῆς τραγικῆς τέχνης·

> λέγετον, ἔπιτον, ἀνὰ δ' ἕρεσθον
> τά τε παλαιὰ καὶ τὰ καινά,
> κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν·
> εἰ δὲ τοῦτο καταρρεῖσθον, μή τις ἀμαθία προσῇ
> τοῖς θεωμένοισιν, ὡς τὰ
> λεπτὰ μὴ γνῶναι λεγόντοιν,
> μηδὲν ὀρρωδεῖτε ταῦθ'· ὡς οὐκ ἔθ' οὕτω ταῦτ'
> ἔχει.
> ἐστρατευμένοι γάρ εἰσι,
> βιβλίον τ' ἔχων ἕκαστος μανθάνει τὰ δεξιά.
> αἱ φύσεις τ' ἄλλως κράτισται,
> νῦν δὲ καὶ παρηκόνηνται·
> μηδὲν οὖν δείσητον, ἀλλὰ
> πάντ' ἐπέξιτον, θεατῶν γ' οὕνεχ', ὡς ὄντων σοφῶν.

Καὶ ὁ Περικλῆς δὲ ἐπαινεῖ ἐν τῷ Ἐπιταφίῳ (ἔνθ. σελ. 166) ὅπερ ἐνταῦθα ὠνειδίζει τοῖς Ἀθηναίοις ὁ Κλέων· «καὶ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον ἢ ἐπὶ ἃν δεῖ ἔργῳ ἐλθεῖν». Τοῦτο δὲ ἀναμφισβητήτως ἦν κατόρθωμα τῆς πολιτικῆς διευθύνσεως τοῦ μεγάλου τούτου ἀνδρός· ὥστε ἀπορῶ πῶς ὁ Θουκυδίδης ὁ ἓν τῶν ἀρίστων αὐτοῦ καλλιτεχνημάτων ποιήσας τὴν εἰκόνα τῶν Ἀθηναίων κατηγορήθη ὡς μισόπατρις· μισόπατρις μὲν οὐκ ἦν, ἦν ὅμως φίλος τῆς ἀληθείας, καὶ ὡς εἶπε τὰς ἀρετὰς αὐτῶν οὕτως οὐκ ἀπέκρυψε καὶ τὰ σφάλματα δι' ἃ ἡττήθησαν.

«Ἡ Ἱστορία αὐτοῦ ὄντως τραγῳδία ἐστίν, ἐν ᾗ τὸ πρῶτον πρόσωπον παίζουσιν οἱ Ἀθηναῖοι· τούτους ὡς ἐπὶ τὸ πολὺ περιγράφει καὶ τούτων τὰς ἀρετὰς καὶ τὸν χαρακτῆρα ἀπεικονίζει καὶ μετὰ πλείονος φροντίδος παρέχει πληροφορίας περὶ τῆς δυνάμεως αὐτῶν· ὑπὸ τὴν ἔποψιν τῶν Ἀθηναίων ἀφηγεῖται τὰ πράγματα, ἐν δὲ ταῖς περιγραφαῖς τῶν μαχῶν τὰς συγκινήσεις τούτων ἐκτίθησι μάλιστα· νικήσουσιν ἢ ἡττηθήσονται, τοιοῦτον τὸ ζήτημα· ἐνὶ λόγῳ περὶ αὐτῶν κυρίως τὸ παθητικὸν διεγείρει ἐνδιαφέρον· διότι οὗτοί εἰσιν οἱ ἥρωες τῶν συμπαθητικωτέρων περιπετειῶν καὶ τὰ θύματα τῆς ἐσχάτης καταστροφῆς». Girard.

Περὶ δὲ τῶν ἀρετῶν καὶ κακιῶν καὶ τῶν ἀγαθῶν καὶ κακῶν πράξεων σπανίως ἰδίαν ἐκφέρει γνώμην, κατὰ τὸ ἔθος αὐτοῦ, ἀρκοῦσαν ὅμως ὅπως καταδειχθῇ τίνα ἐπιδοκιμάζει καὶ τίνα ἀποδοκιμάζει· οἷον ἐπαινεῖ τὸ ἄδωρον καὶ τὴν περίνοιαν τοῦ Περικλέους, κακίζει δὲ τοὺς Ἀθηναίους ὅτι μετὰ τὸν θάνατον αὐτοῦ ἐπιλαθόμενοι τῶν συμβουλῶν αὐτοῦ ἐγένοντο αἴτιοι τῆς καταστροφῆς αὐτῶν (Β, 65)· ἐπαινεῖ ὡσαύτως τὴν πολιτείαν τῶν πεντακισχιλίων μετὰ τὴν κατάλυσιν τῆς ἀρχῆς τῶν τετρακοσίων· «καὶ οὐχ ἥκιστα δὴ τὸν πρῶτον χρόνον ἐπί γ' ἐμοῦ Ἀθηναῖοι φαίνονται εὖ πολιτεύσαντες· μετρία γὰρ ἥ τε ἐς τοὺς ὀλίγους καὶ τοὺς πολλοὺς ξύγκρασις ἐγένετο, καὶ ἐκ πονήρων τῶν πραγμάτων γενομένων τοῦτο πρῶτον ἀνήνεγκε τὴν πόλιν». Ὁ δὲ κ. Σαρίπολος (σελ. 73) ὑπολαβὼν ὅτι ὁ Θουκυδίδης τὰ ἐγκώμια ταῦτα τοῖς τετρακοσίοις ἀπονέμει, μέμφεται αὐτῷ· Le pouvoir des quatre-cents ne dura que quelques mois ; il fut odieux, malgré tout le bien qu'en ait dit Thucydide (VIII, 97) etc. Τοῦτο μικρά τίς ἐστιν ἀβλεψία· διότι ἐν αὐτῇ ταύτῃ τῇ παραγράφῳ λέγεται ὅτι ἐπαύθησαν οἱ τετρακόσιοι καὶ παρεδόθησαν τὰ πράγματα τοῖς πεντακισχιλίοις, ὧν τὴν σώφρονα πολιτείαν ἐπαινεῖ ὁ Θουκυδίδης· ἐπαινεῖ τὸν Βρασίδαν καὶ τὸν Νικίαν ἐκφράζων λύπην ὅτι τοιοῦτος ἀνὴρ ἀναξίως ἐδειναπάθησεν· «ἥκιστα δὴ ἄξιος ὢν τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἐς τοῦτο δυστυχίας ἀφικέσθαι διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπιτήδευσιν». Ὁ ταῦτα γράφων ἔστιν ἀδιάφορος εἰς τὴν ἀρετήν ; τὸν δὲ Κλέωνα κατακρίνει ὡς βιαιότατον (Γ, 36), τὸν δὲ Ὑπέρβολον ὡς μοχθηρόν (Ιι, 73).

Ἐν δὲ τῇ θαυμασίᾳ ἐκείνῃ περιγραφῇ τῶν κακῶν, ἃ παρέγουσιν αἱ ἐμφύλιοι στάσεις, οὐ μόνον τὴν ἀποδοκιμασίαν αὐτοῦ δηλοῖ, οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ ἑλληνικῷ, καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη», ἀλλὰ καὶ ἐκτίθησι τὰ γιγνόμενα κατὰ τὰς στάσεις οὕτως, ὥστε αὐτὰ ἀφ' ἑαυτῶν[1] λαλοῦσι καὶ διδάσκουσι τίνα τὰ μεμπτέα καὶ ἀποδοκιμαστέα καὶ τίς ὁ καθολικὸς καὶ ἀμετάβλητος νόμος καθ' ὃν γίνονται καὶ γενήσονται ἐν παντὶ χρόνῳ καὶ τόπῳ αἱ ἐμφύλιοι στάσεις καὶ τὰ ἐξ αὐτῶν κακά. Ὁ ἱστορικός, ὡς φιλόσοφος, μετ' ἐμβριθείας ἐμελέτησε τὴν φύσιν τοῦ ἀνθρώπου, καὶ ἐκ τῆς μελέτης ταύτης τὸ γενικὸν ἐξήγαγε συμπέρασμα, ὅτι οἱ νόμοι, τὰ ἤθη, τὰ ἔθη ἀλλάσσουσιν, τὰ πάθη ὅμως τοῦ ἀνθρώπου ἐπιζῶσι καὶ διαιωνίζονται[2]· αἱ συνήθεις αὐτῷ φράσεις εἰσίν, *ἡ ἀνθρωπεία φύσις, κατὰ τὸ ἀνθρώπειον*. Ὁ Βολταῖρος λέγει που, «les idées ne marchent pas comme les divinités d'Homère, qui en trois pas traversent le ciel. La raison humaine voyage à petites journées»· ὁ Θουκυδίδης ὅμως δι' ἑνὸς ἅλματος τοῦ φιλοσοφικοῦ αὐτοῦ πνεύματος ἐκ τῶν ὀλίγων ἃ εἶδεν εἰς τοὺς γενικοὺς ἀνυψώθη νόμους τῆς ἀνθρωπείας φύσεως· οὕτω καὶ ὁ Ἀριστοτέλης ἐκ τῶν ὀλίγων εἰδῶν τῶν ζώων ἃ ἐγίνωσκεν ἀνεκάλυψε τοὺς γενικοὺς νόμους τῆς συγκριτικῆς ἀνατομίας καὶ φυσιολογίας· περὶ τούτου λέγει ὁ φυσιοδίφης Ἰσίδωρος Geoffroy Saint-Hilaire· «Ἐκ τῶν περὶ φυσικῆς ἱστορίας σωζομένων συγγραμμάτων αὐτοῦ τὰ ἀξιολογώτερα τῆς μεγαλοφυΐας αὐτοῦ μνημεῖά εἰσιν ἡ *Ἱστορία τῶν ζώων* καὶ τὸ *περὶ Μορίων*. Δι' αὐτῶν τῶν ἀθανάτων συγγραμμάτων τέσσαρας ἐν τῷ αὐτῷ χρόνῳ ἐποιήσατο προόδους, ἃς, κατὰ τὴν βαθμιαίαν τῆς ἐπιστήμης ἀνάπτυξιν, ἔδει μετὰ διαδοχὴν πολλοῦ χρόνου γενέσθαι· ἡ μὲν Ζωολογία, πτωχοτάτη οὖσα μέχρις αὐτοῦ, ἐπλουτίσθη οὐκ ὀλίγον, σώφρων δὲ κριτικὴ μετ' ἐπιστασίας τὴν ἀλήθειαν ἀπὸ τοῦ ψεύδους διέκρινε, κατάταξις δὲ λογική, ἔκφρασις ὡς ἐπὶ τὸ πολὺ τῶν φυσικῶν σχέσεων, τὰ καθ' ἕκαστον συνηρμολόγησεν· ἐκ δὲ τούτων συμπεράσματα ἐξήχθησαν γενικά, καὶ ἔστιν ὅτε λίαν ὑψηλά· ἐν ἄλλαις λέξεσιν ἡ σύνθεσις μετὰ τῆς ἀναλύσεως καὶ δι' αὐτῆς ἐγένετο· ἡ σύνθεσις μάλιστα τοῦ Ἀριστοτέλους τοσούτῳ τολμηρά ἐστιν ἐνίοτε, ὥστε μέχρι τῶν ὑψίστων τῆς ἐπιστήμης ἄκρων καὶ τῶν μᾶλλον ἀφῃρημένων ἐφικνεῖται ἀληθειῶν τῆς φυσιογραφικῆς φιλοσοφίας, αἳ καὶ νῦν ἔτι παρίστανται ἡμῖν αἱ νεώτεραι καὶ αἱ ἐκπληκτικώτεραι· διότι ὁ Ἀριστοτέλης ἐκ τῶν ἀρχαίων ἐκείνων χρόνων πόρρω πρὸς τὸ μέλλον χωρεῖ, καὶ μετὰ δισχίλια καὶ διακόσια περίπου ἔτη ἐστὶν ἔτι συγγραφεὺς προοδευτικὸς καὶ νέος».

Ἴδωμεν τὴν περιγραφὴν τῶν ἐκ τῶν ἐμφυλίων στάσεων δεινῶν.

«Καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσι, γιγνόμενα μὲν καὶ ἀεὶ ἐσόμενα, ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ, μᾶλλον δὲ καὶ ἡσυχαίτερα καὶ τοῖς εἴδεσι διηλλαγμένα, ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐφιστῶνται· ἐν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν βίαιος διδάσκαλος καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοιοῖ. Ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων καὶ τὰ ἐφυστερίζοντά που πύστει τῶν προγενομένων πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τάς διανοίας τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει καὶ τῶν τιμωριῶν ἀτοπίᾳ· καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει· τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρεία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν ξυνετὸν ἐπὶ πᾶν ἀργόν· τὸ δ' ἐμπλήκτως ἐξὺ ἀνδρὸς μοίρᾳ προσετέθη, ἀσφαλείᾳ δὲ τὸ ἐπιβουλεύσασθαι ἀποτροπῆς πρόφασις εὔλογος· καὶ ὁ μὲν χαλεπαίνων πιστὸς ἀεί, ὁ δὲ ἀντιλέγων αὐτῷ ὕποπτος· ἐπιβουλεύσας δέ τις τυχὼν ξυνετὸς καὶ ὑπονοήσας ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως μηδὲν αὐτῶν δεήσει, τῆς τε ἑταιρίας διαλυτὴς καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος·

1) «Ὁ Θουκυδίδης ἦν ἂν μέτριος ἠθικολόγος, εἰ μὴ εὐρεῖαν μοῖραν ταῖς ἀρχαῖς τοῦ δικαίου καὶ τοῦ ἀγαθοῦ ἀπένεμε· καὶ ὄντως μεγίστην ἀπένειμεν αὐταῖς μοῖραν, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ οὐ κατ' εὐθεῖαν· τὰ ἴδια αὐτοῦ ἐκφράζει αἰσθήματα, ἀλλὰ φροντίζει, οὐδαμῶς ἐπερβαίνων, ἵνα αἱ παριστάμεναι τοῖς ὀφθαλμοῖς ἡμῶν πράξεις περιβεβλημέναι ὦσι τῷ προσήκοντι αὐτῶν χαρακτῆρι καλῷ ἢ αἰσχρῷ· διὰ μόνης τῆς δυνάμεως τῆς ἐκφράσεως ἡ ἡθικὴ ἐντύπωσις παντοχοῦ ἔστιν εὐκρινὴς καὶ σαφής». Girard.

2) «Τὸ ἀνθρώπινον πνεῦμα προοδεύει, ἡ δὲ καρδία οὐκ ἀλλάσσει· αἱ ἰδέαι μεταβάλλουσι καὶ τελειοποιοῦνται, ἀλλὰ τὰ πάθη αἰωνίως μένουσι τὰ αὐτά». Fontennelle.

ἁπλῶς δὲ ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. Καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως ὁρμᾶν. Οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελίας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ· καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ μᾶλλον νόμῳ ἐκρατύνοντο, ἢ τῷ κοινῇ τι παρανομῆσαι· τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ, εἰ προΰχοιεν, καὶ οὐ γενναιότητι· ἀντιτιμωρήσασθαί τέ τινα περὶ πλείονος ἦν ἢ αὐτὸν μὴ πρωπαθεῖν· καὶ ὅρκοι, εἴπου ἄρα γένοιντο ξυναλλαγῆς, ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι ἴσχυον οὐκ ἐχόντων ἄλλοθεν δύναμιν. Ἐν δὲ τῷ παρατυχόντι ὁ φθάσας θαρσῆσαι εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο ἢ ἀπὸ τοῦ προφανοῦς, καὶ τότε ἀσφαλὲς ἐλογίζετο καὶ ὅτι ἁπάτῃ περιγενόμενος ξυνέσεως ἀγώνισμα προσελάμβανε. Ῥᾷον δ' οἱ πολλοὶ κακοῦργοι ὄντες δεξιοὶ κέκληνται ἢ ἀμαθεῖς ἀγαθοί· καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται· πάντων δ' αὐτῶν αἴτιον ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν. Ἐκ δ' αὐτῶν καὶ ἐς τὸ φιλονεικεῖν καθιστάμενον τὸ πρόθυμον· οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες μετ' ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες ἆθλα ἐποιοῦντο, παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξῆσάν τε τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου προστιθέντες, ἐς δὲ τὸ ἑκατέροις που ἀεὶ ἡδονὴν ἔχαν ὁρίζοντες καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώσεως ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν ἑτοῖμοι ἦσαν τὴν αὐτίκα φιλονεικίαν ἐκπιμπλάναι· ὥςε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου, οἷς ξυμβαίη ἐπιφθόνως τι διαπράξασθαι, ἄμεινον ἤκουον· τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων ἢ ὅτι οὐ ξυνηγωνίζοντο ἢ φθόνῳ τοῦ περιεῖναι διεφθείροντο».

«Τὸ σύνηθες ἀποτέλεσμα τῶν ἐμφυλίων στάσεων ἐστιν οὐ μόνον ὅτι ἐπὶ τῆς ἐπιφανείας ἀναφαίνεται ἡ ὑποστάθμη τῆς κοινωνίας, ἀλλὰ καὶ ὅτι πᾶσαι αἱ κακαὶ ὁρμαὶ ἀναπτύσσονται καὶ πάντα τὰ ἐλεεινὰ μέρη τῆς ἀσθενοῦς ἡμῶν φύσεως· ὁ μὲν κατὰ τῶν ξένων πόλεμος. τὰ μεγάλα διεγείρει αἰσθήματα καὶ τὰ γενναῖα πάθη, αἱ δὲ ἐμφύλιαι στάσεις, ὑπεκκαίουσιν εἴτι ταπεινότερον, πλεονεκτικώτερον, σκληρότερον καὶ ἀγριώτερον ἐν τῇ τοῦ ἀνθρώπου ὑπάρχει καρδίᾳ· αἱ ἠθικαὶ γνώσεις σκοτίζονται, τὸ δὲ ἀνθρώπινον πνεῦμα οὐκ ἔλασσον διαστρέφεται ἢ ἡ ἠθικὴ τάξις· ἀξιοθρήνητον τούτου παράδειγμα ὁ Πελοποννησιακὸς πόλεμος, ἐν ᾧ καὶ τὰ ὀνόματα, ὡς φησι Θουκυδίδης, τὴν σημασίαν αὐτῶν μετέβαλον . . . .

»Ὁ Σωκράτης καὶ ὁ Πλάτων αἰτίαν ταύτης τῆς ἠθικῆς ἐξεχρειώσεως ὑπολαμβάνουσι τὴν σοφιστικήν, ὁ δὲ Θουκυδίδης ὀρθότερον, κατ'ἐμέ, ὡς ἀναγκαῖον ἐπακολούθημα τοῦ ὀλεθρίου τούτου πολέμου». Denis.

«Τίς ἀναγινώσκων τὰς καλὰς ταύτας σελίδας τοῦ Θουκυδίδου, λέγει καὶ ὁ Girard, τολμήσει ἔτι κατηγορῆσαι αὐτοῦ ἀδιαφορίαν; Οὐχί· οὐκ ἠδύνατο οὕτω μὲν καλῶς τὸ βάθος τοιούτων πληγῶν ἐξετάσαι, οὕτω δὲ ἐναργῶς τὰς παρεκτροπὰς τῶν πολιτικῶν φατριῶν περιγράψαι, εἰ μὴ εἶχε ζωηρὸν αἴσθημα τοῦ μεγέθους τῶν κακῶν τούτων· ἥ τε ἀνάλυσις αὐτοῦ οὐκ ἂν ἦν οὕτως ἀσφαλής, οὐδὲ αἱ κρίσεις αὐτοῦ εἶχον ἂν τοσοῦτον κῦρος, εἰ μὴ τοῦ κάλλους συνηρτᾶτο καὶ τοῦ ὑποχρεωτικοῦ χαρακτῆρος τῆς ἀληθείας, τῆς δικαιοσύνης, τῆς φιλανθρωπίας καὶ τῆς τιμῆς· ἀλλ' οὐδόλως τὸν περιγραφικὸν ἐγκαταλείπει τόνον· καὶ διὰ τί ἐγκαταλείψει αὐτόν; Τὸ σπουδαιότερον ἡμῖν οὐκ ἔστιν ἡ διάχυσις τῆς καρδίας αὐτοῦ, διότι ἡ συγκίνησις τοῦ ἀνθρώπου οὐδὲν δύναται ἐν τῇ ἐξετάσει τοῦ ἀληθοῦς καὶ ἐν τῇ Ἱστορίᾳ τῆς ἀνθρωπότητος, ἀλλὰ δρέψασθαι τὸν καρπὸν τῆς μελέτης αὐτοῦ καὶ μυηθῆναι τὴν διάγνωσιν τῶν μεγάλων τούτων ἠθικῶν νόσων, αἷς ὑπέκεινται οἱ λαοί. Τοῦτο πράττει ὑπὲρ ἡμῶν ὁ Θουκυδίδης, καὶ κάλλιον ἐξυπηρετεῖ τῷ συμφέροντι τοῦ ἀγαθοῦ, ἢ εἴπερ εἰς ἠθικὰς παρεδίδετο παραφορὰς ἐνθουσιασμοῦ ἢ ἀγανακτήσεως».

Τοιαῦτα τὰ ἠθικὰ διδάγματα, τοιοῦτος ὁ φιλοσοφικὸς σκοπὸς τῆς ἱστορίας τοῦ Θουκυδίδου. Τίς ἄλλος πρὸ αὐτοῦ τὴν ἀφήγησιν τῶν παρελθόντων ἢ τῶν συγχρόνων γεγονότων κατέστησε διδασκαλίαν τῆς ἀνθρωπότητος; Οὐδεὶς ἱστορικὸς ἔσχε τὴν φιλοδοξίαν τὴν ἱστορίαν αὐτοῦ καταστῆσαι κτῆμα ἐς ἀεί, ὡς ὁ Θουκυδίδης (ἴδ. σελ. 184 — 185), ὁδηγὸν ἔχων τὸν νοῦν καὶ τὸν λόγον, καὶ πρὸς τὸν νοῦν καὶ τὸν λόγον ἀποτεινόμενος τῶν ἐπερχομένων γενεῶν, τουτέστι πρὸς τοὺς νοήμονας ἄνδρας, ὅσοι τὴν ἱστορίαν αὐτοῦ μελετῶντες καὶ ἀνευρίσκοντες τὴν ἀλληλουχίαν τῶν αἰτίων καὶ αἰτιατῶν δυνήσονται, χρώμενοι αὐτῇ ὡς ὁδηγῷ, ἐν παρομοίαις περιςτάσεσιν ἑτάζειν καρδίαν καὶ

νεφρούς, ἀνιχνεύειν τὴν ἀλήθειαν τῶν συμβαινόντων κατὰ τοὺς χρόνους αὐτῶν, προγινώσκειν καὶ κρίνειν ἀσφαλῶς περὶ τῆς πορείας τῶν ἀνθρωπίνων πραγμάτων· ὥστε καίτοι ἡ ὑπόθεσις τῆς ἱστορίας τοῦ Θουκυδίδου λίαν περιωρισμένη ἐςίν, ὁ ὁρίζων αὐτῆς ἐκτείνεται ἐπ'ἄπειρον, διότι αὐτός ἐςιν ὁ ἀπέραντος ὁρίζων τῆς νοήσεως.

Σωκράτης καὶ Ἀναξαγόρας.

§ 47. Τοιοῦτος μὲν ὁ Θουκυδίδης, ὁ ὀτρηρὸς θεράπων τῆς φιλοσοφίας τοῦ νοῦ. Ὁ δὲ Σωκράτης οὐκ αὐτοῦ τοῦ Ἀναξαγόρου ἀκροατὴς ἐγένετο, ἀλλὰ τοῦ μαθητοῦ αὐτοῦ Ἀρχελάου, τοῦ φυσικοῦ, ὃς τὸ πρῶτον τὴν τοῦ Ἀναξαγόρου φιλοσοφίαν ἐμυήσατο αὐτόν. Ὁ Σωκράτης ὁμολογεῖ ἐν τῷ Φαίδωνι τοῦ Πλάτωνος (σελ. 96), ὅτι νέος ὢν σφοδρὰν εἶχε κλίσιν πρὸς τὴν φυσικήν· «Ἐγὼ γὰρ νέος ὢν θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας, ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν· ὑπερήφανος γάρ μοι ἐδόκει εἶναι, εἰδέναι τὰς αἰτίας ἑκάστου, διά τί γίγνεται ἕκαστον, καὶ διὰ τί ἀπόλλυται καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἐμαυτὸν ἄνω κάτω μετέβαλλον σκοπῶν πρῶτον τὰ τοιάδε, ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὡς τινες ἔλεγον (Ἀναξαγόρας καὶ Ἀρχέλαος), τότε δὴ τὰ ζῶα ξυντρέφεται· καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν (Ἐμπεδοκλῆς), ἢ ὁ ἀὴρ (Ἀναξιμένης), ἢ τὸ πῦρ (Ἡράκλειτος), ἢ τούτων μὲν οὐδέν, ὁ δὲ ἐγκέφαλός[1] ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν καὶ ὁρᾶν καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν κατὰ ταῦτα γίγνεσθαι ἐπιστήμην· καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν, καὶ τὰ περὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη, τελευτῶν οὕτως ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς εἶναι, ὡς οὐδὲν χρῆμα· τεκμήριον δέ σοι ἐρῶ ἱκανόν. Ἐγὼ γὰρ ἃ καὶ πρότερον σαφῶς ἠπιστάμην, ὡς γε ἐμαυτῷ καὶ τοῖς ἄλλοις ἐδόκουν, τότε ὑπὸ ταύτης τῆς σκέψεως οὕτω σφόδρα ἐτυφλώθην, ὥστε ἀπέμαθον καὶ ταῦτα, ἃ πρὸ τοῦ ᾤμην εἰδέναι».

Ὁ Σωκράτης μὴ εὑρὼν ἀποχρώσας τὰς πρὸς ἐξήγησιν τῶν φυσικῶν καὶ ζωϊκῶν φαινομένων προτεινομένας ὑπὸ τῶν φυσιολόγων αἰτίας, ἐνόμισε τοιαύτας εὑρεῖν ἐν τῇ φιλοσοφίᾳ τοῦ νοῦ.

«Ἀλλ' ἀκούσας μέν ποτε ἐκ βιβλίου τινός, ὡς ἔφη, Ἀναξαγόρου ἀναγιγνώσκοντος, καὶ λέγοντος ὡς ἄρα νοῦς ἐστιν ὁ διακοσμῶν τε καὶ πάντων αἴτιος, ταύτῃ δὴ τῇ αἰτίᾳ ἥσθην τε καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων αἴτιον, καὶ ἡγησάμην, εἰ τοῦθ' οὕτως ἔχει, τόν γε νοῦν κοσμοῦντα πάντα καὶ ἕκαστον τιθέναι ταύτῃ ὅπῃ ἂν βέλτιστα ἔχῃ· εἰ οὖν τις βούλοιτο τὴν αἰτίαν εὑρεῖν περὶ ἑκάστου, ὅπῃ γίγνεται ἢ ἀπόλλυται ἢ ἔστι, τοῦτο δεῖν περὶ αὐτοῦ εὑρεῖν, ὅπῃ βέλτιστον αὐτῷ ἐστιν ἢ εἶναι ἢ ἄλλο ὁτιοῦν πάσχειν ἢ ποιεῖν. Ἐκ δὲ δὴ τοῦ λόγου τούτου οὐδὲν ἄλλο σκοπεῖν προσήκειν ἀνθρώπῳ καὶ περὶ αὐτοῦ ἐκείνου καὶ περὶ τῶν ἄλλων, ἀλλ' ἢ τὸ ἄριστον καὶ τὸ βέλτιστον· ἀναγκαῖον δὲ εἶναι τὸν αὐτὸν τοῦτον καὶ τὸ χεῖρον εἰδέναι· τὴν αὐτὴν γὰρ εἶναι ἐπιστήμην περὶ αὐτῶν. Ταῦτα δὴ λογιζόμενος ἅσμενος εὑρηκέναι ᾤμην διδάσκαλον τῆς αἰτίας περὶ τῶν ὄντων κατὰ νοῦν ἐμαυτῷ, τὸν Ἀναξαγόραν, καί μοι φράσειν πρῶτον μὲν πότερον ἡ γῆ πλατεῖά ἐστιν ἢ στρογγύλη, ἐπειδὴ δὲ φράσειεν, ἐπεκδιηγήσεσθαι τὴν αἰτίαν καὶ τὴν ἀνάγκην, λέγοντα τὸ ἄμεινον καὶ ὅτι αὐτὴν ἄμεινον ἦν τοιαύτην εἶναι· καὶ εἰ ἐν μέσῳ φαίη εἶναι αὐτήν, ἐπεκδιηγήσεσθαι ὡς ἄμεινον ἦν αὐτὴν ἐν μέσῳ εἶναι· καὶ εἴ μοι ταῦτα ἀποφαίνοιτο, παρεσκευασάμην ὡς οὐκέτι ποθησόμενος αἰτίας ἄλλο εἶδος· καὶ δὴ καὶ περὶ ἡλίου οὕτω παρεσκευασάμην, ὡσαύτως πευσόμενος, καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων, τάχους τε πέρι πρὸς ἄλληλα καὶ τροπῶν καὶ τῶν ἄλλων παθημάτων, ᾗ ποτε ταῦτ' ἄμεινόν ἐστιν ἕκαστον καὶ ποιεῖν καὶ πάσχειν ἃ πάσχει· οὐ γὰρ ἄν ποτε αὐτὸν ᾠμην, φάσκοντά γε ὑπὸ νοῦ αὐτὰ κεκοσμῆσθαι, ἄλλην τινὰ αὐτοῖς αἰτίαν ἐπενεγκεῖν ἢ ὅτι βέλτιστον αὐτὰ οὕτως ἔχειν ἐστὶν ὡςπερ ἔχει. Ἑκάςῳ οὖν αὐτὸν ἀποδιδόντα τὴν αἰτίαν καὶ κοινῇ πᾶσι τὸ ἑκάστῳ βέλτιστον ᾠμην καὶ τὸ κοινὸν πᾶσιν ἐπεκδιηγήσεσθαι ἀγαθόν· καὶ οὐκ ἂν ἀπεδόμην πολλοῦ τὰς ἐλπίδας, ἀλλὰ πάνυ σπουδῇ λαβὼν τὰς βίβλους ὡς τάχιστα οἷός τε ἦν ἀνεγίνωσκον, ἵν' ὡς τάχιστα εἰδείην τὸ βέλτιστον καὶ τὸ χεῖρον.

»Ἀπὸ δὴ θαυμαστῆς ἐλπίδος, ὦ ἑταῖρε, ὠχόμην φερόμενος, ἐπειδὴ προϊὼν καὶ ἀναγινώσκων ὁρῶ ἄνδρα τῷ μὲν νῷ οὐδὲν χρώμενον οὐδέ τινας αἰτίας ἐπαιτιώμενον εἰς τὸ διακοσμεῖν τὰ πράγματα, ἀέρας δὲ καὶ αἰθέρας καὶ ὕδα-

1) Οὐδὲν ἄλλο λέγει καὶ ἡ νεωτέρα ὁλόφρων ψυχολογία· ὁ ἐγκέφαλος κινούμενος ὑπὸ τῶν αἰσθητικῶν νεύρων διατηρεῖ τὰς εἰκόνας τὰς ἐκ τῶν αἰσθητικῶν ἐντυπώσεων προελθούσας, κατέχει δὲ τὴν ἐπιςήμην, ὅταν αὗται σταθεραὶ καὶ ἤρεμοι ἀποῦσι.

τα αἰτιώμενον καὶ ἄλλα πολλὰ καὶ ἄτοπα». Ὁ Σωκράτης ἀπογοητευθεὶς καὶ ἐκ τῆς τοῦ Ἀναξαγόρου φιλοσοφίας ἰδίαν ἐζήτησεν ὁδὸν καὶ μέθοδον πρὸς εὕρεσιν τῆς ἀληθείας.

«Ἔδοξε τοίνυν μοι μετὰ ταῦτα, ἐπειδὴ ἀπείρηκα τὰ ὄντα σκοπῶν, δεῖν εὐλαβηθῆναι μὴ πάθοιμι ὅπερ οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι· διαφθείρονται γάρ που ἔνιοι τὰ ὄμματα, ἐὰν μὴ ἐν ὕδατι ἤ τινι τοιούτῳ σκοπῶνται τὴν εἰκόνα αὐτοῦ· τοιοῦτόν τι καὶ ἐγὼ διενοήθην, καὶ ἔδεισα μὴ παντάπασι τὴν ψυχὴν τυφλωθείην βλέπων πρὸς τὰ πράγματα τοῖς ὄμμασι καὶ ἑκάστῃ τῶν αἰσθήσεων ἐπιχειρῶν ἅπτεσθαι αὐτῶν· ἔδοξε δή μοι χρῆναι εἰς τοὺς λόγους καταφυγόντα ἐν ἐκείνοις σκοπεῖν τὴν ἀλήθειαν τῶν ὄντων».

Τοιαύτη ἡ διανοητικὴ βιογραφία[1] τοῦ Σωκράτους· νέος ὢν ἐπεδόθη εἰς τὴν ἀνάγνωσιν καὶ μελέτην τῶν φυσικῶν· ἐξ αὐτῶν δὲ μετέβη εἰς τὴν φιλοσοφίαν τοῦ Ἀναξαγόρου· ταύτην δὲ λαβὼν ὡς ἀφετηρίαν καὶ τηρήσας τὸν νοῦν ὡς ἀρχὴν καὶ αἰτίαν τῆς διακοσμήσεως τοῦ παντὸς νέκν ἔτεμεν ὁδὸν νέαν ἀρχὴν εἰσαγαγὼν εἰς τὴν φιλοσοφίαν τὴν τοῦ ἀγαθοῦ ὡς τελικοῦ αἰτίου.

Καὶ αὐτὸς δὲ ὁ Ξενοφῶν λέγων ἐν τοῖς *Ἀπομνημονεύμασι* (Α, α', 11) ὅτι ὁ Σωκράτης οὐ περὶ τῆς τῶν πάντων φύσεως, ἣν περ τῶν ἄλλων οἱ πλεῖστοι, διελέγετο σκοπῶν ὅπως ὁ καλούμενος κόσμος ἔρυ καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων, ὁμολογεῖ (Δ, ζ', 3) ὅτι οὐκ ἄπειρος ἦν αὐτῶν, οὐδ' ἐξ ἀγνοίας αὐτῶν ἀπεῖχεν, ἀλλ' ἐφρόνει ὅτι ἡ ἀσχολία περὶ αὐτὰ ματκισπονία ἐξίν. Λύστηρὰ ὅμως ἐστὶν ἡ κρίσις τοῦ Πλάτωνος· ἣν ὑποβάλλει τῷ στόματι τοῦ Σωκράτους περὶ τῆς φιλοσοφίας τοῦ Ἀναξαγόρου, ἡ δὲ τοῦ Ξενοφῶντος ἄδικος καὶ παράλογος, διότι οὐδέποτε ὁ Σωκράτης ἠδύνατο τὸν Ἀναξαγόραν τὸν προσκυνηθέντα νοῦν καλέσκι παράφρονα. Τῆς βλασφημίας ταύτης τὴν εὐθύνην αὐτὸς καὶ μόνος φέρει ὁ Ξενοφῶν· «Κινδυνεῦσαι δ' ἂν ἔφη καὶ παραφρονῆσαι τὸν ταῦτα (τὰ οὐράνια) μεριμνῶντα οὐδὲν ἧττον ἢ Ἀναξαγόρας παρεφρόνησεν ὁ μέγιστον φρονήσας ἐπὶ τῷ τὰς τῶν θεῶν μηχανὰς ἐξηγεῖσθαι». Ὅτε Πλάτων καὶ ὁ Ξενοφῶν καλῶς ἐγίνωσκον ὅτι τῆς φιλοσοφίας τοῦ διδασκάλου αὐτῶν κρηπὶς ἦν αὐτὸς ὁ Νοῦς τῆς τοῦ Ἀναξαγόρου φιλοσοφίας. Τί γὰρ ἄλλο ἐστί, κατὰ Σωκράτην, ὁ συνέχων καὶ κυβερνῶν τὸν κόσμον θεὸς ἢ Νοῦς; Τοῦτο λέγει σαφῶς ὁ Ξενοφῶν ἐν τῇ διαλέξει τοῦ Σωκράτους καὶ τοῦ Ἀριστοδήμου (Ἀπομν. Α, δ', 17—18)· «Σὺ δὲ σαυτὸν φρόνιμον δοκεῖς τι ἔχειν, ἄλλοθι δὲ οὐδαμοῦ οὐδὲν οἴει φρόνιμον εἶναι, καὶ ταῦτ' εἰδὼς ὅτι γῆς τε μικρὸν μέρος ἐν τῷ σώματι πολλῆς οὔσης ἔχεις καὶ ὑγροῦ βραχὺ πολλοῦ ὄντος καὶ τῶν ἄλλων δήπου μεγάλων ὄντων ἑκάστου μικρὸν μέρος λαβόντι τὸ σῶμα συνήρμοσταί σοι; νοῦν δὲ μόνον ἆρα οὐδαμοῦ ὄντα σὲ εὐτυχῶς πως δοκεῖς συναρπάσαι, καὶ τάδε τὰ ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα δι' ἀφροσύνην τινὰ αὖτως οἴει εὐτάκτως ἔχειν; Μὰ Δί', οὐ γὰρ ὁρῶ τοὺς κυρίους, ὥσπερ τῶν ἐνθάδε γιγνομένων τοὺς δημιουργούς. Οὐδὲ γὰρ τὴν σαυτοῦ ψυχὴν ὁρᾷς, ἡ τοῦ σώματος κυρία ἐστίν· ὥστε κατά γε τοῦτο ἔξεστί σοι λέγειν ὅτι οὐδὲν γνώμῃ, ἀλλὰ τύχῃ πάντα πράττεις.....

»Ἄγχοθί, κατάμαθε ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν τὸ σὸν σῶμα ὅπως βούλεται μεταχειρίζεται. Οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν τῷ παντὶ φρόνησιν τὰ πάντα ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι, καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνατται ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾶν, μηδὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμέλεσθαι».

Καὶ ἐν τῇ διαλέξει τοῦ Σωκράτους καὶ Εὐθυδήμου (αὐτόθι Δ, γ', 13—14)· «Ἐννοεῖ δὲ ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν· οἵ τε γὰρ ἄλλοι ἡμῖν τἀγαθὰ διδόντες οὐδὲν τούτων εἰς τοὐμφανὲς ἰόντες διδόασι, καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἃ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ὑγιᾶ καὶ ἀγήρατα παρέχων, θᾶττον δὲ νοήματος ὑπηρετοῦντα ἀναμαρτήτως, οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν. . . . . .

τήν, καὶ ἐπεζήτει τί ἐστιν ἡ δικαιοσύνη καὶ τί ἡ ἀνδρεία καὶ ἕκαστον τῶν μορίων αὐτῆς. Ἐποίει γὰρ ταῦτ' εὐλόγως, ἐπιστήμας γὰρ ᾤετ' εἶναι πάσας τὰς ἀρετάς, ὥσθ' ἅμα συμβαίνειν εἰδέναι τε τὴν δικαιοσύνην καὶ εἶναι δίκαιον· ἅμα γὰρ μεμαθήκαμεν τὴν γεωμετρίαν καὶ οἰκοδομίαν καὶ ἐσμεν οἰκοδόμοι καὶ γεωμέτραι. Διόπερ ἐζήτει τί ἐστιν ἀρετή, ἀλλ' οὐ πῶς γίνεται καὶ ἐκ τίνων. Τοῦτο δὲ ἐπὶ μὲν τῶν ἐπιστημῶν συμβαίνει τῶν θεωρητικῶν· οὐδὲν γὰρ ἕτερόν ἐστι τῆς ἀστρολογίας οὐδὲ τῆς περὶ φύσεως ἐπιστήμης οὐδὲ γεωμετρίας, πλὴν τὸ γνωρίσαι καὶ θεωρῆσαι τὴν φύσιν τῶν πραγμάτων τῶν ὑποκειμένων ταῖς ἐπιστήμαις· οὐ μὴν ἀλλὰ κατὰ συμβεβηκὸς οὐθὲν κωλύει πρὸς πολλὰ τῶν ἀναγκαίων εἶναι χρησίμους αὐτὰς ἡμῖν. Τῶν δὲ ποιητικῶν ἐπιστημῶν ἕτερον τὸ τέλος τῆς ἐπιστήμης καὶ γνώσεως, οἷον ὑγίεια μὲν ἰατρικῆς, εὐνομία δὲ ἤ τι τοιοῦτ' ἕτερον τῆς πολιτικῆς. Καλὸν μὲν οὖν καὶ τὸ γνωρίζειν ἕκαστον τῶν καλῶν, οὐ μὴν ἀλλά γε περὶ ἀρετῆς οὐ τὸ εἰδέναι τιμιώτατον τί ἐστιν, ἀλλὰ τὸ γινώσκειν ἐκ τίνων ἐστίν· οὐ γὰρ εἰδέναι βουλόμεθα τί ἐστιν ἀνδρεία, ἀλλ' εἶναι ἀνδρεῖοι, οὐδὲ τί ἐστι δικαιοσύνη, ἀλλ' εἶναι δίκαιοι, καθάπερ καὶ ὑγιαίνειν μᾶλλον ἢ γινώσκειν τί ἐστι τὸ ὑγιαίνειν, καὶ εὖ ἔχειν τὴν ἕξιν μᾶλλον ἢ γινώσκειν τί ἐστι τὸ εὖ ἔχειν». Ἐν δὲ τῷ ἑβδόμῳ βιβλίῳ (ιγ') ἀποδείκνυσιν ὅτι ἡ ἀρετὴ οὐκ ἔστιν ἐπιστήμη, διότι τῆς ἐπιστήμης γίνεται ἀγαθὴ χρῆσις καὶ κατὰ συμβεβηκὸς κακή, τῆς δὲ φρονήσεως (τῆς πρακτικῆς ἀρετῆς) μόνον ἀγαθή· ἡ ἀρετὴ ἄρα οὐκ ἔστιν ἐπιστήμη· (ἴδ. τὰς σοφὰς παρατηρήσεις τοῦ Fouillée *Philos. de Socr.* I, σελ. 214—216).

Καὶ ἐν τοῖς *Ἠθικοῖς Νικομαχείοις* (ς', ιγ', 3) «Καὶ Σωκράτης τῇ μὲν ὀρθῶς ἐζήτει, τῇ δὲ ἡμάρτανεν· ὅτι μὲν γὰρ φρονήσεις (σοφίαν) ᾤετο εἶναι πάσας τὰς ἀρετάς, ἡμάρτανεν· ὅτι δ' οὐκ ἄνευ φρονήσεως, καλῶς ἔλεγε. Σημεῖον δέ, καὶ γὰρ νῦν πάντες, ὅταν ὁρίζωνται τὴν ἀρετήν, προστιθέασι τὴν ἕξιν, εἰπόντες καὶ πρὸς ἃ ἔστι, τὴν κατὰ τὸν ὀρθὸν λόγον, ὀρθὸς δ' ὁ κατὰ τὴν φρόνησιν. Ἔοικασι δὴ μαντεύεσθαί πως ἅπαντες ὅτι ἡ τοιαύτη ἕξις ἀρετή ἐστιν ἡ κατὰ τὴν φρόνησιν· δεῖ δὲ μικρὸν μεταβῆναι· οὐ γὰρ μόνον ἡ κατὰ τὸν ὀρθὸν λόγον, ἀλλ' ἡ μετὰ τοῦ ὀρθοῦ λόγου ἕξις ἀρετή ἐστιν, ὀρθὸς δὲ λόγος περὶ τῶν τοιούτων ἡ φρόνησίς ἐστιν. Σωκράτης μέν οὖν λόγους τὰς ἀρετὰς ᾤετο εἶναι (ἐπιστήμας γὰρ εἶναι πάσας), ἡμεῖς δὲ μετὰ λόγου» «ἀδύνατον κάλλιον ἐκφράσαι τὸν ἀποκλειστικὸν τοῦ Σωκράτους ὁρθολογισμόν, ὃς ἐν μὲν τῇ ψυχολογίᾳ εἰς τὴν σύγχυσιν τοῦ νοῦ καὶ τῆς θελήσεως καταλήγει, ἐν δὲ τῇ ἠθικῇ εἰς τὴν σύγχυσιν τῆς ἐπιστήμης καὶ τῆς ἀρετῆς». (Fouillée). Καὶ ἐν τοῖς *Μεγάλοις Ἠθικοῖς* (Α, α', 26) ὡσαύτως· «Οὐκ ὀρθῶς δὲ οὐδ' ὁ Σωκράτης ἐπιστήμας ἐποίει τὰς ἀρετάς· ἐκεῖνος γὰρ οὐδὲν ᾤετο δεῖν μάτην εἶναι, ἐκ δὲ τοῦ τὰς ἀρετὰς ἐπιστήμας εἶναι συνέβαινεν αὐτῷ τὰς ἀρετὰς μάτην εἶναι. Διὰ τί; ὅτι ἐπὶ τῶν ἐπιστημῶν συμβαίνει ἅμα εἰδέναι τὴν ἐπιστήμην τί ἐστι καὶ εἶναι ἐπιστήμονα· εἰ γάρ τις ἰατρικὴν οἶδε τί ἐστι, καὶ ἰατρὸς οὗτος εὐθέως ἐστίν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐπιστημῶν· ἀλλ' οὐκ ἐπὶ τῶν ἀρετῶν συμβαίνει· οὐ γάρ εἴ τις οἶδε τὴν δικαιοσύνην τί ἐστιν, εὐθέως δίκαιός ἐστιν, ὡς δ' αὕτως κἀπὶ τῶν ἄλλων». (ἴδ. αὐτ. καὶ ιγ', 10).

Περὶ δὲ τῆς ἑτέρας Σωκρατικῆς ἀρχῆς, ὅτι *οὐδεὶς κακὸς ἑκών*, ἐν τοῖς *Μεγάλοις Ἠθικοῖς* (Α, θ', 7) λέγει τάδε· «ἐπεὶ δ' οὐν ὑπὲρ ἀρετῆς εἴρηται, μετὰ τοῦτ' ἂν εἴη σκεπτέον πότερον δυνατὴ παραγενέσθαι ἢ οὔ, ἀλλ' ὥσπερ Σωκράτης ἔφη, οὐκ ἐφ' ἡμῖν γενέσθαι τὸ σπουδαίους εἶναι ἢ φαύλους. Εἰ γάρ τις, φησίν, ἐρωτήσειεν ὀντινοῦν πότερον ἂν βούλοιτο δίκαιος εἶναι ἢ ἄδικος, οὐθεὶς ἂν ἕλοιτο τὴν ἀδικίαν. Ὁμοίως δ' ἐπ' ἀνδρείας καὶ δειλίας καὶ τῶν ἄλλων ἀρετῶν ἀεὶ ὡσαύτως. Δῆλον δ' ὡς εἰ φαῦλοί τινές εἰσιν, οὐκ ἂν ἑκόντες ἦσαν φαῦλοι· ὥστε δῆλον ὅτι οὐδὲ σπουδαῖοι. Ὁ δὲ τοιοῦτος λόγος οὐκ ἔστιν ἀληθής· διὰ τί γὰρ ὁ νομοθέτης οὐκ ἐᾷ τὰ φαῦλα πράττειν, τὰ δὲ καλὰ καὶ σπουδαῖα κελεύει; καὶ ἐπὶ μὲν τοῖς φαύλοις ζημίαν τάττει, ἂν πράττῃ, ἐπὶ δὲ τοῖς καλοῖς, ἂν μὴ πράττῃ; Καίτοι ἄτοπος[1] ἂν εἴη νομοθετῶν ἃ μὴ ἐφ' ἡμῖν ἐστι πράττειν. Ἀλλ', ὡς ἔοικεν, ἐφ' ἡμῖν τὸ σπουδαίους εἶναι καὶ τὸ φαύλους. Ἔτι δὲ μαρτυροῦσιν οἵ τ' ἔπαινοι καὶ οἱ ψόγοι γινόμενοι· ἐπὶ μὲν γὰρ τῇ ἀρετῇ ἔπαινος, ἐπὶ δὲ τῇ κακίᾳ ψόγος, ἔπαινος δὲ καὶ ψόγος οὐκ ἐπὶ τοῖς ἀκουσίοις· ὥστε δῆλον ὅτι ὡσαύτως ἐφ' ἡμῖν καὶ τὰ σπουδαῖά ἐστι πράττειν καὶ τὰ φαῦλα. Ἔοικεν οὖν ἐν τῷ κατ' ἀρετὴν καὶ κακίαν εἶναι τὸ ἑκούσιον».

Καὶ περὶ ἀκρασίας ἐν τοῖς *Ἠθικοῖς Νικομαχείοις* (Ζ, β')· «Ἀπορήσειε δ' ἄν τις πῶς ὑπολαμβάνων ὀρθῶς ἀκρατεύεταί τις· ἐπιστάμενον μὲν οὖν οὔ φασί τινες οἷόν τε εἶναι· δεινὸν γὰρ ἐπιστήμης ἐνούσης ὡς ᾤετο ὁ Σωκράτης (ἴδ. σελ. 206), ἄλλο τι κρατεῖν καὶ περιέλκειν αὐτόν, ὡς ἀνδράποδον· Σωκράτης μὲν γὰρ ὅλως ἐμάχετο πρὸς τὸν λόγον ὡς οὐκ οὔσης ἀκρασίας· οὐθένα γὰρ ὑπολαμβάνοντα πράττειν παρὰ τὸ βέλτιστον, ἀλλὰ δι' ἄγνοιαν. Οὗτος μὲν οὖν ὁ λόγος ἀμφισβητεῖ τοῖς φαινομένοις ἐναργῶς, καὶ δέον ζητεῖν περὶ τὸ πάθος, εἰ δι' ἄγνοιαν, τίς ὁ τρόπος γίνεται τῆς ἀγνοίας· ὅτι γὰρ οὐκ οἴεταί γε ὁ ἀκρατευόμενος, πρὶν ἐν τῷ πάθει γενέσθαι, φανερόν. Εἰσὶ δέ τινες (ὁ Πλάτων· ἴδ. σελ. 207), οἳ τὰ μὲν συγχωροῦσι τὰ δ' οὔ· τὸ μὲν γὰρ ἐπιστήμης μηθὲν εἶναι κρεῖττον ὁμολογοῦσι, τὸ δὲ μηθένα πράττειν παρὰ τὸ δόξαν βέλτιον οὐχ ὁμολογοῦσι, καὶ διὰ τοῦτο τὸν ἀκρατῆ φασιν οὐκ ἐπιστήμην ἔχοντα κρατεῖσθαι ὑπὸ τῶν ἡδονῶν, ἀλλὰ δόξαν. Ἀλλὰ μὴν εἴ γε δόξα καὶ μὴ ἐπιστήμη, μηδ' ἰσχυρὰ ὑπόληψις ἡ ἀντιτείνουσα ἀλλ' ἠρεμαία, καθάπερ ἐν τοῖς διστάζουσι, συγγνώμη τῷ μὴ μένειν ἐν αὐταῖς πρὸς ἐπιθυμίας ἰσχυράς· τῇ δὲ μοχθηρίᾳ οὐ συγγνώμη, οὐδὲ τῶν ἄλλων οὐδενὶ τῶν ψεκτῶν». Τὰ αὐτὰ δὲ καὶ ἐν τοῖς *Μεγάλοις Ἠθικοῖς* (Β, ς', 2)· «Σωκράτης μὲν οὖν ὁ πρεσβύτης ἀνῄρει ὅλως καὶ οὐκ ἔφη ἀκρασίαν εἶναι, λέγων ὅτι οὐδεὶς εἰδὼς τὰ κακὰ ὅτι κακὰ εἰσιν ἕλοιτ' ἄν· ὁ δὲ ἀκρατὴς δοκεῖ, εἰδὼς ὅτι φαῦλά ἐστιν, αἱρεῖσθαι ὅμως, ἀγόμενος ὑπὸ τοῦ πάθους. Διὰ δὴ τὸν τοιοῦτον λόγον οὐκ ᾤετ' εἶναι ἀκρασίαν, οὐ δὴ ὀρθῶς· ἄτοπον γὰρ τῷ λόγῳ τούτῳ πεισθέντας ἀναιρεῖν τὸ πιθανῶς γινόμενον· ἀκρατεῖς γάρ εἰσιν ἄνθρωποι, καὶ αὐτοὶ εἰδότες ὅτι φαῦλα ὅμως ταῦτα πράττουσιν· ἐπεὶ δ' οὖν ἔστιν ἀκρασία, πότερον ὁ ἀκρατὴς ἐπιστήμην τινὰ ἔχει, ἢ θεωρεῖ καὶ ἐξετάζει τὰ φαῦλα; Ἀλλὰ πάλιν ἂν δόξειεν ἄτοπον τὸ κράτιστον καὶ βεβαιότατον τῶν ἐν ἡμῖν ἡττᾶσθαι ὑπό τινος· ἐπιστήμη γὰρ πάντων τῶν ἐν ἡμῖν μονιμώτατόν ἐστι καὶ βιαστικώτατον, ὥστε πάλιν ὁ λόγος οὗτος ἐναντιοῦται τῷ μὴ εἶναι ἐπιστήμην. Ἀλλ' ἆρά γε ἐπιστήμη μὲν οὔ, δόξα δέ; ἀλλ' εἰ δόξαν ἔχει ὁ ἀκρατής, οὐκ ἂν εἴη ψεκτός· εἰ γὰρ φαῦλόν τι πράττει μὴ ἀκριβῶς εἰδώς, ἀλλὰ δοξάζων, συγγνώμην ἂν τις ἀποδοίη προσθέσθαι τῇ ἡδονῇ καὶ πρᾶξαι τὰ φαῦλα, μὴ ἀκριβῶς εἰδότα ὅτι φαῦλά εἰσιν, ἀλλὰ δοξάζοντα· οἷς δὲ συγγνώμην ἔχομεν, τούτους οὐ ψέγομεν· ὥστε ὁ ἀκρατής, εἴπερ δόξαν ἔχει, οὐκ ἔστι ψεκτός· ἀλλ' ἔστι ψεκτός».

Τοιαῦται αἱ κρίσεις τοῦ Ἀριστοτέλους περὶ τῆς ἠθικῆς φιλοσοφίας τοῦ Σωκράτους· ἐκ τούτων λαμβάνων ἀφορμὴν ὁ Fouillée συνοψίζει τὴν ἠθικὴν θεωρίαν τοῦ Σωκράτους ὡς ἑξῆς.

«Ἡ οὐσία τῆς ψυχῆς ὁ λόγος ἐστίν· ὁ λέγων ψυχὴν λέγει νοῦν· ὁ δὲ λόγος ὑποκείμενον ἔχει καὶ τέλος ἀναγκαῖον τὸ ἀγαθόν· ὅταν γινώσκῃ τὸ ἀγαθόν, τείνει πρὸς αὐτό· ἡ δὲ τάσις αὕτη πρὸς τὸ ἀγαθὸν ὡς τέλος, γενικὴ οὖσα καὶ θεμελιώδης, καλεῖται βούλησις· ὥστε ἡ βούλησις οὐδὲν ἄλλο ἐστὶν ἢ ὁ λόγος νοῶν τὸ ἀγαθόν· ὅταν ὁ λόγος πρὸς ἐκπλήρωσιν τοῦ ἀγαθοῦ πολλὰ βλέπῃ μέσα, προαιρεῖται, νοερᾷ τινι ἐνεργείᾳ, ὅ,τι ἂν δοκῇ αὐτῷ βέλτιον. Ἡ ἀρετή ἐστιν ὁ ἀληθὴς λογισμός, ἡ ἐπιστήμη, ἥτις αὐτομάτως ἐν πράξεσιν ἐκδηλοῦται· ἡ ἀληθὴς ἐπιστήμη ὑπ' οὐδενὸς κρατεῖται οὐδὲ ὑπ' αὐτοῦ τοῦ πάθους, ἔτι δ' ἔλαττον ὑπὸ δυνάμεως ἐλευθερίας τινὸς ἀδιαφόρου, ἐνεργούσης ἀλόγως κατὰ τοῦ λόγου καὶ συνειδήσιν ἐχούσης τῆς ἰδίας αὐτῆς ἀλογίας· ἡ κακία φαντασιῶδές τι τυγχάνει ὄν, νόσος νοερά, πλάνη ἀκουσία, δυναμένη ἰαθῆναι ὑπὸ τῆς παιδεύσεως ἢ ὑπὸ τῆς κολάσεως· ἡ δὲ ἐλευθερία ὁ λόγος ἐστὶν ἄνευ κωλυμάτων ἀναπτυσσόμενος, νοῶν τὸ ἀληθὲς καὶ ἐκτελῶν αὐτό, μιᾷ καὶ μόνῃ καὶ τῇ αὐτῇ ἐνεργείᾳ, ἥτις πάσης ἐξωτερικῆς ἀντιστάσεως δεσπόζει· ἡ ἐλευθερία ἐστὶν ἡ ἐπιστήμη καὶ ἡ ἀρετή. Διὰ τοῦτο δύναταί τις εἰπεῖν ὅτι ἡ ἀρετὴ ἐστὶν ἐλευθέρα, ἑκουσία μάλιστα· ἡ δὲ κακία τοὐναντίον ἐστὶν ὅλως δούλη, ἄλογος οὖσα.

Ἡ θεωρία αὕτη τοσαύτην ἔχει σπουδαιότητα καὶ ἡ ῥίζα αὐτῆς τοσοῦτον συμπεφυκυῖά ἐστιν αὐτοῖς τοῖς σπλάγχνοις τῆς Σωκρατικῆς φιλοσοφίας — τῆς φιλοσοφίας τῶν τελικῶν αἰτίων καὶ τῆς προνοίας — καὶ τοσαῦτα ἐν τῇ ἱστορίᾳ κατέλιπεν ἴχνη καὶ νέον πνεῦμα, ὥστε ἡ μελέτη αὐτῆς ἐν τοῖς συγγράμμασι τοῦ Ξενοφῶντος καὶ Ἀριστοτέλους καὶ Πλάτωνος ἐκ τῶν ὧν οὐκ ἄνευ ἐστι».

Περὶ βουλήσεως καὶ ἐλευθερίας κατὰ Σωκράτην καὶ κατὰ τοὺς νεωτέρους.

§ 52. Ἴδωμεν οὖν εἰ σύμφωνα τούτοις εἰσὶν ἃ λέγει Ξενοφῶν περὶ ἠθικῆς ἐλευθερίας. Κατ'

1) Ὁ Πλάτων ἐν τῷ ἐννάτῳ βιβλίῳ τῶν *Νόμων* (σελ. 870—882) ἐκίνησε τὸ ζήτημα, *τίς ἡ χρεία ποινικῶν νόμων, εἰ πᾶσα ἀδικία ἀκουσία ἐστίν*. Ἡ ποινὴ παρ' αὐτῷ οὐκ ἐπὶ τῇ τοῦ αὐτεξουσίου στηρίζεται γνώσει, ἀλλ' ἐπὶ τῇ τῆς τάξεως καὶ ἀταξίας, τῆς τε ἔσωθεν καὶ τῆς ἔξωθεν, θεωρουμένης ἀνεξαρτήτως τῆς ἐλευθερίας· ὁ Πλάτων τὸ κακὸν καθ' ἑαυτὸ κολάζει, οὐδαμοῦ ἐννοῶν αὐτὸ κακὸν ἐλεύθερον· ἡ δὲ ποινὴ ἁπλοῦν ἐστι φάρμακον ἢ ἀπειλὴ τὴν ἀποῦσαν ἐπιστήμην ἀναπληροῦσα· (ἴδ. Fouillée I, σελ. 239—250).

αὐτὸν ὁ Σωκράτης ἀπεφαίνετο, ὅτι σοφὸς καὶ σώφρων ἔν ἐστιν· ὁ δὲ σώφρων ἐγκρατής, ὁ δὲ ἐγκρατὴς κρείττων ὢν τῶν παθῶν καὶ ὑπ' οὐδενὸς ἀγόμενος ἐλεύθερός ἐστιν· ὁ δὲ ἀκρατὴς δοῦλος καὶ ἀνδραποδώδης ὑπὸ τῶν παθῶν αὐτοῦ ἡττώμενος. Οἱ λόγοι τοῦ Ξενοφῶντος ἔχουσιν οὕτως· «Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ καὶ πόλει κτῆμα ἐλευθερίαν; Ὡς οἷόν τέ γε μάλιστα, ἔφη. Ὅστις οὖν ἄρχεται ὑπὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, νομίζεις τοῦτον ἐλεύθερον εἶναι; Ἥκιστα ἔφη. Ἴσως γὰρ ἐλευθέριον φαίνεταί σοι τὸ πράττειν τὰ βέλτιστα, εἶτα τὸ ἔχειν τοὺς κωλύσαντας τὰ τοιαῦτα ποιεῖν ἀνελεύθερον νομίζεις; Παντάπασι γ', ἔφη. Παντάπασιν ἄρα σοι δοκοῦσιν οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι; Νὴ τὸν Δί' εἰκότως. *Πότερα* δέ σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν; Οὐδὲν ἧττον ἔμοιγ', ἔφη, δοκοῦσι ταῦτα ἀναγκάζεσθαι ἢ ἐκεῖνα κωλύεσθαι. Ποίους δέ τινας δεσπότας ἡγεῖ τοὺς τὰ μὲν ἄριστα κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας; Ὡς δυνατόν, νὴ Δί', ἔφη, κακίστους. Δουλείαν δὲ ποίαν κακίστην νομίζεις εἶναι; Ἐγὼ μέν, ἔφη, τὴν παρὰ τοῖς κακίστοις δεσπόταις. Τὴν κακίστην ἄρα δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν; Ἔμοιγε δοκεῖ, ἔφη. Σοφίαν δὲ τὸ μέγιστον ἀγαθὸν οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμανθάνειν αὐτὰ κωλύειν ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ πολλάκις αἰσθανομένους τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν ἐκπλήξασα ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι; Γίγνεται τοῦτ', ἔφη. Σωφροσύνης δέ, ὦ Εὐθύδημε, τίνι ἂν φαῖμεν ἧττον ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δήπου τὰ ἐναντία σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. Ὁμολογῶ καὶ τοῦτο, ἔφη. Τοῦ δ' ἐπιμελεῖσθαι ὧν προσήκει οἴει τι κωλυτικώτερον εἶναι ἀκρασίας; Οὔκουν ἔγωγ', ἔφη. Τοῦ δὲ ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι, ἐκείνων δὲ ἀμελεῖν πείθοντος, καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος οἴει τι ἀνθρώπῳ κάκιον εἶναι; Οὐδέν, ἔφη. Οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων ἢ τὴν ἀκρασίαν εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ τῶν ἐναντίων τὸ αἴτιον εἰκὸς ἄριστον εἶναι; Εἰκός γάρ, ἔφη. Ἔοικεν ἄρα, ἔφη, ὦ Εὐθύδημε, ἄριστον ἀνθρώπῳ ἐγκράτεια εἶναι; Εἰκότως γάρ, ἔφη, ὦ Σώκρατες.....· Ἀλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν κἀγαθὸν καὶ τοῦ ἐπιμεληθῆναι τῶν τοιούτων τινὸς δι' ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε, καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο καὶ ἐχθροὺς κρατήσειεν, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται, οἱ μὲν ἐγκρατεῖς ἀπολαύουσι πράττοντες αὐτά, οἱ δ' ἀκρατεῖς οὐδενὸς μετέχουσι· τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν τοιούτων προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν, κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδονάς; Καὶ ὁ Εὐθύδημος, δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν ὡς ἀνδρὶ ἧττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει. Τί γὰρ διαφέρει, ἔφη, ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀμαθεστάτου; ὅς τις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; ἀλλὰ τοῖς μὲν μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων, καὶ λόγῳ καὶ ἔργῳ διαλέγοντας κατὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι».

Τούτοις συμφωνεῖ καὶ τὸ χωρίον τοῦ Φιλήβου (ἔνθ. σελ. 206), ἐν ᾧ λέγεται «ὡς πᾶν τὸ γιγνῶσκον αὐτὸ (τὸ ἀγαθὸν) θηρεύει καὶ ἕπεται βουλόμενον ἑλεῖν καὶ (περὶ αὐτὸ) κτήσασθαι». Ἐν τούτοις ἡ βούλησις οὐ παρίσταται ἀδρανὴς καὶ παθητική, ἀλλ' ἕπεται καὶ ἐνεργεῖ πρὸς κτῆσιν τοῦ ἀγαθοῦ.

Ἀλλὰ ταῦτα πῶς συμβιβάζονται τοῖς προειρημένοις (§ 50, σελ. 205—207), ὅτι οὐδεὶς κακὸς ἢ ἄδικος ἑκών; πῶς δὲ συμβιβάζονται καὶ τῇ ἀποφάνσει τοῦ Ἀριστοτέλους (§ 51, σελ. 208), ὅτι κατὰ Σωκράτην οὐ μόνον ὁ κακὸς οὐκ ἔστι κακὸς ἑκών, ἀλλὰ καὶ ὁ ἀγαθὸς οὐκ ἔστι τοιοῦτος ἑκών;

Τί δεῖ περὶ τούτων φρονεῖν; ἡ περὶ ἠθικῆς ἐλευθερίας θεωρία τοῦ Σωκράτους ἐστὶ πλήρης καὶ ὁμοία τῇ τῆς νέας πνευματικῆς φιλοσοφίας τοῦ Καρτεσίου φέρ' εἰπεῖν, τοῦ Καντίου, Maine de Biran καὶ ἄλλων; Τοῦτο γενήσεται φανερὸν ἂν πρότερον ἐν ὀλίγοις διαλάβωμεν περὶ τῆς ἠθικῆς ἐλευθερίας ἢ τοῦ αὐτεξουσίου κατὰ τοὺς νεωτέρους. Καὶ πρῶτον ἐξετάσωμεν τίς ὁ ἀληθὴς καὶ πρώταρχος τύπος τῆς ἐλευθέρας ἐνεργείας ἐν τῷ ἀνθρώπῳ, λαμβάνοντες τὸ ἐξῆς παράδειγμα, ὅπερ καθ' ἑκάστην συμβαίνει· εὑρίσκει τις καθ' ὁδὸν βαλάντιον πλῆρες νομισμάτων· ὁ ἀπολέσας ἀγγέλλει τοῦτο διὰ τῶν ἐφημερίδων ὅπως ὁ εὑρὼν ἀποδῷ αὐτῷ τὸ βαλάντιον. Ὁ εὑρὼν δύναται ἀποδοῦναι αὐτὸ ἢ κρατῆσαι καὶ δαπανῆσαι τὰ χρήματα κατὰ τὰς χρείας καὶ τὰς ὀρέξεις αὐτοῦ. Περὶ τῶν δύο τούτων ἀποφάσεων τελεόν ἐστιν ἐλεύθερος, διότι ἐκ τῆς βουλήσεως αὐτοῦ ἐξήρτηται τήνδε μᾶλλον ἐκτελέσαι ἢ τήνδε. Ὁποτέραν δὲ τῶν ἀποφάσεων ἂν προτιμήσῃ, πράξει τοῦτο ἐν γνώσει ἑκουσίως καὶ ἐν πλήρει ἐλευθερίᾳ. Ἡ λαμβανομένη ὅμως ἀπόφασις οὐ γίνεται ἄνευ αἰτίων· διότι ἂν μὲν κρατήσῃ τὸ βαλάντιον ὑποχωρεῖ εἰς τὴν πλεονεξίαν· ἂν δὲ ἀποδῷ, ὑπακούει τῷ συναισθήματι τῆς τιμιότητος καὶ τῷ νόμῳ τῆς δικαιοσύνης. Πᾶσα λοιπὸν ἐλευθέρα ἀπόφασις ὑποτίθησιν αἰτίας, αἵτινες ἔχουσι ῥοπὴν (influence) ἐπὶ τῆς βουλήσεως, ἀλλ' οὐ κατ' ἀνάγκην ἐπιβάλλουσιν αὐτῇ τὴν ἀπόφασιν· ἡ ἐλευθερία τῆς ἐκλογῆς λείπεται ἀεὶ τῇ βουλήσει.

Ὁ ἄνθρωπος αἰσθάνεται ἐν ἑαυτῷ τὸ ἀκατάβλητον συναίσθημα τῆς ἰδίας αὐτοῦ δυνάμεως, ἥτις χαρακτηρίζει αὐτὸν καὶ δι' ἧς ὑποχωρεῖ ἢ ἀνθίσταται, ἀκολουθεῖ τῷδε ἢ τῷδε αἰτίῳ, ποιεῖ τοῦτο ἢ ἄλλο.

Τοιοῦτος ὁ ἁπλοῦς τύπος τῆς ἐλευθέρας ἐνεργείας ἐν τῷ ἀνθρώπῳ. Τοῦτον δὲ προεγνώριζεν ὁ Σωκράτης διατεινόμενος ὅτι οὐδεὶς πράττει τι παρὰ τὸ δόξαν βέλτιον· ἐν ἄλλαις λέξεσιν οὐχ ἡ βούλησις ἀποφασίζει, ἀλλὰ τὸ προκαλοῦν, τὸ ἕλκον αὐτὴν αἴτιον, τὸ βέλτιον. Σύμφωνος τῷ Σωκράτει ἐστὶ καὶ Λεϊβνίτιος τὰ αὐτὰ λέγων· ἔστι δὲ καὶ φιλοσοφικὴ τις αἵρεσις *le Déterminisme*[1] ἥτις ἀρνεῖται τὴν προσωπικὴν ἐλευθερίαν τοῦ ἀνθρώπου ἐπὶ τῶν ἀποφάσεων αὐτοῦ, ἀπονέμει δὲ αὐτὰς ὁλοσχερῶς τῇ δυνάμει τῶν αἰτίων[1], ἐν τῇ τάξει ἑαυτῆς κατατάσσουσα καὶ τὸν Σωκράτην καὶ Πλάτωνα.

Ἀλλὰ περὶ τούτων κατωτέρω ἔσται λόγος· νῦν δὲ ἐξετάσωμεν τὰ διάφορα εἴδη τῆς ἐλευθέρας ἐνεργείας, εἰσὶ δὲ τρία, εὐδιάκριτα.

α'. Ὁ ἄνθρωπος ἀμφίρροπος τὸ κατ' ἀρχὰς καὶ διστάζων περὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν, τελευτῶν ὑποκύπτει εἰς τὸ κακόν·

> *καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά,*
> *θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.*

Ἡ μορφὴ αὕτη ἡ συνηθεστέρα ἐστὶν ἐν τῇ ἀνθρωπίνῃ κοινωνίᾳ· ὁ Σωκράτης (ἔνθ. σελ. 206) ὁμολογεῖ ὅτι τοιαύτη ἦν ἡ κοινὴ γνώμη, κατὰ τοὺς χρόνους αὐτοῦ· «πολλούς φασι γιγνώσκοντας τὰ βέλτιστα οὐκ ἐθέλειν πράττειν, ἐξὸν αὐτοῖς, ἀλλ' ἄλλα πράττειν». Καὶ ὁ Ἀριστοτέλης (σελ. 209)· «ἀκρατεῖς γάρ εἰσιν ἄνθρωποι, καὶ αὐτοὶ εἰδότες ὅτι φαῦλα, ὅμως ταῦτα πράττουσι». Πρὸς ταύτην τὴν κοινὴν γνώμην ἀντιστρατεύεται ὁ Σωκράτης, ὡς γινώσκομεν ἤδη, μέχρι παραδοξολογίας διισχυριζόμενος ὅτι *οὐδεὶς ἑκὼν κακός*· ὥστε κατὰ τὸ Σωκρατικὸν ἀξίωμα, λέγει ὁ Αἰμίλιος Saisset, καὶ οἱ μοχθηρότατοι τῶν κακούργων ἔσονται ἀθῷοι καὶ ἀνεύθυνοι, ὡς ἄκοντες κακουργήσαντες· οὔτε δὲ ἀρετὴ οὔτε κακία οὔτε εὐθύνη ὑπάρξει· ἂν δὲ τὸ ἀξίωμα ἐφαρμοσθῇ καὶ κατὰ γράμμα, ἄξει κατ' εὐθεῖαν εἰς τὴν ἄρνησιν τοῦ αὐτεξουσίου.

β'. Ὁ ἄνθρωπος ἀντιτάσσει πάλιν μακρὰν καὶ ἐπίμοχθον κατὰ τῶν πονηρῶν κλίσεων καὶ ἐξωτερικῶν πειρασμῶν καὶ ἐπὶ τέλους ὑπερισχύει καὶ θριαμβεύει· αὕτη ἡ μορφὴ τῆς ἐλευθέρας ἐνεργείας τακτικὴ ἐστι καὶ κανονική· ταύτην δὲ καὶ πάντες οἱ ποιηταὶ ἐξύμνησαν, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς ἔμπροσθεν. Ὅταν τις εἰς τοιοῦτον ἀνέλθῃ ἠθικὸν ὕψος, ὥστε ἐν τῷ βίῳ αὐτοῦ τὴν μὲν πτῶσιν εἶναι ἐξαίρεσιν, τὴν δὲ ἀρετὴν κανόνα, φαίνεται ὅτι ἡ ἀνθρωπίνη φύσις εἰς τὴν τελειότητα προήχθη, ἧς ἐπιδεκτικὴ ἐστιν.

γ'. Ἀλλ' ὑπεράνω τῆς τακτικῆς ἐκπληρώσεως τοῦ καθήκοντος καὶ τοῦ ἐπιμόχθου θριάμβου τῆς ἀρετῆς ὑπάρχει εἶδος ἐνεργητικώτερον, ἀγνότερον καὶ τελειότερον. Ἔστιν ἡ ἕξις τοῦ

1) Πῶς ἐξελληνιστέον τὸν φιλοσοφικὸν τοῦτον ὅρον; Ὁ Ὠριγένης ἐν τῷ περὶ προσευχῆς (κεφ. ζ') λόγον ποιούμενος περὶ τῶν προκαλουσῶν τὴν βούλησιν αἰτιῶν μεταχειρίζεται τὴν λέξιν *ῥεπτικόν*. «Καίτοι γέ ἐστιν εἰπεῖν περὶ τῶν ἐπὶ γῆς, ὅτι τοιαίδε τινὲς προγενόμεναι ἐκ τῶν περιεστώτων φαντασίαι προκαλοῦνται τὸ ἀβέβαιον ἡμῶν ἢ τὸ ἐπὶ τὸ κρεῖττον (ἴσως χεῖρον) *ῥεπτικὸν* ἡμῶν πρὸς τὸ ποιῆσαι ἢ εἰπεῖν τάδε τινὰ ἢ τάδε». Τὸ ῥῆμα *ῥέπω* αὐτοπαθές ἐστι καὶ ἐνεργητικόν. Ὁ Πλάτων λέγει που, «διστάζοντί μοι ἔρρεψε δεῦν» = ἀπεφασίσθη ὅτι πρέπει. Τὸ δὲ *ῥεπτικόν*, ἐνεργητικῶς λαμβανόμενον, σημαίνει τὸ προκαλοῦν αἴτιον καὶ ποιοῦν τὴν βούλησιν τόδε ἢ τόδε πρᾶξαι· ὥστε τὸ *ῥεπτικὸν* δύναται σημαίνειν καὶ τὸ σύστημα καθόλου, *le Déterminisme*, πλὴν εἰ μή τις βούλοιτο τὴν βάρβαρον δημιουργῆσαι λέξιν *ῥεπτικισμόν*.

1) Ὁ πολὺς καὶ ἀκάματος Fouillée καὶ ἴδιον συνέγραψε βιβλίον, *La Liberté et le Déterminisme*, ἐν ᾧ πειρᾶται τὰ ἀντιμαχόμενα συνδιαλλάξαι.

πράττειν τὸ ἀγαθὸν ἄνευ πάλης, καθιστᾶτα εὔκολον καὶ εὐφρόσυνον καὶ αὐτὴν τὴν θυσίαν. Ἐν ἄλλαις λέξεσιν, ὑπεράνω τῆς ἀρετῆς ὑπάρχει ὁ ἡρωϊσμὸς καὶ ἐπὶ τὸ χριστιανικώτερον ἡ ἁγιότης. Εἰσὶ ψυχαί τινες οὕτως εὖ πεφυκυῖαι ὑπὸ τῆς θείας προνοίας, ὥστε ἡ ἀρετὴ ἔστιν αὐταῖς φυσική· αἱ δὲ κλίσεις αὐτῶν τοσοῦτον ἀγναί, εὐγενεῖς καὶ εὐθεῖαι, ὥστε ἄνευ ἀγῶνός τινος αὐτομάτως φέρονται πρὸς τὸ ἀγαθόν. Ὁρμή τις ἔμφυτος ἄγει αὐτὰς πρὸς πᾶν ὅπερ καλόν, ἁγνόν, ὑψηλόν, ἁρμονικόν. Αἱ ψυχαὶ αὗται ἐν διηνεκεῖ ζῶσιν ἀθωότητι, μόλις τὸ κακὸν γινώσκουσαι, καὶ οὔτε ἀνὰ μέσον τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ κυμαίνονται, οὔτε ἐκλέγουσιν, οὔτε ὁρῶσι τὸ κακόν, ἀλλὰ μόνον τὸ ἀγαθόν. Ὁρᾶν δὲ τὸ ἀγαθὸν καὶ πράττειν αὐτὸ ἓν καὶ τὸ αὐτό ἐστιν αὐταῖς. (Ém. Saisset).

Ἀλλ' ἡ κατάστασις αὕτη οὐκ ἐγένετο ὑπὲρ τοῦ ἀνθρώπου· ἔστιν ἰδανικόν, πρὸς ὃ ἀεὶ τείνει καὶ ἐνίοτε προσεγγίζει, ἀλλ' οὐδέποτε οὐδαμῶς αὐτοῦ ἐφικνούμενος· βραχύ τι τοῦ ἀνθρωπίνου γένους προσεγγίζει, λέγει ὁ Πλάτων· τὸ ἰδανικὸν τοῦτό ἐστιν ἡ θεία ἐλευθερία.

Ὁ Σωκράτης ἐκ τῶν τριῶν τούτων καταστάσεων τῆς ἐλευθέρας ἐνεργείας τοῦ ἀνθρώπου τὴν τρίτην κυρίως ὑπέλαβεν ὡς οἰκείαν τῇ ἀνθρωπίνῃ φύσει, καὶ ταύτην ἐκήρυξεν ἀληθινὸν ὁδηγὸν καὶ κανόνα τοῦ βίου. Βεβαίως εἰς πλάνην ὑπέπεσε, τὴν ἐξαίρεσιν ἐκλαβὼν ὡς κανόνα, τὰς δὲ ἄλλας δύο καταστάσεις μὴ λαβὼν ὑπ' ὄψει. Ἀλλ' ὁμολογητέον ὅτι ἡ πλάνη αὕτη τιμᾷ αὐτὸν μεγάλως, ἐκ τῆς ὑψηλῆς προελθοῦσα ἰδέας, ἣν εἶχε περὶ τῆς ἀνθρωπίνης ψυχῆς, ὑπολαμβάνων αὐτὴν ἱκανὴν τῷ Θεῷ ἐξομοιωθῆναι (ἴδ. § 49 σελ. 203—204), διότι καὶ αὕτη κατὰ τὴν Ἀναξαγόρειον ἀρχὴν νοῦς ἐστιν, ἐν ᾧ, ὡς ἐν τῷ Θείῳ, ἡ Θέλησις καὶ τὸ αὐτεξούσιον ἔνεισιν· ὡς δ' ἐν τῷ Θείῳ νῷ ἡ ἐπιστήμη τοῦ ἀγαθοῦ, ἡ ἔφεσις αὐτοῦ, ἡ ἐνέργεια ταὐτόχρονά εἰσι καὶ ἀχώριστα, οὕτω δύνανται ὁμοχρόνως γενέσθαι καὶ ἐν τῷ ἀνθρωπίνῳ νῷ ἡ γνῶσις τοῦ ἀγαθοῦ, ἡ ἔφεσις αὐτοῦ, ἡ ἐνέργεια τῆς θελήσεως πρὸς πρᾶξιν αὐτοῦ. Ἐν τοιαύτῃ καταστάσει, διότι ἐξέλιπον ἡ πάλη, οἱ ἀγῶνες, αἱ σκέψεις, οἱ δισταγμοὶ τῆς βουλήσεως περὶ τὴν ἐκλογήν, ἀναιρεῖται ἡ ἐλευθέρα ἐνέργεια τοῦ ἀνθρώπου; οὐδαμῶς· ἀλλὰ τοὐναντίον ὁ ἄνθρωπος ἐν τοιαύτῃ καταστάσει εἰς τὸ ὕψιστον ἀνέρχεται τῆς ἐλευθέρας ἐνεργείας σημεῖον· ὁ Θεὸς ἀμοιρεῖ τοῦ αὐτεξουσίου, τοῦ αὐτοκρατοῦς, ὡς φησιν Ἀναξαγόρας, διότι φύσει ὢν ἀγαθὸς ἢ μᾶλλον αὐτὸ τὸ ἀγαθὸν οὐδὲν ἄλλο δύναται νοεῖν καὶ ἐθέλειν ἢ τὸ ἀγαθόν; Καὶ ἡ ἑτέρα δὲ αἰτία τῆς ἀποπλανήσεως τοῦ Σωκράτους ἦν μάλα γενναία· διότι ἐκ τῶν ἰδίων ἔκρινε καὶ περὶ τῶν ἄλλων ἀνθρώπων, νομίζων ὅτι δύνανται τῆς τελειότητος ἐφικέσθαι, φωτιζόμενοι ὑπὸ τοῦ λόγου, καὶ τῆς ἐπιστήμης τοῦ ἀγαθοῦ γινόμενοι κάτοχοι[1].

Ὁ Σωκράτης ἀεὶ τοῦ βίου αὐτοῦ κανόνα εἶχε τὸν ὀρθὸν λόγον, ἢ ὡς αὐτὸς λέγει ἐν τῷ Κρίτωνι, *«ὅ,τι ὁ λόγος αἱρεῖ καὶ ἡ ἀλήθεια»*· αἱ πράξεις αὐτοῦ ἦσαν ἀεὶ ἐν ἁρμονίᾳ τοῖς λόγοις· οὐδέποτε ἔπραξέ τι ἀντιβαῖνον τῷ ὀρθῷ λόγῳ, ἀλλὰ πάντοτε τὸ καλὸν καὶ τὸ πρέπον, ἕτοιμος καὶ αὐτὴν αὐτοῦ τὴν ζωὴν προσενεγκεῖν ὁλοκαύτωμα χάριν αὐτῶν· ὁ θεωρητικὸς αὐτοῦ βίος ἑρμηνεύει τὸν πρακτικόν, καὶ ὁ πρακτικὸς τὸν θεωρητικόν, ὡς ὁ νοῦς ἀγάλλεται θεωρῶν τὸ ἀγαθόν, ἀγάλλεται δὲ καὶ πράττων αὐτό. Ὁ Ἀέχης ἐν τῷ ὁμωνύμῳ διαλόγῳ τοῦ Πλάτωνος λέγει, ὑπ' ὄψει ἔχων τὸν Σωκράτην· «Ὅταν μὲν γὰρ ἀκούω ἀνδρὸς περὶ ἀρετῆς διαλεγομένου ἢ περί τινος σοφίας ὡς ἀληθοῦς ὄντος ἀνδρὸς καὶ ἀξίου τῶν λόγων ὧν λέγει, χαίρω ὑπερφυῶς, θεώμενος ἅμα τόν τε λέγοντα καὶ τὰ λεγόμενα, ὅτι πρέποντα ἀλλήλοις καὶ ἁρμόττοντά ἐστι· καὶ κομιδῇ μοι δοκεῖ μουσικὸς ὁ τοιοῦτος εἶναι, ἁρμονίαν καλλίστην ἡρμοσμένος οὐ λύραν καὶ παιδιᾶς ὄργανα, ἀλλὰ τῷ ὄντι ζῆν ἡρμοσμένος αὐτὸς αὑτοῦ τὸν βίον σύμφωνον τοῖς λόγοις πρὸς τὰ ἔργα»[2].

Κατὰ τὸν Σωκράτην ἡ εὐπραξία (γνῶσις τῆς ἀρετῆς, τοῦ ἀγαθοῦ καὶ ἐκτέλεσις αὐτῶν), ἔργον τοῦ ἀνθρώπου, τὸ ἄκρον ἄωτόν ἐστι τῆς εὐημερίας αὐτοῦ, ὑπερτέρα πολὺ τῆς εὐτυχίας, ἥτις ἐξ δώρων τῶν θεῶν, τῆς τύχης, περιλαμβάνουσα καὶ ἐξωτερικὰ ἀγαθά, κάλλος, πλοῦτον, ἰσχύν, δόξαν καὶ ἄλλα τοιαῦτα (Ξενοφ. Ἀπομ. Α, 6' 34. Γ, 0' 14)· «ἃ Σωκράτης πολλάκις τὴν εὐημερίαν ὡς τέλος τοῦ ἀνθρώπου παρίστησιν, ἀλλὰ σπουδαίαν ποιεῖται διάκρισιν δύο εἰδῶν εὐδαιμονίας, λέγει ὁ Fouillée· ἐκ τούτων τὸ μὲν ἔξωθεν ἔρχεται, τὸ δὲ τὰς ῥίζας αὐτοῦ ἐν τῷ βάθει ἔχει τῆς διανοητικῆς καὶ ἠθικῆς ἡμῶν ἐνεργείας· καὶ τὸ μὲν ἡ εὐτυχία ἐστί, τὸ δὲ ἡ ἀρετὴ καὶ ἡ εὐπραξία σημαίνουσα le bien faire et le bien être (εὐπραγία). «Ἑρμένου δέ τινος αὐτὸν τί δοκοίη αὐτῷ κράτιστον ἀνδρὶ ἐπιτήδευμα εἶναι, ἀπεκρίνατο εὐπραξία. Ἑρμένου δὲ πάλιν εἰ καὶ τὴν εὐτυχίαν ἐπιτήδευμα νομίζοι εἶναι. Ἤδη μέν οὖν τοὐναντίον ἔγωγ', ἔφη, τύχην καὶ πρᾶξιν ἡγοῦμαι· τὰ μὲν γὰρ μὴ ζητοῦντα ἐπιτυχεῖν τινι τῶν δεόντων εὐτυχίαν οἶμαι εἶναι, τὸ δὲ μαθόντα τε καὶ μελετήσαντά τι εὖ ποιεῖν εὐπραξίαν νομίζω, καὶ οἱ τοῦτο ἐπιτηδεύοντες δοκοῦσί μοι εὖ πράττειν· καὶ ἀρίστους δὲ καὶ θεοφιλεστάτους ἔφη εἶναι ἐν μὲν γεωργίᾳ τοὺς τὰ γεωργικὰ εὖ πράττοντας, ἐν δὲ ἰατρείᾳ τοὺς τὰ ἰατρικά, ἐν δὲ πολιτείᾳ τοὺς τὰ πολιτικά· τὸν δὲ μηδὲν εὖ πράττοντα οὔτε χρήσιμον οὐδὲν ἔφη εἶναι οὔτε θεοφιλῆ». (Ἀπομ. Γ, 0', 14—15).

»Ἀγαθὸς ἄρα ἄνθρωπος, δαήμων, χρήσιμος, εὐσεβής, θεοφιλὴς καὶ εὐδαίμων εἷς καὶ ὁ αὐτός ἐστι, κατὰ Σωκράτην· διότι τὸ καλῶς ἐπίστασθαί ἐστιν εὖ πράττειν, τὸ δὲ εὖ πράττειν καλῶς πράττειν ἅμα καὶ εὐπραγεῖν ἤτοι εὐδαιμονεῖν. Ἡ βελτίστη τῆς ψυχῆς κατάστασις ἐκ τῆς βελτίστης γεννᾶται πράξεως, αὕτη δὲ ἐκ τῆς βελτίστης μαθήσεως καὶ μελέτης τῆς διανοίας. Ὥστε πανταχοῦ τὴν αὐτὴν εὑρίσκομεν θεωρίαν καὶ τὴν αὐτὴν ὑπαγωγὴν παντὸς ἀγαθοῦ εἰς τὴν λογικὴν ἐνέργειαν.

»Τὸ χωρίον τοῦτο τοῦ Ξενοφῶντος, σαφὲς καὶ μεστὸν ἰδεῶν, ἀποκαλύπτει ἡμῖν τὴν τοῦ Σωκράτους θεωρίαν περὶ τοῦ κρατίστου ἀγαθοῦ· βλέπει ἕκαστος ἐπί τινι ὕψει τὸ ἰδανικὸν αὐτοῦ ἔθηκε. Τὸ ἀληθὲς ἀγαθόν, κατ' αὐτόν, οὐκ ἔστιν ἀγαθὸν ἔξωθεν ἐρχόμενον, τυχηρὸν καὶ ἀσταθές, ὅπερ καθ'ἑκάστην ἀπολέσαι κινδυνεύομεν· διότι οὐδέποτε ταὐτόν ἐστι τῇ τῆς ψυχῆς οὐσίᾳ· τὸ γὰρ τελειότατον ἀγαθόν ἐστιν ὅπερ αἰτία ἑαυτοῦ ἐστι, παρέχει αὐτὸ ἑαυτὸ συνειδὸς ἑαυτῷ· ἐξ οὗ τὸν χαρακτῆρα τοῦ καθόλου (de l'absolu) παρέχει. Τί ἐστιν ἀγαθὸν παθητικὸν ἔξωθεν ἐρχόμενον, καὶ οἱονεὶ ἐπιβαλλόμενον τῇ ψυχῇ; Ἔστιν ἀληθῶς τὸ τῆς ψυχῆς ἀγαθόν; Οὐδαμῶς· διότι πάντοτε χωρίς ἐστι τῆς ψυχῆς, ἀνεξάρτητόν τε αὐτῆς, μένει δὲ ἀλλότριον καὶ καθ'ἣν ὥραν αἰσθητὸν γίνεται. Ὀνομάσομεν κράτιστον ἀγαθὸν καὶ ὕψιστον τέλος τὴν τυχηρὰν ταύτην ἀπόλαυσιν ἧς γευσόμεθα, οὔτε προϊδόντες αὐτὴν οὔτε ἐθελήσαντες οὔτε παραγαγόντες οὔτε ἄξιοι αὐτῆς γενόμενοι; Τὸ ἀγαθὸν τοῦτο οὐκ ἔστιν ἐμόν, οὔτε ἡ νόησίς μού ἐστιν, οὔτε ἔργον μου. Τὸ δὲ ἀληθὲς ἀγαθὸν ἀφ' ἑαυτοῦ ἐστιν ἀγαθὸν καὶ ἐν ἑαυτῷ· ἀνήκει ἑαυτῷ, διότι αὐτὸ ἑαυτὸ ἐγέννησεν· ἔχει τὸ αὐτόματον, ὡς ἡ ἐπιστήμη, μεθ' ἧς συγχωνεύεται. Ἡ ψυχὴ μαιευτικῷ τῷ τρόπῳ τὴν ἰδίαν αὐτῆς γεννᾷ ἐπιστήμην, γεννᾷ δὲ ὡσαύτως καὶ τὴν ἰδίαν αὐτῆς εὐπραγίαν.

»Τοιοῦτον τὸ ἰδανικὸν τοῦ Σωκράτους· πῶς δὲ ἄλλως τὸ ἰδανικὸν τοῦτο τοῦ τελείου ἀγαθοῦ ἐκτελέσει ὁ ἄνθρωπος, ἢ εὐδαίμων τῇ ἐνεργείᾳ καὶ ἐπιστήμῃ αὐτοῦ γινόμενος; ἀντὶ τοῦ δέχεσθαι ἔξωθεν τὴν εὐτυχίαν, αὐτὸς τὴν ἑαυτοῦ ποιήσει εὐπραγίαν. Τοῦτο δὴ τὸ ἀγαθὸν ἐν τοῖς μυχαιτάτοις ἑδρεύσει τῆς οὐσίας αὐτοῦ, ἐν τῇ ἐνεργείᾳ καὶ ἐν τῇ διανοίᾳ αὐτοῦ, ἣ κάλλιον εἰπεῖν ἓν μετ' αὐτοῦ ποιήσει. Ὁ ἄνθρωπος ὢν ἡ πηγὴ τῆς χαρᾶς αὐτοῦ διὰ τῆς συνειδήσεως τῆς ἀρετῆς αὐτοῦ, ἔσται κάτοχος εὐπραγίας ἀναποσπάστου, προπυργίου ἀκλονήτου κατὰ τῶν ἔξωθεν ἐπερχομένων κακῶν».

Ἄξιον δὲ παρατηρήσεως, ὅτι κατὰ τὸ θρησκευτικὸν καὶ ἠθικὸν φρόνημα τῶν χρόνων ἤλλασσον καὶ αἱ λέξεις *εὐτυχία, εὐδαιμονία, εὐπραξία, εὐπραγία* τὴν σημασίαν αὐτῶν· διότι κατὰ μὲν τοὺς χρόνους τοῦ Πινδάρου, καθ' οὓς ἡ ἐνέργεια τοῦ ἀνθρώπου ἐλογίζετο μικρά, τὸ πᾶν δὲ ἦν ἡ θεία δύναμις, ἡ Τύχη καὶ αἱ Μοῖραι, *εὐπραγία* καλεῖται ἡ πρόσκαιρος εὐημερία, ἔργον τοῦ ἀνθρώπου, *εὐτυχία* δὲ *εὐδαιμονία*, ἡ μόνιμος καὶ σταθερά, δῶρον τῶν θεῶν (ἴδ. § 34, σελ. 134)· κατὰ δὲ τὴν περὶ ἀρετῆς θεωρίαν τοῦ Σωκράτους, καθ' ἣν ἡ ἐνέργεια τοῦ ἀνθρωπίνου νοῦ τὸ πᾶν ἐστιν, *εὐπραξία* μὲν καλεῖται ἡ ἀληθὴς καὶ τελεία εὐδαιμονία, ἀποκλείουσα πᾶν ἔξωθεν ἐρχόμενον ἀγαθόν, *εὐτυχία* δὲ ἡ ἐκ τῶν ἔξωθεν ἀγαθῶν εὐημερία. Ἡ εὐπραξία κατὰ Σωκράτην οὐδὲν δέχεται οὔτε παρὰ τῆς Τύχης οὔτε παρὰ τῶν Μοιρῶν, ἃς οὐδ' εἰ εἰσὶν οἶδε.

Κρίσεις τῶν νεωτέρων περὶ τῶν ἐπακολουθημάτων τῆς θεωρίας τοῦ Σωκράτους περὶ βουλήσεως καὶ ἐλευθερίας.

§ 53. Τοιοῦτον τὸ ὕψος τῶν ἠθικῶν θεωριῶν τοῦ Σωκράτους περὶ βουλήσεως καὶ ἐλευθερίας. Ἐπειδὴ δὲ αἱ ἐλλείψεις αὐτῶν ἐπακολουθή-

1) «Ὁ Σωκράτης οὐ κατενόησεν ὅτι ἡ ταὐτότης τῆς ἐπιστήμης καὶ τῆς θελήσεως ἰδανικόν ἐστιν ἐν μόνῳ τῷ Θεῷ συντετελεσμένον, ὡς ἡ ταὐτότης τοῦ ἀγαθοῦ καὶ τῆς εὐδαιμονίας». Fouillée. Διὰ τί, λέγει ὁ φιλόσοφος Vacherot, ὁ συγγραφεὺς τῆς Φιλοσοφίας τοῦ Σωκράτους οὐκ εἶπε καὶ ὅτι ἡ πλάνη αὕτη ἦν πάνυ ἀξία σοφοῦ ἀνδρός, τὴν ἀνθρωπίνην φύσιν ἐκ τῆς ἰδίας κρίνοντος, καὶ τὸ ὁρᾶν τὸ ἀγαθὸν καὶ βούλεσθαι αὐτὸ ἓν καὶ τὸ αὐτὸ ἐκλαμβάνοντος; ὁ Σωκράτης ἐστὶν ὁ πατὴρ τῆς σχολῆς τῶν ἠθικῶν φιλοσόφων, παρ' οἷς οὐδεμίαν ἔχουσι σπουδαιότητα τὰ πάθη, ἃ οὐδέποτε ἔγνωσαν, ἢ οὐκέτι γιγνώσκουσιν ἐν τῷ καιρῷ τῆς ὑψηλῆς σοφίας, καθ' ὃν τὴν ἀρετὴν διδάσκουσιν».

2) Ἴδ. Havet I, σελ. 144.

ματα συνεπάγουσι θίγοντα τῆς ὑποθέσεως τῆς ἡμετέρας πραγματείας, ἧς σκοπὸς ἡ ἀπόδειξις τῆς προόδου καὶ ὑπεροχῆς τῆς ἠθικῆς ἐλευθερίας κατὰ τῆς Εἱμαρμένης, ὀφείλομεν πρὸς συμπλήρωσιν τῶν μέχρις ἐντεῦθεν εἰρημένων (ἴδ. σελ. 203· 206—207· 209—210· 211· 212—213) καὶ ταῦτα ἐξετάσαι.

α') Ἔστι λογικὸν τὸ συμπέρασμα ὅτι ὁ Σωκράτης καταργῶν τὴν θρησκευτικὴν ἰδέαν τῆς Μοίρας τῆς Τύχης, καὶ τῆς φυσικῆς Εἱμαρμένης εἰσῆγεν ἀντ' αὐτῶν εἰς τὴν ἠθικὴν αὐτοῦ φιλοσοφίαν τὴν ἠθικὴν Ἀνάγκην, διότι ἡ γνῶσις τοῦ ἀγαθοῦ κατελάμβανε τὸν νοῦν, ἐπεβάλλετο αὐτῷ καὶ οὐκ εἶα ἄλλην ἄλλου πράγματος ἐκλογὴν ποιήσασθαι ἢ τοῦ ἀγαθοῦ, κατελάμβανε δὲ οὕτω τὴν τάξιν τῆς ἀγαθῆς τύχης καὶ τοῦ ἀγαθοῦ δαίμονος, ὡς ἡ ἄγνοια καὶ ἀμαθία ἐπιβαλλόμεναι τῷ νῷ καὶ ἀναγκάζουσαι αὐτὸν ἐκλέξαι τὸ κακὸν ὡς ἀγαθὸν ἀνεπλήρουν τὴν τάξιν τῆς Ἄτης καὶ τοῦ Ἀλάστορος καὶ τῶν ἄλλων πονηρῶν πνευμάτων; Τί διέφερε τὸ αὐτεξούσιον τῆς ἠθικῆς φιλοσοφίας ἀπὸ τοῦ αὐτεξουσίου τῆς θρησκευτικῆς φιλοσοφίας τοῦ Αἰσχύλου καὶ Πινδάρου; Τὰ ὅρια ἑκατέρων οὐκ ἦσαν στενά, ἡ δὲ δύναμις λίαν σμικρά;

β') Ἔστιν ὀρθὸν τὸ πόρισμα, ὅτι, ἐπειδὴ ἡ γνῶσις τοῦ ἀγαθοῦ, καθὸ καὶ ἡ ἄγνοια καὶ ἡ ἀμάθεια, ἐπιβάλλεται τῷ νῷ καὶ προκαλεῖ τὴν ἀπόφασιν αὐτοῦ, ἡ περὶ ἐλευθερίας θεωρία τοῦ Σωκράτους ἐστὶν εἰ μὴ ἡ μήτηρ ἀδελφὴ πρεσβυτέρα τῆς ῥεπτικῆς φιλοσοφίας (du Déterminisme);

γ') Ἔστιν ἀληθὲς τὸ πόρισμα, ὅτι ὁ Σωκράτης αὐτὸς ἑαυτῷ ἀντιφάσκει, ἔνθεν μὲν διατεινόμενος, ὅτι οὐδεὶς ἑκὼν ἀδικεῖ, ἔνθεν δὲ ἀξιῶν, ὅτι ὁ ἑκὼν ἀδικῶν ἐγγυτέρω ἐστὶ τοῦ δικαίου καὶ μᾶλλον συγγνωστέος ἢ ὁ ἄκων ἄδικος; Τὸ ζήτημα τοῦτο ὑπάθεσιν ἔχει ὁ Διάλογος τοῦ Πλάτωνος *Ἱππίας ὁ Ἐλάσσων*, καὶ τὸ δεύτερον κεφάλαιον τοῦ τετάρτου βιβλίου τῶν *Ἀπομνημονευμάτων* τοῦ Ξενοφῶντος, *πότερος ἀδικώτερός ἐστιν ὁ ἑκὼν ἑξαπατῶν ἢ ὁ ἄκων*, ὡς εἰ ἔλεγε, ποτέρα πρᾶξις ἀδικωτέρα ἐστίν, εἰ ὁ Οἰδίπους ἑκὼν ἐφόνευε τὸν πατέρα αὐτοῦ καὶ ἐνυμφεύετο τὴν μητέρα αὐτοῦ, ἢ ἄκων ἐξ ἀγνοίας, ὡς ἔπρεξεν, ἐφ' ᾧ καὶ κηρύττει ἑαυτὸν ἀθῶον· (ἴδ. § 44, σελ. 172).

Οὔτε τῷ Σωκράτει, οὔτε τῷ Πλάτωνι οὔτε τῷ Ἀριστοτέλει ἐπῆλθε τῷ νῷ πρὸς τὴν ἀρχὴν τοῦ Ἀναξαγόρου, τὸν *Νοῦν*, ἀντιτάξαι τὴν *Θέλησιν*, ὡς ἀρχὴν καὶ ἐλευθέραν αἰτίαν, ἴσην τῇ δυνάμει τῷ νῷ ἢ καὶ ὑπερτέραν αὐτοῦ, ὡς ἐποίησεν ὁ Καρτέσιος, ὃς μετὰ τόλμης τὸ ἐνιαῖον διέλυσε τοῦ βούλεσθαι καὶ γινώσκειν, τῆς θελήσεως καὶ νοήσεως τῶν Σωκρατικῶν. Ἡ διανοητικὴ καὶ ἡ ἠθικὴ διαλεκτικὴ συγχωνευθεῖσαι ὑπὸ Σωκράτους ἀπεχωρίσθησαν ὑπὸ τοῦ Καρτεσίου. Ἡ θέλησις οὐκέτι εὐπειθῶς ἐν τοῖς ὁρίοις ἵσταται τῆς νοήσεως, οὐδὲ ἡ τάξις τῶν πράξεων κατ' ἀνάγκην τῇ τῶν ἰδεῶν συναρμόζεται τάξει· διότι ἡ νόησις πεπερασμένη ἐστὶ καὶ παθητική, ἡ δὲ θέλησις ἄπειρος καὶ ἐνεργός, οὐδ' ἡ ἐνέργεια αὐτῆς λήγει ὅπου τὸ τῆς νοήσεως βλέμμα τελευτᾷ, ἀλλὰ καὶ περαιτέρω βαίνει. Ὁ Καρτέσιος οὐ παύεται λέγων ὅτι ἡ πλάνη ἐλευθέρα ἐστί, καίπερ μετὰ τῶν Σωκρατικῶν ὁμολογῶν, ὅτι πᾶν ἁμάρτημα πλάνη ἐστὶν ἐξ ἀγνοίας προερχομένη· *nemo peccans nisi ignorans*.

Ἡ δὲ νέα φιλοσοφία μετὰ τὸν Κάντιον καὶ Maine de Biran ἐξετάσασα μετὰ τῶν Σωκρατικῶν τὸ κατ' ἀρχὰς τὴν πρώτην ἀρχὴν ἐν τῇ νοήσει καὶ ταῖς ἀνάγκαις αὐτῆς, ἐπελάβετο ὕστερον ἐρευνῆσαι αὐτὴν ἐν τῇ θελήσει καὶ τῇ ἐλευθερίᾳ αὐτῆς. Ὥστε ἡ νόησις οὐκέτι ἄλλο τι ἔσται ἢ ἀπαύγασμα τῆς θελήσεως, ἡ δὲ ἀνάγκη σχέσις τις ὅλως ἐξωτερικὴ φανήσεται τῶν ἐλευθεριῶν πρὸς ἀλλήλας, αἵτινες ἡ κρηπὶς εἰσι τῆς ὑπάρξεως. (Ἴδ. Fouillée *Philosophie de Socrate* II, σελ. 507—508).

Τοιαύτην εὑρεῖαν ἐλευθερίαν τῆς θελήσεως βεβαίως οὐ ζητητέον ἐν τῇ τοῦ Σωκράτους ἠθικῇ φιλοσοφίᾳ, ὡς οὐδὲ ἐν τῇ τοῦ Πλάτωνος καὶ Ἀριστοτέλους[1]· ἀλλὰ τοῦτο οὐκ ἔστιν ἰσχυρὸς λόγος, ὅπως καὶ ὃ ἔχουσιν ἀποστερήσῃ τις αὐτούς. Οἱ πλεῖστοι τῶν νεωτέρων φρονοῦσιν ὅτι ἡ περὶ θελήσεως θεωρία τοῦ Σωκράτους φέρει εἰς τὴν ἄρνησιν τοῦ αὐτεξουσίου· ἀλλ' ἐν μέρει μόνον, διότι ἡ γνῶσις τοῦ ἀγαθοῦ οὐ βίᾳ ἐπιβάλλεται τῷ νῷ οὐδ' ἀποστερεῖ αὐτὸν τῆς ἐλευθέρας θελήσεως (ἴδ. σελ. 210)· ὁ Ch. Lévêque *La liberté selon les principaux philosophes Grecs* ὑπολαμβάνει, ὅτι ὁ Σωκράτης φαίνεται μὴ συνιδὼν τὰ σπουδαῖα τῆς θεωρίας αὐτοῦ ἀποτελέσματα, διότι ἄλλως ἔμελλεν ἀποκρούσειν αὐτά. «Socrate ne semble pas avoir aperçu ces conséquences, qu'il eût repoussées»· ὁ δὲ Fouillée ὑποστηρίζει ὅτι ὁ

1) Περὶ τῆς ἐλευθερίας τῆς θελήσεως κατὰ Πλάτωνα καὶ Ἀριστοτέλη ἴδ. Zeller *Philosophie der Griechen* II, 1, σελ. 718—720· καὶ II, 2, σελ. 585—588.

Σωκράτης ἐν γνώσει πρὸς τοὺς ὑποστηρίζοντας τὸ αὐτεξούσιον ἀντεμάχετο (ἴδ. σελ. 206)· ὁ Σωκράτης ὅμως ὅλως διαφέρει τῶν ἄλλων τῶν μὴ παραδεχομένων ἐν τῷ ἀνθρώπῳ αὐτεξούσιον· διότι οὗτοι μὲν καταπολεμοῦσι τὴν ἀρχὴν τῆς ἠθικῆς ἐλευθερίας τοῦ ἀνθρώπου ἐν παντὶ βαθμῷ· ὁ δὲ Σωκράτης τὴν ἀρχὴν τῆς ἠθικῆς ἐλευθερίας ἀναγνωρίζει καὶ τίθησιν αὐτὴν ὑπεράνω τῶν παθῶν· διότι ὁ νοῦς, ὅταν κάτοχος ᾖ τῆς ἐπιστήμης τοῦ ἀγαθοῦ, ἐλεύθερός ἐστι καὶ αὐτεξούσιος· ἡ γνῶσις ἄρα τοῦ ἀγαθοῦ οὐκ ἐπιβάλλεται τῷ νῷ ὡς ἀνάγκη, οὐδ' ἀποστερεῖ αὐτὸν τῆς ἐλευθέρας θελήσεως· μόνον δὲ ὅταν ὁ νοῦς ἐσκοτισμένος ᾖ ὑπὸ τῆς ἀμαθείας, ἀναγκάζεται πράττειν τὸ κακὸν ἄκων, διότι πράττει αὐτὸ νομίζων ἀγαθὸν εἶναι· καὶ κατὰ τοῦτο μόνον φαίνεται ἀρνούμενος τὸ αὐτεξούσιον καὶ συμφωνῶν τοῖς ῥεπτικοῖς φιλοσόφοις (Déterministes)· ἀλλὰ κατὰ τὰς ἀρχὰς παρασάγγας ὅλους ἀπ' ἀλλήλων ἀπέχουσι, καὶ δικαίως ὁ Lévêque φρονεῖ ὅτι ὁ Σωκράτης ἔμελλεν ἀποκρούσειν τὰ πορίσματα τῆς θεωρίας αὐτοῦ, εἰ ταῦτα ἐγίνωσκεν· ὁ δὲ συγγραφεὺς τῆς φιλοσοφίας τοῦ Σωκράτους μετὰ πολλῆς λεπτολογίας ἀναπτύσσει καὶ ἑρμηνεύει τὴν περὶ θελήσεως θεωρίαν τοῦ Σωκράτους κατατάσσων αὐτὸν ἐν τοῖς ῥεπτικοῖς φιλοσόφοις.

«Ἡ κυρία πρωτοτυπία τοῦ Σωκράτους, φησίν, ἐν τῇ θεωρίᾳ ἐστὶ τῆς θελήσεως, πρῶτος ἐν γνώσει ὑποστηρίξας τὸ σύστημα, ὃ ἔκτοτε ἐκλήθη ῥεπτικόν (déterminisme)· ἀλλὰ τίνες οἱ ἀκριβεῖς χαρακτῆρες τοῦ Σωκρατικοῦ ῥεπτικοῦ; Πόθεν προῆλθεν, ἐκ τῆς γνώσεως τῶν ποιητικῶν αἰτίων ἢ ἐκ τῆς τῶν τελικῶν;

»Πιστεύειν, ὅτι αἱ ἡμέτεραι πράξεις ὑπὸ συμπλοκῆς παράγονται ποιητικῶν αἰτίων, μηχανικῶν ἢ φυσικῶν (κατὰ τὴν ἀρχαίαν τῆς λέξεως ἔννοιαν), τοῦτό ἐστιν ἀληθὴς ἀνάγκη, οἵαν εὑρίσκει τις ἐν τῇ μηχανικῇ φιλοσοφίᾳ τοῦ Δημοκρίτου λόχου χάριν· καὶ τοῦτό ἐστιν ὁ πρῶτος καὶ ἐλάχιστος βαθμὸς τῆς νοήσεως.

»Τῆς δὲ ἑτέρας θεωρίας, ἥ γε ὁ δεύτερος ἐστὶν ὁ Σωκράτης. Ἡ θεωρία αὕτη τὴν ἑκουσίαν ἀπόφασιν ὑπολαμβάνει οὐχ ὡς μηχανικὸν ἀποτέλεσμα τῶν ἔξωθεν αἰτίων, ἀλλ' ὡς νοερὰν ἐκλογὴν τοῦ βελτίονος. Κατ' αὐτὴν τὸ ἀγαθὸν ἀναντιῤῥήτως παντοδύναμόν ἐστιν, ἀλλ' ἡ παντοδυναμία αὕτη ὅλως ἐνεργετικὴ ἐστι· διότι τὸ ἀγαθὸν ἐνεργεῖ, ὁρώμενον τῷ νῷ, διὰ μόνου τοῦ κάλλους αὐτοῦ, οὐχὶ δὲ διὰ τῆς βίας τῇ ψυχῇ ἐπιβαλλόμενον.

»Ἐκ τούτων δῆλον ὅτι μέγα χάσμα ἐστὶν ἀνὰ μέσον τῆς νοερᾶς ταύτης θεωρίας καὶ τῆς ὁλοκρατικῆς ἀνάγκης (fatalisme matérialiste)· διότι ἐν ταύτῃ μὲν προορισμός τίς ἐστι (prédéterminisme), προηγούμενος τῆς πράξεως, ὡς ἡ αἰτία προηγεῖται τοῦ ἀποτελέσματος, ἐν ἐκείνῃ δὲ ὡς τέλος, ὡς σκοπὸς ἰδανικὸς πρὸς ὃν τείνομεν, οὐχ ὡς προϋπάρχουσα αἰτία ὠθοῦσα ἡμᾶς· κεῖται πρὸ ἡμῶν καὶ καλεῖ ἡμᾶς, οὐκ ὄπισθεν ἡμῶν, ὡς φυσικὴ δύναμις ἕλκουσα.

»Ἡ ἀπόφασις τῆς ἐνεργείας μεταβάλλει οὕτω χαρακτῆρα· διότι ἐν μὲν τῇ μοιραίᾳ ἀνάγκῃ τῶν φυσικῶν αἰτίων οὐδὲν ἔχει αὕτη τὸ αὐτόματον, ἀποτέλεσμα οὖσα τῆς ἐξωτερικῆς αἰτίας, καταναγκασμὸς ἔξωθεν ἐρχόμενος· ἐν δὲ τῇ Σωκρατικῇ θεωρίᾳ τὸ αὐτόματον τῆς πράξεως ὑπάρχει ἐνώπιον τοῦ λογικοῦ τέλους. Τὸ ὂν ποιεῖ αὐτὸ ἑαυτὸ ῥέπειν κανονικῶς ἐν ἀμετακινήτῳ τάξει καὶ ἐν βεβαίᾳ διευθύνσει· ἀλλὰ τέλος αὐτὸ ἑαυτὸ πείθει καὶ ἀποφασίζει, διότι ἀεὶ ὑπάρχει ἐκλογὴ τοῦ βελτίονος· τὸ εἶδος ὅμως τοῦτο τῆς ἐκλογῆς νοερὸν μᾶλλόν ἐστιν ἢ ἑκούσιον (ἴδ. σελ. 204).

»Τὸ μοιραῖον τῶν αἰτίων γεννήσει τὴν μαθηματικὴν ἀνάγκην τῆς πράξεως, καθ' ἣν τὸ ἐναντίον ἀδύνατον ἀποβαίνει· κατὰ δὲ τὴν θεωρίαν τοῦ Σωκράτους καὶ Πλάτωνος ἀληθὴς ἀνάγκη οὐκ ἔστιν, ἀλλ' ἁπλῆ βεβαιότης· ἐν παντὶ ἐκλέγω τὸ βέλτιον οὐ μοιραίως, ἀλλὰ βεβαίως· οὕτω τὸ ἐναντίον τῆς πράξεως, καθ' ἑαυτὸ καὶ λογικῶς, δυνατόν ἐστι, ἀλλ' οὐδέποτε πραγματικὸν ἔσται· οὐδέποτε ὁ κατέχων ὁλοσχερῶς τὴν ἀλήθειαν ἐρεῖ ψεῦδος, καίπερ δυνατόν ἐστι τοῦτο συμβῆναι, οὐδ' ὁ ἀληθῶς καὶ τελέως τί ἐστι δικαιοσύνη ἐπιστάμενος πράξει τὴν ἀδικίαν· ὁ Σωκράτης ὅλως ἐμάχετο πρὸς τοὺς φρονοῦντας ὅτι ἦν δυνατὸν εἶναί τινα ἐν γνώσει ἄδικον. Κατὰ τὴν Σωκρατικὴν λοιπὸν θεωρίαν δύο εἰσὶ λογικῶς δυνατὰ πρᾶξαι, τὸ δίκαιον ἢ τὸ ἄδικον, μία ὅμως πραγματικὴ πρᾶξις πρὸς τὸ αὐτὸν τέλος διευθυνομένη, ἡ πρᾶξις τοῦ δικαίου.

»Ἐξετάσωμεν νῦν τὸ τέλος καὶ ἴδωμεν πῶς ἐνεργεῖ. Ὁ Ἀριστοτέλης ὅταν τὴν ἐνέργειαν τοῦ ἀγαθοῦ ἐν τῇ ἕξει[1] περιορίζῃ, ἀναπτύσσει καὶ

1) Κατὰ Ἀριστοτέλη, ὁ Νοῦς (ὁ Θεὸς) ἀκίνητός ἐστι κινῶν τὸν κόσμον διὰ τῆς πρὸς ἑαυτὸν ἕλξεως· «ἕλξει τι ὃ οὐ κινούμενον κινεῖ, ἀΐδιον καὶ οὐσία καὶ ἐνέργεια οὖσα». (Μετὰ τὰ Φυσ. ΙΑ, ζ', 1). Τοῦτο δὲ ὁ Νοῦς ἐστιν· «αὐτὸν δὲ νοεῖ ὁ νοῦς κατὰ μετάληψιν τοῦ νοητοῦ· νοητὸς γὰρ γίγνεται θιγγά-

ἐπὶ πᾶσαν ἐκτείνει τὴν οἰκουμένην τὴν μεγάλην Σωκρατικὴν καὶ Πλατωνικὴν σύλληψιν. Τὸ ἀγαθὸν ἅμα ἐμφανιζόμενον νικᾷ, ἀποκλυπτόμενον ἐνεργεῖ· ὁ νοῦς νοεῖ αὐτὸ καὶ θηρεύει, αὐτὸ δὲ ἀμετακίνητον μένει ἐν τῇ αἰωνίᾳ αὐτοῦ μακαριότητι· ἡ κίνησις ἐν ἡμῖν ἐστιν, ἡμεῖς ἐγείρομεν αὐτήν, ἡμεῖς βουλόμεθα κατὰ τρόπον ῥητικὸν βεβαίως (dans un sens déterminé), ἀλλὰ τοῦτο οὐκ ἀποκλείει τὸ αὐτόματον. Ἡ ἔλξις αὕτη τοῦ ἀγαθοῦ τοσούτῳ μᾶλλον ἀκαταμάχητός ἐστιν, ὅσῳ ἔλασσον βιάζει. Τὸ ὂν ὑποχωροῦν ὑποχωρεῖ εἰς ὅ,τι ἔχει ἐν ἑαυτῷ ἐνδομυχώτατον καὶ συστατικώτατον τῆς ὑπάρξεως αὐτοῦ. Ἡ νίκη αὕτη τερπνοτάτη ἐστί, διότι οὐκ ἔστιν ὁ κτηνώδης ὁρισμὸς τῆς ἰσχύος, ἀλλ' ὁ καταληπτὸς καὶ παραδεκτὸς ὁρισμὸς τοῦ νοεροῦ ἔρωτος· ὅταν ὕστερον οἱ θεολόγοι τὴν χάριν πρὸς τέρψιν νικηφόρον παραβάλωσι, λανθάνουσιν εἰς τὴν τοῦ Σωκράτους καὶ Πλάτωνος καὶ Ἀριστοτέλους θεωρίαν ἐπάνερχόμενοι.

»Ἐν τῇ θεωρίᾳ ταύτῃ, ὅσῳ ἂν ᾖ ἀτελής, ἡ ἀνθρωπεία ψυχὴ οὐδαμῶς ἐξευτελίζεται, ὡς ἐν τῇ μηχανικῇ, ἀλλὰ μᾶλλον ἀνυψοῦται, καίτοι οὔπω ἀρκούντως· ὁ ἄνθρωπος θεωρεῖται ὅτι ἀεὶ τὸ βέλτιον ζητεῖ, ὅτι φύσει ἀγαθός ἐστι διὰ τοῦ ἀληθοῦς ἔρωτος τοῦ ἀγαθοῦ· ἔστιν ἡ ἀνθρωπότης ἐξωραϊσμένη καὶ θεοπεποιημένη· ἐν ταύτῃ ὅμως τῇ θεωρίᾳ λείπει τῷ ἀγαθῷ ἡ θεμελιωδεστάτη τῶν ἰδιοτήτων αὐτοῦ, ἡ μᾶλλον οὐχ ἡ ἰδιότης, ἀλλ' αὐτὴ ἡ οὐσία αὐτοῦ, ἡ ἐλευθέρα δῆλον ὅτι θέλησις, τὸ αὐτεξούσιον.

»Ὁ κατάλληλος ὅρος πρὸς χαρακτηρισμὸν τῆς Σωκρατικῆς θεωρίας *ἀγαθοδοξία ἐστὶν ἐν τῷ ἀνθρώπῳ* (optimisme dans l'homme). Ὁ ἄνθρωπος ὅμοιος τῷ θεῷ τοῦ Πλάτωνος, ὃς αὐτός ἐστιν ὁ θεὸς τοῦ Σωκράτους, ἀεὶ τὸ βέλτιστον ἐκλέγει, συλλαμβανόμενον ὑπὸ τοῦ νοῦ αὐτοῦ· μόνη δὲ διαφορὰ θεοῦ καὶ ἀνθρώπου ἐστίν, ὅτι ὁ μὲν θεὸς ἀναμάρτητός ἐστιν, ὁ δὲ ἄνθρωπος καθ' ἑκάστην εἰς πλάνην ὑπόκειται· ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἀδυναμίᾳ αὐτοῦ, τὸ μεγαλεῖον τῆς *φύσεως αὐτοῦ διαλάμπει*· καὶ ὅταν ὁ ἄνθρωπος πρὸς τὸ κακὸν ὁρμᾷ, ἐν τῷ βάθει τῆς ψυχῆς αὐτοῦ ὁ Σωκράτης τὴν ἀκατάσχετον ἐμβλέπει τάσιν πρὸς τὸ ἀγαθόν· ὁ ἄνθρωπος πρόνοιά ἐστι μὴ προορατικὴ πολλάκις· ἀλλ' ὁπωσδήποτε πρόνοιά ἐστι, νοεῖ τὸ βέλτιστον, ἐθέλει αὐτὸ καὶ ἐκτελεῖ αὐτό· εἰ δὲ μὴ ἐκτελεῖ αὐτό, οὐκ οἶδε τὴν πραγματικὴν ἀξίαν τῆς πράξεως αὐτοῦ· ὥστε καὶ ὅταν τις κολάζῃ τὸν ἄνθρωπον ὀφείλει οἰκτείρειν καὶ διδάσκειν αὐτόν· εἰ δὲ ὁ Σωκράτης ἤκουε τῆς φωνῆς τοῦ οἰκτιρμοῦ, *Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι*, μεγάλως ἂν ἡ καρδία αὐτοῦ συνεκινεῖτο.

»Ὁ Σωκράτης πάντας τοὺς χαρακτῆρας τῆς ἀγαθοδοξίας ἐκ τοῦ Θεοῦ εἰς τὸν ἄνθρωπον μετήνεγκε πλὴν τοῦ ἀναμαρτήτου. Διὰ τοῦτο ἡ αἵρεσις τοῦ κρατίστου οὐκ ἔστι μοιραία τις ἀνάγκη, ἀλλὰ νοερὰ ἀνάγκη, ἡ αὐτή, ἂν τις Σωκράτει καὶ Πλάτωνι πιστεύῃ, τῇ ἐλευθερίᾳ αὐτῆς· διότι ἐλευθερία κατ' αὐτούς ἐστιν ἡ ἀπαλλαγὴ ἀπὸ παντὸς μὴ ἀγαθοῦ, ἀπὸ πάσης χρείας καὶ φθόνου. Μόνος ἄρα ὁ σοφός, πάντων τούτων ἀπηλλαγμένος, ἐλεύθερός ἐστιν. Ἡ ὑπερτάτη αὕτη ἑνότης, ἐν ᾗ τὰ ἔσχατα συναντῶνται, τὰ δὲ ἐναντία ταὐτίζονται, ὁ δὲ Πλάτων ἐν τῷ *Τιμαίῳ* καὶ *Παρμενίδῃ* ἐν τῷ θεῷ ἔθηκεν αὐτήν, ἣν ἤδη ὑπὸ Σωκράτους ἐν τῷ ἀνθρώπῳ τεθειμένην. Ἡ αἵρεσις τοῦ ἀγαθοῦ ὑπὸ τοῦ σοφοῦ ἐλευθέρα ἐστί, διότι οὐδεὶς βιάζει αὐτόν, ἠθικῶς ὅμως ἀναγκαία ἐστίν· ἀλλὰ ταύτης τῆς ἀνάγκης πατὴρ αὐτὸς ὁ σοφός· ἐνὶ λόγῳ ἡ προνοητικὴ ἔλξις τῆς τελικῆς αἰτίας τὴν θέσιν τῆς τυφλῆς ὠθήσεως τῆς ποιητικῆς αἰτίας κατειλήφει. Οὕτως ἅμα τῷ Σωκράτει νέας ἐποχῆς ἀρχὴ γίνεται· τὸ κράτος, ὅπερ ὁ Πλάτων ἐκάλει ἀνάγκην, τὴν αὐτὴν οὖσαν τῇ ὕλῃ, ἐτελεύτησεν, ἐγένετο δὲ ἀρχὴ τῆς προνοούσης νοήσεως».

Τοιαύτην διασάφησιν παρέχει ἡμῖν ὁ Fouillée τῶν ἄνω τεθέντων (σελ. 210) ζητημάτων, ἣν συμπληροῖ διὰ τῶν ἑξῆς· «Ὁ Σωκράτης τὴν παντοκράτορα δύναμιν τῶν ἰδεῶν ὑποστηρίζων ἐπιλανθάνεται, ὅτι ἐν ταῖς παντοδυνάμοις ταύταις ἰδέαις, αἳ ἀφ' ἑαυτῶν τείνουσι πραγματικὴν λαβεῖν ὕπαρξιν (se réaliser), ἡ μείζονα ἔχουσα ῥοπήν, ἢ μᾶλλον ἀκατάσχετος, ἐστὶν ἡ ἰδέα τῆς ἐλευθερίας· καὶ εἰ μὴ ἦμεν ἐν τῇ ἀρχῇ ἐλεύθεροι, οὐ πρὸς τοῦτο δι' αὐτῆς τῆς δυνάμεως τῆς ἰδέας ταύτης τείνομεν; Τέκνα τῆς Εἱμαρμένης ἢ τῆς Προνοίας, εἰ μὴ τὴν ἐλευθερίαν ὄπισθεν ἡμῶν ἔχομεν, οὐκ ἔχομεν αὐτὴν πρὸ ἡμῶν; τὸ δὲ κράτος τῆς ἀνάγκης οὐ τελευτᾷ, ὅτε ἡ νόησις λαμβάνει ἀρχήν; Ἐπειδὴ ὁ Σωκράτης, τὸ γινώσκειν καὶ πράττειν οὐκ ἀποχωρίζων, ἐνόμιζεν ὅτι πράττομεν ὡς νοοῦμεν, ἠδύνατό τις ἐρωτῆσαι αὐτόν, τίνι τρόπῳ πράττομεν, ὅτε τὴν ἐλευθερίαν σκεπτόμεθα, ἐφιέμεθα αὐτῆς, φιλοῦμεν αὐτήν; οὐκ ἔστιν ἐν τούτοις *μαιευτική τις* ἀληθῶς γόνιμος, δι' ἧς ἀφ' ἡμῶν αὐτῶν ἀρυόμεθα καὶ τεκνούμεθα, πρῶτον διὰ τῆς ἰδέας τῆς ἐλευθερίας, εἶτα διὰ τῆς ἐφέσεως αὐτῆς, καὶ μάλιστα διὰ τοῦ ἔρωτος, τὴν θείαν ἐλευθερίαν ἐν τοῖς μυχαιτάτοις ἡμῶν ἐνυπολανθάνουσαν; Νοοῦντες αὐτήν, ἐφιέμενοι, φιλοῦντες οὐ καθιστάμεθα ἀεὶ μᾶλλον ὁμοειδεῖς τῷ ὑποκειμένῳ τοῦ ἡμετέρου ἔρωτος; ὡς ὁ ἥλιος ἀνατέλλων πάντα τῇ ἑαυτοῦ λάμψει φωτίζει καὶ τὴν νύκτα εἰς ἣν μεταβάλλει, οὕτω καὶ ἡ ἰδέα τῆς ἠθικῆς ἐλευθερίας ὡς ἂν ἀνατείλῃ ἐν τοῖς τελευταίοις ὁρίοις τῆς ἡμετέρας νοήσεως, ἐπέκεινα τῶν περιστοιχιζουσῶν ἡμᾶς ἀναγκῶν, φωτίζει καὶ ὑπὸ τοῦ φωτὸς αὐτῆς ἐλλαμπόμενοι μεταμορφούμεθα καὶ ἀποβαίνομεν *ἐλεύθερα*».

Περὶ δὲ τῆς ἀντιφάσεως ὅτι ὁ Σωκράτης ἔνθεν μὲν διατείνεται ὅτι οὐδεὶς ἑκὼν ἀδικεῖ, ἔνθεν δὲ ἄξιοῖ ὅτι ὁ ἑκὼν ἀδικῶν ἐγγυτέρω ἐστὶ τοῦ δικαίου, ὁ Fouillée (*Philos. de Socrate* II, σελ. 498) ἀποδείκνυσιν ὅτι αὕτη φαινομένη ἐστί· διότι ὁ Σωκράτης ἐπὶ ὑποθέσει δέχεται, ὅτι εἰσὶν ἄνθρωποι γινώσκοντες τὸ δίκαιον, πράττοντες δὲ τὸ ἄδικον, *εἴπερ ἔστι τοιοῦτος ἀνήρ*, λέγει, ὅπως διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, ὅτι ὁ δεχόμενος τοῦτο, κατ' ἀνάγκην δεχθήσεται καὶ τὸ ἕτερον, ὅτι ὁ ἑκὼν ἀδικῶν ἐγγυτέρω ἐστὶ τοῦ δικαίου, ἀποδείξῃ ἀληθὲς τὸ ἀξίωμα αὐτοῦ, ὅτι οὐδεὶς ἑκὼν ἀδικεῖ· Socrate essaye de reduire à l'absurde ceux qui croient qu'on peut mal faire tout en connaissant le souverain bien· ὁμολογητέον ὅτι τοῦτο ἦν ἐκ τῶν σοφιστικῶν ἐκείνων ἐπιχειρημάτων ἃ πρὸς ὥραν ὁ Σωκράτης παρεδέχετο καὶ μετεχειρίζετο· τοιοῦτον ἦν καὶ ὅτι ἡ ἀρετὴ οὐκ ἔστι διδακτόν, ὅπερ ὡς ἀληθὲς ὑπεστήριζε πολλάκις διαλεγόμενος πρὸς τοὺς σοφιστὰς τοὺς ἐπαγγελλομένους ὅτι διδάσκαλοι τῆς ἀρετῆς εἰσι, καὶ εἰρωνευόμενος πρὸς αὐτούς.

Παιδεία κατὰ Σωκράτην.

§ 54. Τοσαῦτα μὲν περὶ τούτων, ἐξ ὧν σαφῆ τινα λαμβάνομεν γνῶσιν περὶ τῶν ἀποτελεσμάτων τῶν ἐκ τῶν ἐλλείψεων τῶν θεωριῶν τοῦ Σωκράτους περὶ ἀρετῆς καὶ περὶ θελήσεως καὶ ἐλευθερίας, ἀλλὰ καὶ βεβαίαν πεποίθησιν ὅτι αἱ ἐλλείψεις αὗται μικραί εἰσι πρὸς τὴν μεγάλην τῶν θεωριῶν τούτων ἀξίαν παραβαλλόμεναι καὶ πρὸς τὰ ἐξ αὐτῶν ἔτι σπουδαιότερα ἀποτελέσματα. Λυπηρὸν ἀναντιρρήτως ὅτι ὁ Σωκράτης ἐν μέρει παρεγνώριζε τὸ αὐτεξούσιον διατεινόμενος, ὅτι οὐδεὶς ἑκὼν πράττει τὸ κακὸν ἀλλ' ὑπ' ἀμαθείας καὶ ἀγνοίας, ἐκλαμβάνων αὐτὸ ὡς ἀγαθόν. Ἀλλ' ὅσον μικρὸν φαίνεται τοῦτο, ὅταν ἀναλογισθῇ τις, ὅτι ὁ Σωκράτης πηγὴν τοῦ κακοῦ θεωρῶν τὴν ἄγνοιαν, καὶ ἀμάθειαν ἐκήρυξε κατ' αὐτῶν ἄσπονδον πόλεμον, καὶ τεσσαράκοντα ἔτη καθ' ἑκάστην ἀπὸ πρωΐας μέχρις ἑσπέρας ἐδίδασκεν ἀκαμάτως δωρεὰν ἀστούς τε καὶ ξένους, νέους καὶ ἄνδρας, τὴν σοφίαν καὶ τὴν ἐπιστήμην τοῦ ἀγαθοῦ!

Ἐνταῦθα ἁρμόδιον κρίνομεν ὀλίγα τινὰ εἰπεῖν περὶ παιδείας κατὰ Σωκράτην, μέλλοντες ἐν τῇ ἱστορίᾳ τῆς ἑλληνικῆς παιδείας ἐκτενῆ ποιήσεσθαι λόγον περὶ τῶν παιδαγωγικῶν αὐτοῦ ἀρχῶν καὶ μεθόδων.

Ἡ διδασκαλία τοῦ Σωκράτους ἦν δημοσία καὶ ἰδία· περὶ τῆς δημοσίας λέγει ὁ Ξενοφῶν (Ἀπομν. Α, α', 10)· «Ἀλλὰ μὴν ἐκεῖνός γε ἀεὶ μὲν ἦν ἐν τῷ φανερῷ· πρῴ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ἤει καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν ὅπου πλείστοις μέλλοι συνέσεσθαι· καὶ ἔλεγε μὲν ὡς τὸ πολύ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν»[1]. Ἔλεγε δὲ ὡς ἐπὶ τὸ πλεῖστον & ἐν τῇ *Ἀπολογίᾳ* ἀναφέρει· «Ἕως ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ παύσωμαι φιλοσοφῶν καὶ ὑμῖν παρακελευόμενός τε καὶ ἐνδεικνύμενος ὅτῳ ἂν ἀεὶ ἐντυγχάνω ὑμῶν, λέγων οἷά περ εἴωθα, ὅτι, ὦ ἄριστε ἀνδρῶν, Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης καὶ εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν,* χρημάτων μὲν οὐκ αἰσχύνει ἐπιμελούμενος, ὅπως σοι ἔσται ὡς πλεῖστα, καὶ δόξης καὶ τιμῆς, φρονήσεως δὲ καὶ ἀληθείας καὶ τῆς ψυχῆς, ὅπως ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελεῖ οὐδὲ φροντίζεις; καὶ ἐάν τις ὑμῶν ἀμφισβητῇ καὶ φῇ ἐπιμελεῖσθαι, οὐκ εὐθὺς ἀφήσω αὐτὸν οὐδ' ἀπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν καὶ ἐξετάσω καὶ ἐλέγξω, καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι ἀρετήν, φάναι δέ, ὀνειδιῶ, ὅτι τὰ πλείστου ἄξια περὶ ἐλαχίστου ποιεῖται, τὰ δὲ φαυλότερα περὶ πλείονος. Ταῦτα καὶ νεωτέρῳ καὶ πρεσβυ-

νων καὶ νοῶν, ὥστε ταὐτὸν νοῦς καὶ νοητόν· αὐτὸν ἄρα νοεῖ, εἴπερ ἐστὶ τὸ κράτιστον, καὶ ἔστιν ἡ νόησις νοήσεως νόησις».

«Ἐπεὶ δὲ τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι, καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον εἶναι καθ' αὑτό, καὶ τὴν ἀΐδιον κίνησιν ὑπὸ ἀϊδίου κινεῖσθαι». Πῶς γίνεται ἡ ἀΐδιος κίνησις τοῦ κόσμου; διὰ τοῦ ἔρωτος, διὰ τῆς ἐφέσεως τοῦ νοῦ· «εἰ γὰρ ἐρᾷ ὁ κόσμος, ὡς φησι καὶ Ἀριστοτέλης, τοῦ νοῦ καὶ κινεῖται πρὸς αὐτόν, πόθεν ἔχει ταύτην τὴν ἔφεσιν;» Ἐρωτᾷ ὁ Πρόκλος ἐν Τιμαίῳ· ὁ Νοῦς, ὡς τὸ κράτιστον καὶ ἄριστον, ἐπαγωγός ἐστιν.

1) Ἴδε Grote IB, σελ. 241—243.

τέρω, ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω καὶ ξένῳ καὶ ἀστῷ, μᾶλλον δὲ τοῖς ἀστοῖς, ὅσῳ μου ἐγγυτέρω ἑστὲ γένει. . . . Οὐδὲν γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπιμελεῖσθαι μήτε χρημάτων πρότερον μηδὲ οὕτω σφόδρα, ὡς τῆς ψυχῆς, ὅπως ἀρίστη ἔσται, λέγων ὅτι οὐκ ἐκ χρημάτων ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τἆλλα ἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα καὶ ἰδίᾳ καὶ δημοσίᾳ».

Ἡ δὲ ἰδία ἦν ὡρισμένη τοῖς συνοῦσι (τοῖς μαθηταῖς) οἵτινες συνδιέτριβον αὐτῷ καὶ παρηκολούθουν καὶ ἐδείπνουν ἐν τῷ αὐτῷ φέροντες ἕκαστος ὄψον τι (Ξενοφ. Ἀπομν. Γ, ιδ', 1—6). Ὁ Ξενοφῶν (Α, δ', 1) διακρίνει τοὺς συνόντας ἀπὸ τῶν ἄλλων· «σκεψάμενοι, μὴ μόνον ἃ ἐκεῖνος κολαστηρίου ἕνεκα τοὺς πάντ' οἰομένους εἰδέναι ἐρωτῶν ἤλεγχεν, ἀλλὰ καὶ ἃ λέγων συνημέρευε τοῖς συνδιατρίβουσιν».

Ὁ κύκλος τῶν μαθημάτων ἦν περιωρισμένος· θρησκευτικὴ διδασκαλία, ἠθικὴ περιλαμβάνουσα καὶ τὴν πολιτικήν, διαλεκτική, στοιχειώδης γεωμετρία, στοιχειώδης ἀστρονομία, στοιχειώδης ἀριθμητική, ὑγιεινὴ καὶ γυμναστική. Τούτων δὲ κρηπὶς ἦν ἡ θρησκευτικὴ καὶ ἡ ἠθικὴ διδασκαλία, ἤτοι ὁ περὶ θείας προνοίας καὶ ὁ περὶ ἀρετῆς λόγος. Ἐκ τούτων τὸν μὲν θρησκευτικὸν καὶ τὸν ἠθικὸν λόγον ἐδίδασκεν αὐτός[1], τὰ δὲ ἄλλα ἄλλοι διδάσκαλοι πρὸς οὓς ἦγε τοὺς συνόντας[2]. Οἱ νέοι προσήρχοντο τῷ Σωκράτει μετὰ τὴν ἀποφοίτησιν αὐτῶν ἀπὸ τῶν σχολῶν τῶν γραμματικῶν καὶ κιθαριστῶν. Πρῶτον δὲ μέλημα τοῦ Σωκράτους ἦν ἡ ἐξέτασις τῆς φύσεως ἑκάστου τῶν μαθητῶν καὶ τί ἕκαστος αὐτῶν οἶδε· διότι κατὰ τὰς φύσεις καὶ τὰς γνώσεις αὐτῶν διηύθυνε τὴν διδασκαλίαν αὐτοῦ· μεγάλως δὲ ἐφρόντιζε καὶ ἐπεμελεῖτο τῶν ἀγαθῶν φύσεων, διότι αὗται παιδευόμεναι γίνονται μεγίστων ἀγαθῶν πρόξενοι.

Καὶ περὶ τούτων πληροφορίας ἡμῖν δίδωσιν ὁ Ξενοφῶν ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ τετάρτου Βιβλίου τῶν *Ἀπομνημονευμάτων* λέγων· «Ἐτεκμαίρετο δὲ τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχύ τε μανθάνειν οἷς προσέχειεν καὶ μνημονεύειν ἃ μάθοιεν καὶ ἐπιθυμεῖν τῶν μαθημάτων πάντων δι' ὧν ἔστιν οἰκίαν τε καλῶς οἰκεῖν καὶ πόλιν καὶ τὸ ὅλον ἀνθρώποις τε καὶ τοῖς ἀνθρωπίνοις πράγμασιν εὖ χρῆσθαι· τοὺς γὰρ τοιούτους ἡγεῖτο παιδευθέντας οὐκ ἂν μόνον αὑτούς τε εὐδαίμονας εἶναι καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν, ἀλλὰ καὶ ἄλλους ἀνθρώπους καὶ πόλεις δύνασθαι εὐδαίμονας ποιεῖν»· καὶ ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ αὐτοῦ Βιβλίου· «Ὅτι δὲ καὶ αὐτάρκεις ἐν ταῖς προσηκούσαις πράξεσιν αὐτοὺς εἶναι ἐπεμελεῖτο, νῦν τοῦτο λέξω· πάντων μὲν γὰρ ὧν ἐγὼ οἶδα μάλιστα ἔμελεν αὐτῷ εἰδέναι ὅτου τις ἐπιστήμων εἴη τῶν συνόντων αὐτῷ· ὧν δὲ προσήκει ἀνδρὶ καλῷ κἀγαθῷ εἰδέναι, ὅ,τι μὲν αὐτὸς εἰδείη, πάντων προθυμότατα ἐδίδασκεν· ὅτου δὲ αὐτὸς ἀπειρότερος εἴη, πρὸς τοὺς ἐπιστημένους ἦγεν αὐτούς· ἐδίδασκε δὲ καὶ μέχρι ὅτου δέοι ἔμπειρον εἶναι ἑκάστου πράγματος τὸν ὀρθῶς πεπαιδευμένον· αὐτίκα γεωμετρίαν μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν, ἕως ἱκανός τις γένοιτο, εἴποτε δεήσειε, γῆν μέτρῳ ὀρθῶς ἢ παραλαβεῖν ἢ παραδοῦναι ἢ διανεῖμαι ἢ ἔργον ἀποδείξασθαι . . . . . Ἐκέλευε δὲ καὶ ἀστρολογίας ἔμπειρους γίγνεσθαι, καὶ ταύτης μέντοι μέχρι τῆς νυκτός τε ὥραν καὶ μηνὸς καὶ ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν ἕνεκα πορείας τε καὶ πλοῦ καὶ φυλακῆς. . . . . Ἐκέλευε δὲ καὶ λογισμοὺς μανθάνειν· καὶ τούτων δὲ ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν μάταιον πραγματείαν, μέχρι δὲ τοῦ ὠφελίμου πάντα καὶ αὐτὸς συνεσκόπει καὶ συνδιεξῄει τοῖς συνοῦσι· προὔτρεπε δὲ σφόδρα καὶ ὑγιείας ἐπιμέλεσθαι τοὺς συνόντας παρά τε τῶν εἰδότων μανθάνοντας ὁπόσα ἐνδέχοιτο καὶ ἑαυτῷ ἕκαστον προσέχοντα διὰ παντὸς τοῦ βίου τί βρῶμα ἢ τί πῶμα ἢ ποῖος πόνος συμφέρει αὐτῷ, καὶ πῶς τούτοις χρώμενος ὑγιεινότατ' ἂν διάγοι».

Τοιαύτη ἡ ἐγκύκλιος παιδεία τῶν καλῶν κἀγαθῶν κατὰ Σωκράτην· ἀποκλείει τὴν θεωρητικὴν γεωμετρίαν τε καὶ ἀστρονομίαν καὶ ἀριθμητικὴν ὡς περιττάς, *καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν*, λέγει ὁ Ξενοφῶν· «Ὁ Σωκράτης ἐν ἑκάστῳ εἴδει μαθήματος συνεβούλευεν ὅ,τι ἦν ἀναγκαῖον τῇ ἐλευθερίῳ καὶ πολιτικῇ ἀγωγῇ. Καὶ ἡμεῖς αὐτοὶ ἐν τῇ ἐλευθερίῳ ἐκπαιδεύσει τὰ γενικὰ τῶν ἐπιστημῶν πορίσματα διδάσκομεν, ἀλλ' ὑποκείμεθα εἰς ἀμάρτημα, οὗπερ ἦν ἀπηλλαγμένος ὁ Σωκράτης, οὐδεμίαν διδάσκοντες κατὰ βάθος ἐπιστήμην τοὺς παῖδας ἡμῶν, οὐδὲ

1) Ἰδ. Grote IB, σελ. 259—300.

2) Ὁ Σωκράτης λέγει ἐν τῷ *Θεαιτήτῳ* (σελ. 151) ὅτι οὓς ἐγίνωσκε μηδενίαν ἔχοντας χρείαν τῆς διδασκαλίας αὐτοῦ, τούτους συνίστα τῷ Προδίκῳ καὶ ἄλλοις σοφοῖς· «γνοὺς ὅτι οὐδὲν ἐμοῦ δέονται, πάνυ εὐμενῶς προμνῶμαι καί, ξὺν θεῷ εἰπεῖν, πάνυ ἱκανῶς τοπάζω οἷς ἂν ξυγγενόμενοι ὄναιντο· ὧν πολλοὺς μὲν δὴ ἐξέδωκα Προδίκῳ, πολλοὺς δὲ ἄλλοις σοφοῖς τε καὶ θεσπεσίοις ἀνδράσιν».

καὶ αὐτὴν τὴν ἠθικὴν ἐπιστήμην. Τῷ Σωκράτει οὐδαμῶς ἤρεσκον γνώσεις καθόλου ἐπιπόλαιοι, ἀλλὰ κατὰ βάθος τὴν ἠθικὴν καὶ πολιτικὴν ἐδίδασκεν· οὕτω δὲ μορφοῦνται πολῖται. Τὰ ὅρια τῶν φυσικομαθηματικῶν ἐπιστημῶν ἦταν ἐν τῷ σχεδίῳ τῆς ἐλευθερίου ἀγωγῆς αὐτοῦ λίαν στενά· ἀλλὰ τὸ σχέδιον ἦν λογικόν, περιλαμβάνον εἰδικὴν καὶ βαθεῖαν μελέτην τῶν καθηκόντων καὶ καθόλου πάντων τῶν ἀνθρωπίνων πραγμάτων, λαμβάνον δὲ ἀπὸ τῶν ἄλλων ἐπιστημῶν τὰς γενικὰς ἀρχὰς αὐτῶν καὶ τὰ ἐν χρήσει ἀποτελέσματα αὐτῶν». (Fouillée).

Περὶ δὲ τῆς τάξεως ἐν τῇ διδασκαλίᾳ τῶν μαθημάτων ὡρισμένον διδακτικὸν σύστημα οὐκ εἶχεν ὁ Σωκράτης· εἶχεν ὅμως σχέδιόν τι διδασκαλίας προδιαγεγραμμένον ἐν τῷ νῷ αὐτοῦ, καθ' ὃ προῆγεῖτο ἀεὶ ἡ θρησκευτικὴ καὶ ἡ ἠθικὴ διδασκαλία· «Τὸ μὲν οὖν λεκτικοὺς καὶ πρακτικοὺς καὶ μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν, ἀλλὰ πρότερον τούτων ᾤετο χρῆναι σωφροσύνην αὐτοῖς ἐγγενέσθαι. Τοὺς γὰρ ἄνευ τοῦ σωφρονεῖν ταῦτα δυναμένους ἀδικωτέρους τε καὶ δυνατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι· πρῶτον μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν τοὺς συνόντας». (Ἀπομν. Δ, γ', 1).

Μετὰ δὲ τὴν θρησκευτικὴν καὶ ἠθικὴν διδασκαλίαν ἐπήρχετο ἡ διαλεκτική, δι' ἧς ἱκανοὺς ἐποίει τοὺς μαθητὰς εἰδέναι τί ἐστιν ἕκαστον τῶν ὄντων καὶ τοῖς ἄλλοις ἑρμηνεύειν· «Ὡς δὲ καὶ διαλεκτικωτέρους ἐποίει τοὺς συνόντας πειρῶμαι καὶ τοῦτο λέγειν· Σωκράτης γὰρ τοὺς μὲν εἰδότας τί ἕκαστον εἴη τῶν ὄντων ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι· τοὺς δὲ μὴ εἰδότας οὐδὲν ἔφη θαυμαστὸν εἶναι αὐτούς τε σφάλλεσθαι καὶ ἄλλους σφάλλειν· ὧν ἕνεκα σκοπῶν σὺν τοῖς συνοῦσι τί ἕκαστον εἴη τῶν ὄντων οὐδέποτ' ἔληγεν». (Δ, ς', 1).

Ὁ Σωκράτης τὴν καλλιέργειαν τοῦ λόγου ἐκ τῶν ὧν οὐκ ἄνευ ἐθεώρει τῷ καλῷ κἀγαθῷ ἀνδρί· «ἢ οὐκ ἐντεθύμησαι, ὅτι ὅσα τε νόμῳ μεμαθήκαμεν κάλλιστα ὄντα, δι' ὧν γε ζῆν ἐπιστάμεθα, ταῦτα πάντα διὰ λόγου ἐμάθομεν, καὶ εἴ τι ἄλλο καλὸν μανθάνει τις μάθημα, διὰ λόγου μανθάνει, καὶ οἱ ἄριστα διδάσκοντες μάλιστα λόγῳ χρῶνται καὶ οἱ τὰ σπουδαιότατα ἐπιστάμενοι κάλλιστα διαλέγονται»;

Ὁ δὲ τρόπος τῆς διδασκαλίας ἦν ἁπλοῦς[1] καὶ μαιευτικός[1], οὐκ ἐπισωρεύων ἐν τῇ ψυχῇ τῶν νέων γνώσεις περιττάς, ἀλλ' ἀσκῶν καὶ ἀναπτύσσων τὰς νοερὰς καὶ ἠθικὰς αὐτῆς δυνάμεις, ἐκκαθαίρων δὲ αὐτὰς ἀπὸ τῶν ἐξαμβλωμάτων· τὸν δὲ εἰρωνικὸν καὶ ἐλεγκτικὸν τρόπον μετεχειρίζετο τότε μόνον πρὸς ἐκείνους τῶν συνόντων κολαστηρίου ἕνεκα, ὅσοι ἐνόμιζον φύσει ἀγαθοὶ εἶναι παιδείας δὲ κατεφρόνουν, ἢ ὅσοι ἐπὶ πλούτῳ μέγα ἐφρόνουν οἰόμενοι οὐδὲν προσδεῖσθαι παιδείας, ἢ ὅσοι ἐπὶ μαθήσει καὶ σοφίᾳ ἐσεμνύνοντο (Ἀπομν. Δ, ϛ', 1). Ἀφ' οὗ δὲ διὰ τοῦ κολαστηρίου τρόπου ἀφῄρει τὴν οἴησιν τῶν νέων καὶ παρεσκεύαζε τὸν νοῦν αὐτῶν, ἔσπειρεν ὕστερον τὸν σπόρον τῆς ἀληθείας, διδάσκων ὁμαλῶς ἄνευ ἐλέγξεων τί ἐστιν ἀληθὴς χρεία τοῦ ἀνθρώπου καὶ ἐπιτήδευμα· «Ὁ δ' ὡς ἔγνω αὐτὸν (Εὐθύδημον) οὕτως ἔχοντα, ἥκιστα μὲν διετράττεν, ἁπλούστατα δὲ καὶ σαφέστατα ἐξηγεῖτο ἃ τε ἐνόμιζεν εἰδέναι δεῖν καὶ ἐπιτηδεύειν κράτιστον εἶναι». (Ξενοφ. Ἀπομν. Δ, ϛ', 40).

Μέσκ δὲ διδασκαλίας ὁ Σωκράτης ἐνίοτε μὲν μετεχειρίζετο βιβλίον τι τῶν ἀρχαίων σοφῶν, ποίημα ἢ σύγγραμμα πεζόν, ἀναγινώσκων αὐτὸ κοινῇ μετὰ τῶν φίλων καὶ ποιῶν ἢ μᾶλλον προκαλῶν τὰς δεούσας σκέψεις καὶ παρατηρήσεις, αἳ οὔτε γραμματικαὶ ἦσαν οὔτε ῥητορικαί, ὡς ἔστιν εἰκάσαι ἐξ ὧν λέγει ὁ Ξενοφῶν (Α, ς', 14)· «Καὶ τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν, οὓς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττων κοινῇ σὺν τοῖς φίλοις διέρχομαι, κἂν τι ὁρῶμεν ἀγαθόν, ἐκλεγόμεθα»· ὡς ἐπὶ τὸ πλεῖστον δὲ ἐδίδασκεν ἄνευ βιβλίου καὶ ἄνευ ὡρισμένου θέματος, ὑπόθεσιν λόγου ἐν ταῖς καθ' ἑκάστην διαλέξεσι πρὸς τοὺς συνόντας λαμβάνων πᾶσκν ἀφορμήν, ἣν θαυμασίως ἀνέπτυσσε πρὸς ἐμπέδωσιν ἠθικῆς τινος ἀληθείας, καὶ μάλιστα τοῦ *Γνῶθι σαυτόν*, ὅπερ ἦν ἡ ψυχὴ τῆς ἠθικῆς αὐτοῦ φιλοσοφίας[2]. Τούτου ἕνεκα ἀξίω

1) «Ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξῇει, διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομίζων ταύτην ἀσφάλειαν εἶναι λόγου. Τοιγαροῦν πολὺ μάλιστα ὧν ἐγὼ οἶδα, ὅτε λέγοι, τοὺς ἀκούοντας ὁμολογοῦντας παρεῖχεν. Ἁπλῶς τὴν ἑαυτοῦ γνώμην ἀπεφαίνετο Σωκράτης πρὸς τοὺς ὁμιλοῦντας αὐτῷ». Ξενοφ. Ἀπομν. Δ, γ' 1.

1) «Τῇ δέ γ' ἐμῇ τέχνῃ τῆς μαιεύσεως τὰ μὲν ἄλλα ὑπάρχει ὅσα ἐκείναις (ταῖς μαίαις), διαφέρει δὲ τῷ τε ἄνδρας ἀλλὰ μὴ γυναῖκας μαιεύεσθαι καὶ τῷ τὰς ψυχὰς αὐτῶν τικτούσας ἐπισκοπεῖν ἀλλὰ μὴ τὰ σώματα· μέγιστον δὲ τοῦτ' ἔνι τῇ ἡμετέρᾳ τέχνῃ, βασανίζειν δυνατὸν εἶναι παντὶ τρόπῳ, πότερον εἴδωλον καὶ ψεῦδος ἀποτίκτει τοῦ νέου ἡ διάνοια ἢ γόνιμόν τε καὶ ἀληθές». (Ἰδ. Grote IB, σελ. 287—290).

2) Ἰδ. Grote αὐτ. σελ. 283.

μνείας ἡ διάλεξις τοῦ Σωκράτους πρὸς τὸν Εὐθύδημον περὶ τοῦ *Γνῶθι σαυτόν*. «Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, εἰς Δελφοὺς ἦδη ποτὲ ἀφίκου; Καὶ δίς γε, νὴ Δί', ἔφη. Κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον τὸ *Γνῶθι σαυτόν*; Ἔγωγε. Πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε καὶ ἐπεχείρησας σαυτὸν ἐπισκοπεῖν ὅστις εἶης; Μὰ Δί' οὐ δῆτα, ἔφη· καὶ γὰρ δὴ πάνυ ταῦτό γε ὤμην εἰδέναι· σχολῇ γὰρ ἂν ἄλλο τι ἤδη, εἴ γε μηδ' ἐμαυτὸν ἐγίνωσκον. Πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτὸν ὅστις τοὔνομα τὸ ἑαυτοῦ μόνον οἶδεν, ἢ ὅστις, ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι οὐ πρότερον οἴονται γινώσκειν ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται πότερον εὐπειθὴς ἐστὶν ἢ δυσπειθὴς καὶ πότερον ἰσχυρὸς ἢ ἀσθενὴς καὶ πότερον ταχὺς ἢ βραδύς, καὶ τἆλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδεια τε καὶ ἀνεπιτήδεια ὅπως ἔχει, οὕτως ὁ ἑαυτὸν ἐπισκεψάμενος ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν ἔγνωκε τὴν αὑτοῦ δύναμιν; Οὕτως ἔμοιγε δοκεῖ, ἔφη, ὁ μὴ εἰδὼς τὴν αὑτοῦ δύναμιν ἀγνοεῖν ἑαυτόν.

Ἐκεῖνο δὲ οὐ φανερόν, ἔφη, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ πάσχουσιν ἄνθρωποι, διὰ δὲ τὸ ἐψεύσθαι ἑαυτῶν πλεῖστα κακά; Οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς τά τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι καὶ διαγιγνώσκουσιν ἃ τε δύνανται καὶ ἃ χρή· καὶ ἃ μὲν ἐπίστανται πράττοντες πορίζονταί τε ὧν δέονται καὶ εὖ πράττουσιν· ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι ἀναμάρτητοι γίγνονται καὶ διαφεύγουσι τὸ κακῶς πράττειν· διὰ τοῦτο δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι δοκιμάζειν καὶ διὰ τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθὰ πορίζονται καὶ τὰ κακὰ φυλάττονται· οἱ δὲ μὴ εἰδότες ἀλλὰ διεψευσμένοι τῆς ἑαυτῶν δυνάμεως, πρός τε τοὺς ἄλλους ἀνθρώπους καὶ τἆλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν οὔτε ὅ,τι πράττουσιν οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι καὶ τοῖς κακοῖς περιπίπτουσι· καὶ οἱ μὲν εἰδότες ὅ,τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν εὔδοξοί τε καὶ τίμιοι γίγνονται, καὶ οἵ τε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων ἐπιθυμοῦσι τούτους ὑπὲρ αὐτῶν βουλεύεσθαι καὶ προίστασθαι αὐτῶν τούτους, καὶ τὰς ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι, καὶ διὰ ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν· οἱ δὲ μὴ εἰδότες ὅ,τι ποιοῦσι, κακῶς δὲ αἱρούμενοι καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα καὶ καταγέλαστοι γίγνονται, καὶ καταφρονούμενοι καὶ ἀτιμαζόμενοι ζῶσιν· ὀρᾷς δὲ καὶ τῶν πόλεων ὅτι ὅσαι ἂν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν, αἱ μὲν ἀνάστατοι γίγνονται, αἱ δὲ ἐξ ἐλευθέρων δοῦλαι. Καὶ ὁ Εὐθύδημος, ὡς πάνυ δοκοῦν, ἔφη, ὦ Σώκρατες, περὶ πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν, οὕτως ἴσθι· ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτόν, τοῦτο πρός σὲ ἀποβλέπω, εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι». (Ἀπομν. Δ, ϛ', 24—31).

Καὶ ἐν τῷ *Φαίδρῳ* (σελ. 230) τοῦ Πλάτωνος ὁ Σωκράτης περὶ μύθων τινῶν ἐρωτώμενος ἀποκρίνεται· «ἐμοὶ δὲ πρὸς αὐτὰ οὐδαμῶς ἐστι σχολή· τὸ δὲ αἴτιον, ὦ φίλε, τούτου τόδε· οὐ δύναμαί πω κατὰ τὸ Δελφικὸν γράμμα *γνῶναι ἐμαυτόν*· γελοῖον δή μοι φαίνεται, τοῦτο ἔτι ἀγνοοῦντα τὰ ἀλλότρια σκοπεῖν· ὅθεν δὴ *χαίρειν* ἐάσας ταῦτα, πειθόμενος δὲ τῷ νομιζομένῳ περὶ αὐτῶν, ὃ νῦν δή ἔλεγον, σκοπῶ οὐ ταῦτα ἀλλὰ ἐμαυτόν, εἴτε τι θηρίον τυγχάνω Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον, θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον».

«Τὸ περιώνυμον τοῦτο ἀπόφθεγμα, τὸ *Γνῶθι σαυτόν*, κατὰ πολλοὺς ἡρμηνεύθη τρόπους· ἐπειδὴ δὲ πᾶσαι αἱ ἑρμηνεῖαι καλῶς συμβιβάζονται καὶ ἀλλήλαις συνδεδεμέναι εἰσίν, οὐδεμία ἀπορριπτέα ἐστί. Κατὰ τὰ προμνημονευθέντα χωρὶς τὸ *Γνῶθι σαυτὸν* περιλαμβάνει τὴν γνῶσιν τοῦ ἀνθρώπου τῆς ἠθικῆς αὐτοῦ ἀξίας, ἥτις ὅρος ἀπαραίτητός ἐστι πάσης προόδου εἰς τὴν ἀρετήν, καὶ τῆς διανοητικῆς ὡσαύτως αὐτοῦ ἀξίας, ἥτις ἐστὶν ὅρος ἀναγκαῖος πάσης προόδου εἰς τὴν ἐπιστήμην· *ἓν οἶδα ὅτι οὐδὲν οἶδα*, ἔλεγεν ὁ Σωκράτης· ἀλλὰ τὸ μικρὸν τοῦτο ἀξίωμα τὴν μεγίστην εἶχε σπουδαιότητα· διότι ὅπως ὁ Σωκράτης γνῷ ὅτι *οὐδὲν οἶδεν*, ὤφειλε γινώσκειν τί ἐστιν εἰδέναι· ἐξ οὗ νέα προέρχεται ἔννοια τοῦ *Γνῶθι σαυτόν*· ἡ γνῶσις τῆς διανοητικῆς αὐτοῦ ἀξίας ἐστὶν ἅμα καὶ γνῶσις τῆς ἀγνοίας αὐτοῦ· καὶ τοῦτό ἐστιν ἡ ἀληθὴς ἐπιστήμη. *Ἡ ἀρνητικὴ λοιπὸν γνῶσις* ἤτοι ἡ ἀναγνώρισις ὅτι οὐδὲν οἶδεν, συνεπάγεται καὶ *βεβαίαν (positive) γνῶσιν*· ἡ μετὰ συναισθήσεως ἄγνοια (l'ignorance consciente) γόνιμός ἐστιν ἄγνοια· διότι, ὡς ἂν εἴποι Πλάτων, τὴν τῆς ἀληθοῦς ἐπιστήμης ἰδέαν περικλείει, τῆς ἐπιστήμης ἥτις

ἀποβλέπει ἀεὶ τὰ μήτε γιγνόμενα μήτε ἀπολλύμενα, κατὰ ταὐτὰ δὲ καὶ ὡσαύτως ὄντα ἀεί».

»Οὐδεὶς ἀρνήσεται, ὅτι ὁ Σωκράτης, εἰ μὴ τὴν παντελῆ γνῶσιν, τό γε αἴσθημα εἶχε τῆς ἰδανικῆς ταύτης ἐπιστήμης, τὸ πλεῖστον τοῦ βίου αὐτοῦ κατατρίψας ὅπως τοῖς ἄλλοις καταληπτὴν καταστήσῃ τὴν χρείαν καὶ τὴν καλλονὴν αὐτῆς». (Fouillée *Philosophie de Socrate* I. σελ. 39—).

Ἡ διδασκαλία τοῦ Σωκράτους εἶχε πολὺ τὸ ἐπαγωγόν, ἥ, ὡς αὐτός φησι διαλεγόμενος τῇ ἑταίρᾳ Θεοδότῃ (Ἀπομν. Γ, ια', 17), πολλὰ τὰ φίλτρα[1], δι' ὧν εἵλκυε καὶ συνεκίνει καὶ συνετάραττε τὴν ψυχὴν τῶν νέων· «Ἡμεῖς γοῦν, λέγει ὁ Ἀλκιβιάδης ἐν τῷ *Συμποσίῳ* τοῦ Πλάτωνος (σελ. 215), ὅταν μέν του ἄλλου ἀκούωμεν λέγοντος καὶ πάνυ ἀγαθοῦ ῥήτορας ἄλλους λόγους, οὐδὲν μέλει, ὡς ἔπος εἰπεῖν, οὐδενί· ἐπειδὰν δὲ σοῦ τις ἀκούῃ ἢ τῶν σῶν λόγων, ἄλλου λέγοντος, κἂν πάνυ φαῦλος ᾖ ὁ λέγων, ἐάν τε γυνὴ ἀκούῃ ἐάν τε ἀνὴρ ἐάν τε μειράκιον, ἐκπεπληγμένοι ἐσμέν καὶ κατεχόμεθα. Ἐγὼ γοῦν, ὦ ἄνδρες, εἰ μὴ ἔμελλον κομιδῇ δόξειν μεθύειν, εἶπον ὁμόσας ἂν ὑμῖν, οἷα δὴ πέπονθα αὐτὸς ἀπὸ τῶν τούτου λόγων καὶ πάσχω ἔτι καὶ νυνί. Ὅταν γὰρ ἀκούω, πολύ μοι μᾶλλον ἢ κορυβαντιώντων ἥ τε καρδία πηδᾷ καὶ δάκρυα ἐκχεῖται ὑπὸ τῶν λόγων τῶν τούτου. Περικλέους δὲ ἀκούων καὶ ἄλλων ἀγαθῶν ῥητόρων εὖ μὲν ἡγούμην λέγειν, τοιοῦτον δ' οὐδὲν ἔπασχον, οὐδὲ τεθορύβητό μου ἡ ψυχὴ οὐδ' ἠγανάκτει ὡς ἀνδραποδωδῶς διακειμένου· ἀλλ' ὑπὸ τουτουὶ τοῦ Μαρσύου πολλάκις δὴ οὕτω διετέθην, ὥστε μοι δόξαι μὴ βιωτὸν εἶναι ἔχοντι ὡς ἔχω». (Ἰδ. Grote αὐτ. σελ. 290—).

Ὁ Σωκράτης καίτοι ἔλεγεν οὐδενὸς εἶναι διδάσκαλος, ἦν ἀπαράμιλλον πρότυπον τελείου διδασκάλου καὶ παιδαγωγοῦ· τί γὰρ ἔλειπεν αὐτῷ; ἡ βαθεῖα γνῶσις τῆς ἀνθρωπείας φύσεως, αἱ ψυχολογικαὶ γνώσεις, αἱ ἐπ' αὐτῶν στηριζόμεναι διδακτικαὶ μέθοδοι, ὁ ὑπέρμετρος ζῆλος καὶ ἡ ἀκάματος προθυμία[2] ὅπως δωρεὰν διδάσκῃ καὶ φωτίζῃ τοὺς ἀνθρώπους, ἡ διδασκαλία διὰ τοῦ ζῶντος παραδείγματος; Ἀλλὰ τίνος ἄλλου διδασκάλου τῆς ἀνθρωπότητος ὁ βίος ἦν μᾶλλον ἐν ἁρμονίᾳ τοῖς λόγοις ἢ ὁ τοῦ Σωκράτους; ἢ τάχα ἔλειπεν αὐτῷ ἡ ὑψηλὴ ἰδέα περὶ τοῦ ἔργου αὐτοῦ εἰς ὃ τεσσαράκοντα ἔτη ἠσχολήθη; Οὐ γινώσκομεν ὅτι ὁ Σωκράτης τὸ ἔργον αὐτοῦ ἐκάλει θείαν ὑπηρεσίαν, θείαν ἀποστολήν; εἰ δέ ποτε ἀποστολὴ ἀνθρώπου ἐγένετο ὑπὸ τοῦ θεοῦ, ἦν ὄντως αὕτη, ὡς τοῦτο αὐτὸς σύνοιδε καὶ λέγει ἐν τῇ *Ἀπολογίᾳ* αὐτοῦ πρὸς τοὺς δικαστάς· «Ὅτι δ' ἐγὼ τυγχάνω ὢν τοιοῦτος, οἷος ὑπὸ τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν κατανοήσαιτε· οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ τῶν ἐμαυτοῦ ἀπάντων ἠμεληκέναι καὶ ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὸ δὲ ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ ἑκάστῳ προσιόντα ὡς τε πατέρα ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς· καὶ εἰ μέν τι ἀπὸ τούτων ἀπέλαυον καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην, εἶχον ἄν τινα λόγον . . . . . ἱκανὸν γάρ, οἶμαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα, ἀληθῆ ὡς λέγω, τὴν πενίαν».

Περὶ δὲ τῆς πρωτοτυπίας τοῦ χαρακτῆρος καὶ τῶν λόγων αὐτοῦ τί ἂν εἴποιμεν; Ὁ ἄριστος τῶν μαθητῶν αὐτοῦ τοιάδε ὑποβάλλει εἰς τὸ στόμα τοῦ Ἀλκιβιάδου ἐν τῷ *Συμποσίῳ*· «Πολλὰ μὲν οὖν ἄν τις καὶ ἄλλα ἔχοι Σωκράτη ἐπαινέσαι καὶ θαυμάσια . . . . τὸ δὲ μηδενὶ ἀνθρώπων ὅμοιον εἶναι μήτε τῶν παλαιῶν μήτε τῶν νῦν ὄντων τοῦτο ἄξιον παντὸς θαύματος . . . Οἷος δὲ οὑτοσὶ γέγονε τὴν ἀτοπίαν ἄνθρωπος καὶ αὐτὸς καὶ οἱ λόγοι αὐτοῦ οὐδ' ἐγγὺς ἂν εὕροι τις ζητῶν οὔτε τῶν νῦν οὔτε τῶν παλαιῶν[3]».

Πίστις Σωκράτους εἰς Ἀπόλλωνα, εἰς χρησμοὺς καὶ εἰς ὄνειρα.

§ 55. Διὰ τί δὲ ὁ Σωκράτης ἐν τῇ *Ἀπολογίᾳ* τοῦ Πλάτωνος[4] λέγει ὅτι θεράπων ἐξί τοῦ Ἀπόλλωνος καὶ τῷ προστάγματι αὐτοῦ ἑπόμενος ἀνέλαβε διδάσκειν καὶ φωτίζειν τοὺς ἀνθρώπους ἐλέγχων καὶ προτρέπων εἰς ἀρετήν, οὐχὶ δὲ τοῦ ὑπερτάτου ὄντος, καίτοι περὶ αὐτοῦ ἐφρόνει ὅτι συνεῖχε καὶ ἐκυβέρνα τὸν κόσμον

1) Ἀλλὰ διὰ τί οἴει Ἀπολλόδωρον τόνδε καὶ Ἀντισθένη οὐδέποτέ μου ἀπολείπεσθαι; διὰ τί δὲ καὶ Κέβητα καὶ Σιμίαν Θήβηθεν παραγίγνεσθαι; εὖ ἴσθι ὅτι ταῦτα οὐκ ἄνευ πολλῶν φίλτρων τε καὶ ἐπῳδῶν καὶ ἰύγγων ἐστί».

2) Ἰδ. Havet *le Christianisme* I, σελ. 144.

3) Ἰδ. Zeller *Philosophie der Griechen* II, 1, σελ. 61—66.

4) «Ἐμοὶ δὲ τοῦτο, ὡς ἐγὼ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ (τοῦ Ἀπόλλωνος) πράττειν καὶ ἐκ μαντείων καὶ ἐξ ἐνυπνίων καὶ παντὶ τρόπῳ, ὅπερ τίς ποτε καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν». (Ἀπολογ. σελ. 33, Ἴδε καὶ σελ. 21—22. 29).

καὶ ἐφρόντιζε καὶ ἐπεμελεῖτο αὐτοῦ; Ἐπίστευεν ἄρα εἰς τὸν Ἀπόλλωνα καὶ εἰς τοὺς ἄλλους θεοὺς τῶν πολλῶν; ἐπίστευεν εἰς τὴν μαντικήν, εἰς χρησμοὺς καὶ εἰς ὄνειρα, ἢ λόγῳ μόνον ἐφαίνετο πιστεύων ἵνα μὴ σκανδαλίζῃ τοὺς πολλούς, ἔργῳ δὲ οὔ;

Οἱ μὲν πρὸ αὐτοῦ φιλόσοφοι (ἴδ. σελ. 120—122), ὁ Ξενοφάνης, ὁ Ἡράκλειτος, ὁ Παρμενίδης, ὁ Ἀναξαγόρας, ὁ Δημόκριτος, εἰς τοὺς θεοὺς τῶν πολλῶν οὐκ ἐπίστευον· τινὲς δὲ αὐτῶν καὶ ἀκήρυκτον διεξῆγον πόλεμον κατὰ τῆς ἀνθρωποφυΐας τῶν θεῶν καὶ τῶν παθῶν, οἷς ἐπροίκισαν αὐτοὺς οἱ μῦθοι καὶ οἱ ποιηταί, ὡς φησι Ξενοφάνης·

> Πάντα θεοῖς ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε
> ὅσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστί,
> κλέπτειν, μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

Ὁ πόλεμος ἦν σφοδρός· ἀλλ' ἡ πίστις ἀντεῖχεν ἔτι, διότι τὸ θρησκευτικὸν φρόνημα ζωηρὸν ὂν συνεκράτει τὴν διάνοιαν καὶ προεφύλαττε τὴν σκέψιν ἀπὸ παρεκτροπῶν· διὸ οὐδεὶς τῶν φιλοσόφων, οὐδ' αὐτὸς ὁ Ξενοφάνης, ἐτόλμησε δισταγμόν τινα περὶ τῆς ὑπάρξεως τῶν θεῶν ἐκφράσαι, ἀρκούμενος κηρύττειν ὅτι εἷς ἐστιν ὁ ὑπέρτατος θεός, οἱ δὲ ἄλλοι δευτέραν κατέχουσι τάξιν·

> εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος.

Οἱ δὲ ἄλλοι θεοὶ ἐξαγνιζόμενοι καὶ ἀποβάλλοντες τοὺς ῥύπους τῶν παθῶν οὐκέτι ἦσαν οἱ θεοὶ τῆς μυθολογίας, εἰς συγχώνευσιν καὶ ἑνοποίησιν τείνοντες. Τοιαύτην δέ τινα τάσιν πρὸς ἑνοποίησιν τῶν θεῶν εἶχεν, ὡς εἴδομεν (ἴδ. σελ. 128), καὶ ἡ Θεολογία τοῦ Πινδάρου.

Οἱ δὲ δισταγμοὶ καὶ ἡ ἄρνησις τῆς ὑπάρξεως τῶν θεῶν ὑστερόχρονον ἦσαν ἐπιγέννημα, ὅτε μετὰ τοὺς Μηδικοὺς πολέμους ἡ ἐλευθερία τῆς διανοίας καὶ τοῦ λόγου ἦν ἐν Ἀθήναις[1] ἀπεριόριστος καὶ ἀνεξάρτητος καὶ πάντα ὑπὸ τὴν Λυδίαν λίθον ὑπέβαλλε τῆς κρίσεως καὶ τοῦ ἐλέγχου.

Τότε οἱ ἐπίγονοι τῶν φιλοσόφων[2], οἱ σοφισταί, *μήστορες λόγων*[3], καὶ οἱ μαθηταὶ αὐτῶν, πολιτευόμενοί τε καὶ μή, ἤρξαντο περὶ τῆς ὑπάρξεως τῶν θεῶν δισταγμοὺς ἐκφέρειν· οἷον ὁ μὲν Πρωταγόρας ἤρχετο τοῦ συγγράμματος αὐτοῦ τοῦτον τὸν τρόπον· «Περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι οὔθ' ὡς εἰσίν, οὔθ' ὡς οὐκ εἰσί· πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι, ἥ τε ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου». Διὰ ταύτην δὲ τὴν ἀρχὴν τοῦ συγγράμματος ὁ Πρωταγόρας ἐξεβλήθη ἐκ τῆς πόλεως ὑπὸ τῶν Ἀθηναίων καὶ τὰ συγγράμματα αὐτοῦ ἐκάησαν ἐν τῇ ἀγορᾷ. Διὰ δὲ τοῦ περιβοήτου ἀξιώματος, *πάντων μέτρον ἄνθρωπος*, ἤρνεῖτο ὁ Πρωταγόρας τὴν ὕπαρξιν τῆς ὄντως ἀληθείας, ἤτοι τῆς ἐπιστήμης· διότι κατὰ τὸ ἀξίωμα τοῦτο συνέβαινεν ὅ,τι λέγει ὁ Σωκράτης ἐν τῷ *Θεαιτήτῳ* (σελ. 152)· «ὡς οἷα μὲν ἕκαστα ἐμοὶ φαίνεται, τοιαῦτα μέν ἐστιν ἐμοί, οἷα δὲ σοί, τοιαῦτα δ' αὖ σοί, ἄνθρωπος δὲ σύ τε κἀγώ». Ἐπειδὴ δὲ ἕκαστος ἄνθρωπος οὐ μένει ἀεὶ ὁ αὐτός, ἀλλ' ἀλλοιοῦται διά τε τὴν ἡλικίαν καὶ δι' ἄλλας αἰτίας, ἕπεται ὅτι καὶ τὰ πράγματα οὐκ ἀεὶ φαίνονται τὰ αὐτὰ τῷ αὐτῷ ἀνθρώπῳ, ἀλλ' ἄλλοτε ἄλλα. Ὁ δὲ Γοργίας ἐν τῷ συγγράμματι αὐτοῦ τῷ ἐπιγραφομένῳ *Περὶ τοῦ μὴ ὄντος*, τρία τινὰ ἐπεχείρει ἀποδεῖξαι· πρῶτον ὅτι οὐδέν ἐστι· δεύτερον ὅτι εἰ καὶ ἔστιν, ἀκατάληπτον ἀνθρώπῳ· τρίτον ὅτι εἰ καὶ καταληπτόν, ἀνερμήνευτον.

Οὕτως ὁ λόγος ἐν βραχεῖ χρόνῳ, ἐν μόλις τεσσαράκοντα ἔτεσι (480—440 π. Χ.) καὶ ἐν καταπληκτικῇ ταχύτητι, πάντα ἀναμοχλεύσας καὶ συνταράξας ἔρρεψε τέλος τὰ βέλη καθ' ἑαυτοῦ ἀρνούμενος ὅτι δύναται νοῆσαι τὰ ὄντα εἰ εἰσίν, οὐδ', εἰ εἰσίν, ἑρμηνεῦσαι αὐτὰ τοῖς ἄλλοις, ὅτε τὸ θρησκευτικὸν πνεῦμα, καίπερ προοδεῦον ἀεὶ καὶ ἀναπτυσσόμενον, διετηρήθη ἀκμαῖον ἀπὸ τῶν ἡρωϊκῶν χρόνων μέχρι τῶν Μηδικῶν πολέμων.

Οἱ δὲ τολμηρότεροι ἐκ τῶν σοφιστῶν καὶ τῶν μαθητῶν αὐτῶν ἀναφανδὸν ἔλεγον ὅτι οἱ θεοὶ οὐκ εἰσίν, ἀλλ' ὅτι ἔπλασαν αὐτοὺς οἱ ἄνθρωποι ὑπὸ φόβου ἢ ὑπὸ συμφέροντος[1], ὡς μαρτυρεῖ τὸ διασωθὲν χωρίον ἐκ τοῦ Σισύφου, δράματος τοῦ Κριτίου, ὃς κατ' ἀρχὰς μαθητὴς ὢν τοῦ Σωκράτους ἀποσκιρτήσας τούτου ἐγένετο μαθητὴς τῶν σοφιστῶν καὶ ἀρχηγὸς τῶν τριάκοντα τυράννων. Τὸ χωρίον ἔχει οὕτως·

> ἦν χρόνος ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος
> καὶ θηριώδης ἰσχύος θ' ὑπηρέτης,
> ὅτ' οὐδὲν ἆθλον οὔτε τοῖς ἐσθλοῖσιν ἦν
> οὔτ' αὖ κόλασμα τοῖς κακοῖς ἐγίγνετο·
> κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους
> θέσθαι κολαστάς, ἵνα δίκη τύραννος ᾖ
> . . . . . τήν θ' ὕβριν δούλην ἔχῃ·
> ἐζημιοῦτο δ' εἴ τις ἐξαμαρτάνοι.
> Ἔπειτ' ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι
> ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ,
> λάθρα δ' ἔπρασσον, τηνικαῦτά μοι δοκεῖ
> . . . . . πυκνός τις καὶ σοφὸς γνώμην ἀνὴρ
> γνῶναι δέος θνητοῖσιν ἐξευρεῖν ὅπως
> εἴη τι δεῖμα τοῖς κακοῖσι, κἂν λάθρα
> πράσσωσιν ἢ λέγωσιν ἢ φρονῶσί τι·
> ἐντεῦθεν οὖν τὸ θεῖον εἰσηγήσατο,
> ὡς ἔστι δαίμων ἀφθίτῳ θάλλων βίῳ
> νόῳ τ' ἀκούων καὶ βλέπων φρονῶν τε καὶ
> προσέχων τε ταῦτα καὶ φύσιν θείαν φορῶν,
> ὃς πᾶν τὸ λεχθὲν ἐν βροτοῖς ἀκούσεται,
> τὸ δρώμενον δὲ πᾶν ἰδεῖν δυνήσεται.
> Ἐὰν δὲ κἂν σιγῇ τι βουλεύῃς κακόν,
> ταῦτ' οὐχὶ λήσει τοὺς θεούς· τὸ γὰρ φρονοῦν
> . . . . . ἔνεστι· τοῦσδε τοὺς λόγους λέγων
> διδαγμάτων ἥδιστον εἰσηγήσατο
> ψευδεῖ καλύψας τὴν ἀλήθειαν λόγῳ·
> ναίειν δ' ἔφασκε τοὺς θεοὺς ἐνταῦθ' ἵνα
> μάλιστ' ἂν ἐξέπληξεν ἀνθρώπους λέγων,
> ὅθεν περ ἔγνω τοὺς φόβους ὄντας βροτοῖς·
> καὶ τὰς ὀνήσεις τῷ ταλαιπώρῳ βίῳ,
> ἐκ τῆς ὑπερθε περιφορᾶς, ἵν' ἀστραπὰς
> κατεῖδεν οὔσας, δεινὰ δὲ κτυπήματα
> βραντῆς τό τ' ἀστερωπὸν οὐρανοῦ σέλας,
> χρόνου καλὸν ποίκιλμα τέκτονος σοφοῦ,
> ὅθεν τε λαμπρὸς ἀστέρος στείχει μύδρος
> ὅ θ' ὑγρὸς εἰς γῆν ὄμβρος ἐκπορεύεται.

Τοίους πέριξ ἔστησεν ἀνθρώποις φόβους
ὅτ' οὓς καλῶς τε τῷ λόγῳ κατῴκισε
τὸν δαίμον' οἰκεῖν ἐν πρέποντι χωρίῳ,
τὴν ἀνομίαν τε τοῖς νόμοις κατέσβεσεν.
. . . . . .
Οὕτω δὲ πρῶτον οἶμαι πεῖσαί τινα
θνητοὺς νομίζειν δαιμόνων εἶναι γένος.

Ἐκ τούτων τῶν στίχων λαβὼν ἀφορμὴν Σέξτος ὁ Ἐμπειρικὸς λέγει· «καὶ Κριτίας δὲ εἷς τῶν ἐν Ἀθήναις τυραννησάντων δοκεῖ ἐκ τοῦ τάγματος τῶν ἀθέων ὑπάρχειν, φήμενος ὅτι οἱ παλαιοὶ νομοθέται ἐπίσκοπόν τινα τῶν ἀνθρωπίνων κατορθωμάτων καὶ ἁμαρτημάτων ἔπλασαν τὸν θεὸν ὑπὲρ τοῦ μηδένα λάθρα τὸν πλησίον ἀδικεῖν, εὐλαβούμενον τὴν ὑπὸ τῶν θεῶν τιμωρίαν».

Αὐτοὶ δ' οὗτοι οἱ σοφισταὶ καὶ οἱ πολιτευόμενοι ὁμόφρονες αὐτοῖς ὑπεστήριζαν ὡσαύτως ὅτι φύσει οὐδὲν δίκαιον ἢ ἄδικόν ἐστιν, ἀλλὰ ταῦτα μόνον ἀνθρώπινος νόμος διέκρινε· *νόμῳ καλόν, νόμῳ κακόν*· ἡ δὲ φύσις ἓν μόνον διδάσκει δίκαιον τὸ συμφέρον τοῦ κρείττονος καὶ ἰσχυροτέρου, ὡς διατείνεται ὁ Καλλικλῆς ἐν τῷ *Γοργίᾳ* τοῦ Πλάτωνος· «Οἱ τιθέμενοι τοὺς νόμους οἱ ἀσθενεῖς ἄνθρωποί εἰσι καὶ οἱ πολλοί· πρὸς αὐτοὺς οὖν καὶ τὸ αὑτοῖς συμφέρον τούς τε νόμους τίθενται καὶ τοὺς ἐπαίνους ἐπαινοῦσι καὶ τοὺς ψόγους ψέγουσιν ἐκφοβοῦντες τοὺς ἐρρωμενεστέρους τῶν ἀνθρώπων καὶ δυνατοὺς ὄντας πλέον ἔχειν, ἵνα μὴ πλέον ἔχωσιν, ὡς αἰσχρὸν καὶ ἄδικον τὸ πλεονεκτεῖν, καὶ τοῦτό ἐστι τὸ ἀδικεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν· ἀγαπῶσι γάρ, οἶμαι, αὐτοὶ ἂν τὸ ἴσον ἔχωσι φαυλότεροι ὄντες.

Διὰ ταῦτα δὴ νόμῳ μὲν τοῦτο ἄδικον καὶ αἰσχρὸν λέγεται, τὸ πλέον ζητεῖν ἔχειν τῶν πολλῶν, καὶ ἀδικεῖν αὐτὸ καλοῦσιν· ἡ δέ γε, οἶμαι, φύσις αὐτὴ ἀποφαίνεται αὐτό, ὅτι δίκαιόν ἐστι τὸν ἀμείνω τοῦ χείρονος πλέον ἔχειν καὶ τὸν δυνατώτερον τοῦ ἀδυνατωτέρου· δηλοῖ δὲ τοῦτο πολλαχοῦ ὅτι οὕτως ἔχει καὶ ἐν τοῖς ἄλλοις ζώοις καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς πόλεσι καὶ τοῖς γένεσιν, ὅτι οὕτω τὸ δίκαιον κέκριται, τὸν κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν. . . . . Οὗτοι κατὰ φύσιν τὴν τοῦ δικαίου ταῦτα πράττουσι, καὶ ναὶ μὰ Δία κατὰ νόμον γε τὸν τῆς φύσεως, οὐ μέντοι γε ἴσως κατὰ τοῦτον, ὃν ἡμεῖς πλάττοντες τοὺς βελτίστους καὶ ἐρρωμενεστάτους ἡμῶν αὐτῶν, ἐκ νέων λαμβάνοντες, ὥσπερ λέοντας, κατεπᾴδοντές τε καὶ γοητεύοντες καταδουλούμεθα λέγοντες, ὡς τὸ ἴσον χρὴ ἔχειν καὶ τοῦτό ἐστι τὸ

---

1) Ὁ Σωκράτης λέγει πρὸς Πῶλον ἐν τῷ *Γοργίᾳ* τοῦ Πλάτωνος· «Ἀθήναζε ἀφικόμενος, οὗ τῆς Ἑλλάδος πλείστη ἐστὶν ἐξουσία τοῦ λέγειν». Ὁ Σωκράτης οὐδὲ ἕνα μῆνα ἠδύνατο ζῆσαι οὔτε ἐν Σπάρτῃ οὔτε ἐν Ἄργει οὔτε ἐν Κορίνθῳ οὔτε ἐν Θήβαις, τοιαύτῃ ἐλεγκτικῇ παρρησίᾳ χρώμενος, οἷα ἐν Ἀθήναις τεσσαράκοντα ἔτη ἐχρήσατο, καὶ ἐν αὐτῷ ἔτι τῷ δικαστηρίῳ· (ἴδ. καὶ σελ. 164, 192 καὶ Γροτ. Ἑλλην. Ἱστορ. ΙΒ, σελ. 308 Γαλλ. Μεταφρ.).

2) «Ἔστι γὰρ ἡ σοφιστικὴ φαινομένη σοφία οὖσα δ' οὔ, καὶ ὁ σοφιστὴς χρηματιστὴς ἀπὸ φαινομένης σοφίας ἀλλ' οὐκ οὔσης». Ἀριστοτ. Σοφιστ. Ἔλεγχ. Λ.

3) «Τὴν ἀρχαίαν σοφιστικὴν ῥητορικὴν ἡγεῖσθαι χρὴ φιλοσοφοῦσαν». Φιλοστρ. ἐν τῷ προοιμίῳ τῶν Βίων τῶν σοφιστῶν. *Οἱ δὲ νεώτεροι τὰ περὶ σοφιστῶν ἠρεύνησαν* βαθύτερον ἐξακριβώσαντες ὅσα τε καλὰ καὶ ὅσα κακὰ ἡ διδασκαλία αὐτῶν ἐπήνεγκεν. (Ἰδ. Γρότ., *Histoire Grecque*, Τόμ. Ζ', σελ. 391—396 καὶ Τόμ. ΙΒ', σελ. 171—230. Zeller *Philosophie der Griechen*, I, σελ. 851—953 ἔκδ. τρίτ., καὶ II, σελ. 155—159. Dénis *Histoire des Theories et des idées Morales dans l' antiquité* I, σελ. 29—94. Havet *les Origines du Christianisme*, I, σελ. 65—142. Fouillée *Philosophie de Platon*, II, σελ. 67—77. *Philosophie de Socrate*, II, σελ. 319—351 κτλ.

1) Ἰδ. Dénis *Histoire des Théories et des idées Morales dans l'antiquité*, I, σελ. 38-42.

καλὸν καὶ τὸ δίκαιον. Ἐὰν δέ γε, οἶμαι, φύσιν ἱκανὴν γένηται ἔχων ἀνήρ, πάντα ταῦτα ἀποσεισάμενος καὶ διαρρήξας καὶ διαφυγών, καταπατήσας τὰ ἡμέτερα γράμματα καὶ μαγγανεύματα καὶ ἐπῳδὰς καὶ νόμους τοὺς παρὰ φύσιν ἅπαντας, ἐπαναστὰς ἀνεφάνη δεσπότης ἡμέτερος ὁ δοῦλος, καὶ ἐνταῦθα ἐξήλαμψε τὸ τῆς φύσεως δίκαιον· δοκεῖ δέ μοι καὶ Πίνδαρος, ἅπερ ἐγὼ λέγω, ἐνδείκνυσθαι ἐν τῷ ᾄσματι ἐν ᾧ λέγει ὅτι

> νόμος ὁ πάντων βασιλεὺς
> θνατῶν τε καὶ ἀθανάτων·

οὗτος δέ φησιν,

> ἄγει δικαιῶν τὸ βιαιότατον
> ὑπερτάτᾳ χειρί· τεκμαίρομαι
> ἔργοισιν Ἡρακλέους, ἐπεὶ ἀπριάτας...

λέγει οὕτω πως· τὸ γὰρ ἄσμα οὐκ ἐπίσταμαι· λέγει δ' ὅτι οὔτε πριάμενος οὔτε δόντος τοῦ Γηρυόνου ἠλάσατο τὰς βοῦς, ὡς τοιούτου ὄντος τοῦ δικαίου φύσει, καὶ βοῦς καὶ τἆλλα κτήματα εἶναι πάντα τοῦ βελτίονός τε καὶ κρείττονος τὰ τῶν χειρόνων καὶ ἡττόνων». (Ἰδ. σελ. 135· καὶ Dünis, I, σελ. 47—48).

Τὰ αὐτὰ καὶ θρασύτερα λέγει καὶ Θρασύμαχος ὁ Χαλκηδόνιος σοφιστὴς ἐν τῇ *Πολιτείᾳ* (σελ. 343—344). Ἡ διδασκαλία[1] λοιπὸν τῶν ὑπερφιάλων τούτων Τιτάνων εἰς ἀνατροπὴν ἐκ βάθρων ἔτεινεν οὐ μόνον τῆς θρησκείας, ἀλλὰ καὶ τῆς ἠθικῆς. Ταῦτα καλῶς ἐγίνωσκεν ὁ Σωκράτης, ὁ δὲ Πλάτων θαυμασίως περιγράφει ἐν τοῖς *Νόμοις* (σελ. 889)· «Οὕτω δὲ καὶ τὴν νομοθεσίαν πᾶσαν οὐ φύσει, τέχνῃ δέ, ἧς οὐκ ἀληθεῖς εἶναι τὰς θέσεις. *Κλ.* Πῶς λέγεις; *Ἀπ.* Θεούς, ὦ μακάριε, εἶναι πρῶτόν φασιν οὗτοι τέχνῃ, οὐ φύσει, ἀλλὰ τισι νόμοις, καὶ τούτους ἄλλους ἄλλῃ, ὅπῃ ἕκαστοι ἑαυτοῖσι συνωμολόγησαν νομοθετούμενοι· καὶ δὴ καὶ τὰ καλὰ φύσει μὲν ἄλλα εἶναι, νόμῳ δὲ ἕτερα, τὰ δὲ δίκαια οὐδ' εἶναι τὸ παράπαν φύσει, ἀλλ' ἀμφισβητοῦντας διατελεῖν ἀλλήλοις καὶ μετατιθεμένους ἀεὶ ταῦτα· ἃ δ' ἂν μετάθωνται, καὶ ὅταν, τότε κύρια ἕκαστα εἶναι, γιγνόμενα τέχνῃ τε καὶ νόμοις, ἀλλ' οὐ δή τινι φύσει· ταῦτ' ἔχειν, ὦ φίλοι, ἅπαντα ἀνδρῶν σοφῶν παρὰ νέοις ἀνθρώποις, ἰδιωτῶν τε καὶ ποιητῶν φασκόντων εἶναι τὸ δικαιότατον ὅ,τι τις ἂν νικᾷ βιαζόμενος· ὅθεν ἀσέβειαί τε ἀνθρώποις ἐμπίπτουσι νέοις, ὡς οὐκ ὄντων θεῶν οἵους ὁ νόμος προστάττει διανοεῖσθαι δεῖν, στάσεις τε διὰ ταῦτα, ἑλκόντων πρὸς τὸν κατὰ φύσιν ἀρθὸν βίον, ὃς ἔστι τῇ ἀληθείᾳ κρατοῦντα ζῆν τῶν ἄλλων καὶ μὴ δουλεύοντα ἑτέροισι κατὰ νόμον».

Τούτων οὖν οὕτως ἐχόντων ἡ εὐσεβὴς τοῦ Σωκράτους ψυχὴ ἐξανίστατο κατὰ τῆς πολυκεφάλου ταύτης ὕδρας, συναισθανομένη καὶ φρίττουσα ἐπὶ τοῖς μεγάλοις κινδύνοις, οὓς διέτρεχε τὸ θρησκευτικὸν φρόνημα καὶ ἡ ἠθική, εἰ ἡ ὕπαρξις τῶν θεῶν ἀπεσκυβαλίζετο ὡς μῦθος καὶ κατέρρεε, σὺν αὐτῇ δὲ καὶ ἡ ὕπαρξις τοῦ ὑπερτάτου ὄντος, τὴν δὲ κενωθεῖσαν θέσιν κατελάμβανεν ἡ τυφλὴ τύχη καὶ ἡ ἀνάγκη καὶ ἡ ἀθεΐα· ἀπῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα φύσει πάντα εἶναι καὶ τύχῃ φασί, τέχνῃ δὲ οὐδὲν τούτων, καὶ τὰ μετὰ ταῦτα αὖ σώματα, γῆς τε καὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων τε πέρι, διὰ τούτων γεγονέναι παντελῶς ὄντων ἀψύχων. Τύχῃ δὲ φερόμενα τῇ τῆς δυνάμεως ἕκαστα ἑκάστοις, ἢ ξυμπέπτωκεν ἁρμόττοντα οἰκείως πως, θερμὰ ψυχροῖς ἢ ξηρὰ πρὸς ὑγρὰ καὶ μαλακὰ πρὸς σκληρά, καὶ πάντα ὁπόσα τῇ τῶν ἐναντίων κράσει κατὰ τύχην ἐξ ἀνάγκης συνεκεράσθη, ταύτῃ καὶ κατὰ ταῦτα οὕτω γεγεννηκέναι τόν τε οὐρανὸν ὅλον καὶ πάντα ὁπόσα κατ' οὐρανόν, καὶ ζῶα αὖ καὶ φυτὰ ξύμπαντα, ὡρῶν πασῶν ἐκ τούτων γενομένων, οὐ διὰ νοῦν, φασίν, οὐδὲ διά τινα θεόν, οὐδὲ διὰ τέχνην, ἀλλ' ὃ λέγομεν φύσει καὶ τύχῃ». (Πλάτ. Νόμ. σελ. 889).

1) Αἱ διδασκαλίαι αὗται ἦσαν τοσούτῳ ὀλεθριώτεραι, ὅσῳ οἱ νέοι τῶν χρόνων ἐκείνων κατεῖχοντο ὑπὸ μεγάλης φιλομαθείας καὶ φιλολογίας καὶ ἐγίνοντο ἕρμαιον τῶν σοφιστῶν, ὡς μανθάνομεν ἐκ τοῦ *Πρωταγόρου* (σελ. 310 — 313) τοῦ Πλάτωνος. Ἱπποκράτης ὁ υἱὸς Ἀπολλοδώρου μαθὼν ὅτι ὁ Πρωταγόρας ἀφίκετο εἰς Ἀθήνας, λίαν πρωΐ (ὄρθρου βαθέος) ἦλθεν εἰς τὸν οἶκον τοῦ Σωκράτους. Οὗτος ἐρωτᾷ αὐτὸν τίνος ἕνεκα ἦλθε τοιαύτην ὥραν; ὁ Ἱπποκράτης ἀποκρίνεται, Ὁ Πρωταγόρας ἀφίκετο. «Τί οὖν σοι τοῦτο; ἐρωτᾷ ὁ Σωκράτης· μῶν τί σε ἀδικεῖ Πρωταγόρας; καὶ ὃς γελάσας, νὴ τοὺς θεούς, ἔφη, ὦ Σώκρατες, ὅτι γε μόνος ἐστὶ σοφός, ἐμὲ δὲ οὔ ποιεῖ. Ἀλλὰ ναὶ μὰ Δία, ἔφην ἐγώ, ἂν αὐτῷ διδῷς ἀργύριον καὶ πείθῃς ἐκεῖνον, ποιήσει καὶ σὲ σοφόν. Εἰ γάρ, ἦ δ' ὅς, ὦ Ζεῦ καὶ θεοί, ἐν τούτῳ εἴη· ὡς οὔτ' ἂν τῶν ἐμῶν ἐπιλίποιμι οὐδὲν οὔτε τῶν φίλων». Τὰ μετὰ ταῦτα δεικνύουσιν οἵῳ τρόπῳ ὁ Σωκράτης τὸν ἀκράτητον ζῆλον τῶν νέων ἐμετρίαζεν. «Οἴσθα οὖν ὃ μέλλεις νῦν πράττειν, ἢ σε λανθάνει; ἦν δ' ἐγώ. Τοῦ πέρι; Ὅτι μέλλεις τὴν ψυχὴν τὴν σεαυτοῦ παρασχεῖν θεραπεῦσαι ἀνδρί, ὡς φῄς, σοφιστῇ· ὅ τι δέ ποτε ὁ σοφιστής ἐστι, θαυμάζοιμ' ἂν εἰ οἶσθα· καίτοι εἰ τοῦτ' ἀγνοεῖς, οὐδὲ ὅτῳ παραδίδως τὴν ψυχὴν οἶσθα, οὔτ' εἰ ἀγαθῷ οὔτ' εἰ κακῷ πράγματι..... Οἴσθα εἰς οἷόν τινα κίνδυνον ἔρχει ὑποθήσων τὴν ψυχήν; ἢ εἰ μὲν τὸ σῶμα ἐπιτρέπειν σε ἔδει τῳ, διακινδυνεύοντα ἢ χρηστὸν αὐτὸ γενέσθαι ἢ πονηρόν, πολλὰ ἂν περιεσκέψω, εἴτ' ἐπιτρεπτέον εἴτε οὔ, καὶ εἰς συμβουλὴν τοὺς τε φίλους ἂν παρεκάλεις καὶ τοὺς οἰκείους, σκοπούμενος ἡμέρας συχνάς· ὃ δὲ περὶ πλείονος τοῦ σώματος ἡγεῖ, τὴν ψυχήν, καὶ ἐν ᾧ πάντ' ἔστι τὰ σὰ ἢ εὖ ἢ κακῶς πράττειν, χρηστοῦ ἢ πονηροῦ αὐτοῦ γενομένου, περὶ δὲ τούτου οὔτε τῷ πατρὶ οὔτε τῷ ἀδελφῷ ἐπεκοινώσω οὔτε ἡμῶν τῶν ἑταίρων οὐδενί, εἴτ' ἐπιτρεπτέον εἴτε καὶ οὔ τῷ ἀφικομένῳ τούτῳ ξένῳ τὴν σὴν ψυχήν, ἀλλ' ἐσπέρας ἀκούσας, ὡς φῄς, ὄρθριος ἥκων περὶ μὲν τούτου οὐδένα λόγον οὐδὲ συμβουλὴν ποιεῖ, εἴτε χρὴ ἐπιτρέπειν σαυτὸν αὐτῷ εἴτε μή, ἕτοιμος δ' εἶ ἀναλίσκειν τά τε σαυτοῦ καὶ τὰ τῶν φίλων χρήματα, ὡς ἤδη διεγνωκώς, ὅτι πάντως συνεστέον τῷ Πρωταγόρᾳ, ὃν οὔτε γινώσκεις, ὡς φῄς, οὔτε διείλεξαι οὐδὲ πώποτε, σοφιστὴν δὲ ἀνομάζεις, τὸν δὲ σοφιστὴν ὅ τι ποτέ ἐστι, φαίνει ἀγνοῶν, ᾧ μέλλεις σαυτὸν ἐπιτρέπειν; καὶ ὃς ἀκούσας, Ἔοικεν, ἔφη, ὦ Σώκρατες, ἐξ ὧν σὺ λέγεις. Ἆρ' οὖν, ὦ Ἱππόκρατες, ὁ σοφιστὴς τυγχάνει ὢν ἔμπορός τις ἢ κάπηλος τῶν ἀγωγίμων, ἀφ' ὧν ψυχὴ τρέφεται; Φαίνεται γὰρ ἔμοιγε τοιοῦτός τις· τρέφεται δέ, ὦ Σώκρατες, ψυχὴ τίνι; Μαθήμασι δήπου, ἦν δ' ἐγώ, καὶ ὅπως γε μή, ὦ ἑταῖρε, ὁ σοφιστὴς ἐπαινῶν ἃ πωλεῖ ἐξαπατήσῃ ἡμᾶς, ὥς περ οἱ περὶ τὴν τοῦ σώματος τροφήν, ὁ ἔμπορός τε καὶ κάπηλος· καὶ γὰρ οὗτοί που ὧν ἄγουσιν ἀγωγίμων οὐτε αὐτοὶ ἴσασιν ὅ τι χρηστὸν ἢ πονηρὸν περὶ τὸ σῶμα, ἐπαινοῦσι δὲ πάντα πωλοῦντες, οὔτε οἱ ὠνούμενοι περὶ αὐτῶν, ἐὰν μή τις τύχῃ γυμναστικὸς ἢ ἰατρὸς ὤν. Οὕτω δὲ καὶ οἱ τὰ μαθήματα περιάγοντες κατὰ τὰς πόλεις καὶ πωλοῦντες καὶ καπηλεύοντες τῷ ἀεὶ ἐπιθυμοῦντι ἐπαινοῦσι μὲν πάντα ἃ πωλοῦσι, τάχα δ' ἂν τινές, ὦ ἄριστε, καὶ τούτων ἀγνοοῖεν ὧν πωλοῦσιν ὅτι χρηστὸν ἢ πονηρὸν πρὸς τὴν ψυχήν· ὡς δ' αὖτως καὶ οἱ ὠνούμενοι παρ' αὐτῶν, ἐὰν μή τις τύχῃ περὶ τὴν ψυχὴν αὖ ἰατρικὸς ὤν. Εἰ μὲν οὖν σὺ τυγχάνεις ἐπιστήμων τούτων τί χρηστὸν καὶ πονηρόν, ἀσφαλές σοι ὠνεῖσθαι μαθήματα καὶ παρὰ Πρωταγόρου καὶ παρ' ἄλλου ὁτουοῦν· εἰ δὲ μή, ὅρα, ὦ μακάριε, μὴ περὶ τοῖς φιλτάτοις κυβεύῃς τε καὶ κινδυνεύῃς· καὶ γὰρ δὴ πολὺ μείζων κίνδυνος ἐν τῇ τῶν μαθημάτων ὠνῇ ἢ ἐν τῇ τῶν σιτίων· σιτία μὲν γὰρ καὶ ποτὰ πριάμενον παρά του ἔξεστιν ἐν ἄλλοις ἀγγείοις ἀποφέρειν, καὶ πρὶν δέξασθαι αὐτὰ εἰς τὸ σῶμα πιόντα ἢ φαγόντα, καταθέμενον οἰκαδε ἔξεστι συμβουλεύσασθαι, παρακαλέσαντα τὸν ἐπαΐοντα, ὅ τι τε ἑδεστέον ἢ ποτέον, καὶ ὅ τι μή, καὶ ὁπόσον καὶ ὁπότε· ὥστε ἐν τῇ ὠνῇ οὐ μέγας κίνδυνος· μαθήματα δὲ οὐκ ἔστιν ἐν ἄλλῳ ἀγγείῳ ἀπενεγκεῖν, ἀλλ' ἀνάγκη καταθέντα τὴν τιμήν, τὸ μάθημα ἐν αὐτῇ τῇ ψυχῇ λαβόντα καὶ μαθόντα ἀπιέναι ἢ βεβλαμμένον ἢ ὠφελημένον».

Τούτων ἕνεκα ὁ Σωκράτης οὐ μόνον λόγῳ, ὡς ὁ Ξενοφάνης, ἀλλὰ καὶ ἔργῳ ἐν πεποιθήσει ἐπίστευε, παρὰ τὸ ὑπέρτατον ὄν, εἰς τὴν ὕπαρξιν δευτερευόντων θεῶν, προνοούντων καὶ ἐπιμελουμένων τῶν ἀνθρώπων καὶ προσημαινόντων αὐτοῖς τὰ μέλλοντα μαντικῇ τε καὶ ἐνυπνίοις, ὑπολαμβάνων αὐτὰ μέσα τῆς θείας προνοίας, ἥτις συνήθως ἀφανῶς καὶ ἐν ἀγνοίᾳ τοῦ ἀνθρώπου ἐνεργεῖ, πολλάκις ὅμως καὶ δείκνυσιν αὐτῷ διά τινων σημείων τὰ μέλλοντα ἢ τί ὀφείλει αὐτὸς πρᾶξαι ἢ μή. Ὁ Σωκράτης πρὸς ἀπόδειξιν τῆς θείας προνοίας φέρει καὶ τοῦτο ἐν τοῖς *Ἀπομνημονεύμασιν* τοῦ Ξενοφῶντος (Α, γ', 12), ὅτι οἱ θεοὶ διὰ τῆς μαντικῆς προλέγουσι τὰ μέλλοντα γενέσθαι· «Τὸ δὲ καὶ εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ἡμῖν αὐτοὺς συνεργεῖν, διὰ μαντικῆς τοῖς πυνθανομένοις φράζοντας τὰ ἀποβησόμενα καὶ διδάσκοντας ἢ ἂν ἄριστα γίγνοιτο»; Περὶ ὀνείρων λέγει καὶ ὁ Ὠριγένης ἐν τῷ κατὰ Κέλσου (Α, 48), ὅτι πιστεύουσιν εἰς αὐτὰ οἱ παραδεχόμενοι Πρόνοιαν· «Ὥσπερ ὄναρ πεπίστευται πολλοὺς πεφαντασιῶσθαι, τινὰ μὲν θειότερα, τινὰ δὲ περὶ μελλόντων βιωτικῶν ἀναγγέλλοντα, εἴτε σαφῶς, εἴτε καὶ δι' αἰνιγμάτων, καὶ τοῦτ' ἐναργές ἐστι παρὰ πᾶσι τοῖς παραδεξαμένοις Πρόνοιαν».

Τοιαύτη ἦν ἡ πεποίθησις τῶν ἀρχαίων· τοιαύτη δὲ καὶ ἡ τοῦ Σωκράτους· ὅτι δὲ ἐπίστευεν εἰς θεοὺς ἔχομεν τὴν μαρτυρίαν τῶν μαθητῶν αὐτοῦ· διότι ὁ Ξενοφῶν ἐν τοῖς *Ἀπομνημονεύμασιν* ὅλαις δυνάμεσιν ἀγωνίζεται πεῖσαι τοὺς Ἀθηναίους ὅτι ὁ Σωκράτης ἐνόμιζε θεοὺς οὓς καὶ ἡ πόλις· ὅπερ οὐκ ἂν ἐποίει, εἰ ἐγίνωσκεν, ὅτι τοιοῦτον οὐκ ἦν τὸ φρόνημα τοῦ διδασκάλου αὐτοῦ· διότι ἄλλως ἠσέβει πρὸς αὐτὸν ψευδόμενος καὶ ἀπονέμων αὐτῷ δοξασίας, ἃς οὐκ εἶχεν, ἠσέβει δὲ καὶ πρὸς τοὺς Ἀθηναίους ψευδόμενος καὶ ἐξαπατῶν αὐτούς ὅτι ὁ Σωκράτης ἐνόμιζεν οὓς καὶ ἡ πόλις θεούς. Ὁ δὲ Πλάτων ἐν τῷ *Τιμαίῳ* ἑπόμενος τῷ Σωκράτει δέχεται θεὸν δημιουργὸν καὶ θεοὺς δευτέρας τάξεως, τέκνα τοῦ δημιουργοῦ.

Ἀλλὰ καὶ οὗτος καὶ ὁ Σωκράτης ἐδέχοντο μόνον θεοὺς ἀγνοὺς καὶ ἀπηλλαγμένους παθῶν, ἀποδοκιμάζοντες σφόδρα τοὺς θεοὺς τῶν μύθων καὶ τῶν ποιητῶν. Ὁ Σωκράτης τὸν θεολόγον καὶ μάντιν Εὐθύφρονα λέγοντα αὐτῷ ὅτι ὁ Ζεὺς ἔδησε τὸν πατέρα αὐτοῦ ὅτι τοὺς υἱοὺς κατέπινεν ἀδίκως, ὁ δὲ Κρόνος αὖθις τὸν ἑαυτοῦ πατέρα ἐξέτεμεν, ἐρωτᾷ εἰ ὄντως πιστεύει τούτοις· «Ἀλλά μοι εἰπέ πρὸς Φιλίου, σὺ ὡς

ἀληθῶς ἡγεῖ ταῦτα οὕτω γεγονέναι; *Εὐθ.* Καὶ ἔτι γε τούτων θαυμασιώτερα, ὦ Σώκρατες, ἃ οἱ πολλοὶ οὐκ ἴασι. *Σωκ.* Καὶ πόλεμον ἄρα ἡγεῖ σὺ εἶναι τῷ ὄντι ἐν τοῖς θεοῖς πρὸς ἀλλήλους, καὶ ἔχθρας γε δεινὰς καὶ μάχας καὶ ἄλλα τοιαῦτα πολλά, οἷα λέγεταί τε ὑπὸ τῶν ποιητῶν, καὶ ὑπὸ τῶν ἀγαθῶν γραφέων τά τε ἄλλα ἱερὰ ἡμῖν καταπεποίκιλται, καὶ δὴ καὶ τοῖς μεγάλοις Παναθηναίοις ὁ πέπλος μεστὸς τῶν τοιούτων ποικιλμάτων ἀνάγεται εἰς τὴν Ἀκρόπολιν; Ταῦτ' ἀληθῆ φῶμεν εἶναι, ὦ Εὐθύφρον; *Εὐθ.* Μὴ μάνα γε, ὦ Σώκρατες· ἀλλ' ὅπερ ἄρτι εἶπον, καὶ ἄλλα σοι ἐγὼ πολλά, ἐὰν περ βούλῃ, περὶ τῶν θείων διηγήσομαι, ἃ σὺ ἀκούων εὖ οἶδ' ὅτι ἐκπλαγήσει».

Ἐκ δὲ τῶν νεωτέρων οἱ μέν, ἐν οἷς καὶ ὁ φιλέλλην Γ. Ἐχθάλ, *Ὁ Σωκράτης καὶ τὶ καθ' ἡμᾶς*, σελ. 31. 45, Μετέφρ. Βαλέττα, ἀποκρούουσιν, ὅτι ὁ Σωκράτης εἰς πολλοὺς θεοὺς ἐπίστευεν, ἀσπαζόμενοι τὴν γνώμην ὅτι τὴν φιλοσοφικὴν μονοθεΐαν ἐν τῷ κόσμῳ ἐνεθράνισεν· οἱ δὲ οὐκ εἰσὶν ἐναντίοι· οἷον ὁ ἱστορικὸς Γρότιος (ΙΒ, σελ.316), ὁ φιλόσοφος Ζέλλερος, *die Philosophie der Griechen*, II, 1, σελ. 65. 183—184, Havet, *Le Christianisme et ses origines*, I, σελ. 148, Fouillée, *Philosophie de Socrate*, II, σελ. 259, λέγων, «ἴσως, ὡς ὁ Πλάτων, ἐδέχετο δευτέρας τάξεως θεούς· ἀλλ' οὔτε τούτοις οὔτε τῷ ὑπερτάτῳ θεῷ ἔνεμε πάθη καὶ κακίας· ἦν ἀδυσώπητος κατὰ τῆς δεισιδαιμονίας, ἥτις τὸ κακὸν εἰς τὸν κόλπον μεταφέρει τοῦ θεοῦ». Καὶ ὁ Dénis (I, σελ. 79—80) τῆς αὐτῆς ἔχεται γνώμης· «ἐπιθυμῶν, λέγει, ὁ Σωκράτης τοὺς θεσμοὺς καὶ τὰ ἤθη τῆς ἑαυτοῦ πατρίδος ἀνορθῶσαι, εἶχε χρείαν στερεῶσαι τὴν θρησκείαν, ἧς τὰ θεμέλια πανταχοῦ οἱ σοφισταὶ ὑπέσκαπτον· ἐφρύντιζε λοιπὸν μᾶλλον διατηρῆσαι τὰς ἀρχαίας θρησκευτικὰς δοξασίας, ἐξαγνίζων αὐτάς, ἢ καταστρέψαι· ἄνευ ταύτης τῆς ὑποθέσεως οὐδὲν καταλαμβάνομεν οὔτε τοῦ Σωκράτους οὔτε τῶν μαθητῶν αὐτοῦ· δι' αὐτῆς πάντα εὐκόλως σαφῆ καθίστανται καὶ ἑρμηνεύονται. Πεπεισμένος ὢν ὁ Σωκράτης ὅτι τοῦτο μὲν ἡ ἀσέβεια ὀλεθρία ἐστὶ τοῖς ἀνθρώποις, τοῦτο δὲ ἀδύνατος αὐτοῖς ἡ γνῶσις τῆς ἀληθοῦς θρησκείας ἐν πάσῃ τῇ ἀγνότητι αὐτῆς, ἄρμενος τὰς ἀρχαίας ἐδέχετο παραδόσεις, ὅτε οὐκ ἦσαν τοῖς ἤθεσιν ἐναντίαι· διότι τῇ μὲν μεταφυσικῇ ἀληθείᾳ πολὺ διαφέρει ἡ παραδοχὴ ἑνὸς θεοῦ, τῇ δὲ ἠθικῇ ὀλίγον τι μέλει ἡ παραδοχὴ πολλῶν θεῶν, ἂν οὗτοι συμφωνῶσιν ἀλλήλοις μηδὲ ὦσι πρότυπα ἱερὰ τῆς ἀνηθικότητος καὶ διαφθορᾶς».

Κατὰ τοῦτο οἱ θεοὶ τοῦ Σωκράτους καὶ τῶν μαθητῶν αὐτοῦ πολὺ διέφερον τῶν θεῶν τοῦ λαοῦ· ὁ δὲ Σωκράτης καὶ περὶ προσευχῶν καὶ περὶ θυσιῶν καὶ περὶ μαντικῆς ἢ χρησμῶν ἄλλως ἐφρόνει ἢ ὡς οἱ πολλοί· διότι οὗτοι μὲν εὐχόμενοι τοῖς θεοῖς αἰτοῦσι χρυσίον ἢ ἀργύριον ἢ ἄλλο τι τοιοῦτον, ὁ δὲ Σωκράτης ηὔχετο ἁπλῶς τἀγαθὰ δοῦναι, διότι οἱ θεοὶ γινώσκουσιν ὁποῖά εἰσιν ἀγαθά· καὶ περὶ τῶν θυσιῶν οἱ μὲν πολλοὶ νομίζουσιν, ὅτι οἱ θεοὶ ταῖς μεγάλαις θυσίαις εὐκρεστοῦνται, ὁ δὲ ἐνόμιζεν, ὅτι οἱ θεοὶ ταῖς παρὰ τῶν εὐσεβεστάτων θυσίαις μάλιστα χαίρουσι κἂν ὦσι πάνυ μικραί· διὸ ἀπὸ μικρῶν μικρὰς θύων θυσίας οὐδὲν ἡγεῖτο ἐλασσοῦσθαι τῶν ἀπὸ πολλῶν καὶ μεγάλων πολλὰ καὶ μεγάλα θυόντων, ἀνὰ στόμα ἔχων τὸ

Κεδδύναμιν ἔρδειν ἱερ' ἀθανάτοισι θεοῖσιν.
(Ξενοφ. Ἀπομν. Α, γ', 2—3).

Καὶ περὶ μαντικῆς δὲ καὶ χρησμῶν οἱ μὲν πολλοὶ ἀμυδρὰς ἔχοντες γνώσεις περὶ τῆς θείας προνοίας, ὅτι ἀεὶ τοῦ ἀγαθοῦ ἐχάζεται, προσφεύγουσιν εἰς τὰ χρηστήρια καὶ εἰς τὰ ἄλλα τῆς μαντικῆς μέσα ἐπὶ παντὶ πράγματι, πειρώμενοι πολλάκις προσλαβεῖν τοὺς θεοὺς συνεργοὺς καὶ ἐπὶ ἀδίκοις πράγμασιν· ὁ δὲ Σωκράτης ἀγνάτατον, ὡς εἴρηται (σελ. 201), εἶχε φρόνημα περὶ τῆς θείας προνοίας πρεσβεύων καὶ ἀποδεχόμενος γενικὴν καὶ μερικὴν πρόνοιαν, ἤτοι εὐεργετικὴν παρέμβασιν τοῦ θεοῦ ἐν τῇ φύσει[1], ἐν τῇ γενικῇ ζωῇ τῆς ἀνθρωπότητος καὶ ἐν τῇ ζωῇ ἑκάστου, τὴν παρουσίαν τοῦ θεοῦ ἐν τῷ νῷ ἡμῶν, διότι καὶ ὁ ἀνθρώπινος νοῦς ὅμοιος τῷ θείῳ[2], ἐνὶ λόγῳ τὴν ἐπι-

1) Γνώσει τὸ θεῖον ὅτι τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾶν καὶ πάντα ἀκούειν καὶ πανταχοῦ παρεῖναι καὶ ἅμα πάντων ἐπιμελεῖσθαι. Ξενοφ. Ἀπομν. Α, δ', 18.

2) Ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχή, εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων τοῦ θείου μετέχει· Ξενοφ. Ἀπομν. Δ, γ', 14. Ἰδ. καὶ § 47 σελ. 196—197· καὶ Zeller σελ. 148—149· «ὁ Σωκράτης, ὡς καὶ ἄλλοι πρὸ αὐτοῦ, θεῖόν τι μάλιστα ἐν τῇ τοῦ ἀνθρώπου ψυχῇ εὑρίσκει· καὶ ἴσως τοῦτο στενῶς ἐστι συνδεδεμένον τῇ πίστει αὐτοῦ εἰς τὴν ἄμεσον ἀποκάλυψιν τῆς θεότητος τῷ νῷ τοῦ ἀνθρώπου καὶ τῷ ἰδίῳ αὐτοῦ»· καὶ Fouillée *Philosophie de Socrate*, II, σελ. 257· «Nous pouvons conclure que Socrate admettait réellement une communication de Dieu à l'homme, aussi bien que de l'homme à Dieu».

κοινωνίαν τοῦ θεοῦ τῷ ἀνθρώπῳ καὶ τοῦ ἀνθρώπου τῷ θεῷ.

Ἐποιεῖτο δὲ καὶ περὶ τῶν πραγμάτων σπουδαιοτάτην διάκρισιν ὁ Σωκράτης· διότι τὰ μὲν ἐθεώρει ἀνθρώπινα ἤτοι προσιτὰ τῷ ἀνθρώπῳ καὶ κατορθωτά, καὶ ὑπελάμβανε μωρὸν τὸ προσφεύγειν περὶ τούτων τοῖς θεοῖς καὶ διὰ τῶν τῆς μαντικῆς μέσων πειρᾶσθαι περὶ αὐτῶν τὴν ἀλήθειαν μανθάνειν· τὰ δὲ εἰσι θεῖα, ὑπὲρ ἄνθρωπον καὶ ἀπρόσιτα αὐτῷ ἄνευ θείας ἀρωγῆς· περὶ τούτων δὲ ὀφείλει ὁ ἄνθρωπος τὴν τῶν θεῶν ἐξαιτεῖσθαι συμβουλὴν διὰ τῶν μέσων τῆς μαντικῆς, τὸν δὲ μὴ πυνθανόμενον παρὰ τῶν θεῶν περὶ τούτων μωρὸν ὑπελάμβανε καὶ δαιμονιῶντα, ὡς λέγει ὁ Ξενοφῶν (Ἀπομν. Δ, α', 9)· «τοὺς δὲ μηδὲν τῶν τοιούτων οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης, δαιμονᾶν ἔφη· δαιμονᾶν δὲ καὶ τοὺς μαντευομένους ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ μαθοῦσι διακρίνειν, οἷον εἴ τις ἐπερωτῴη πότερον ἐπιστάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον ἢ μὴ ἐπιστάμενον, ἢ πότερον ἐπιστάμενον κυβερνᾶν ἐπὶ τὴν ναῦν κρεῖττον λαβεῖν ἢ μὴ ἐπιστάμενον, ἢ ἃ ἔξεστιν ἀριθμήσαντας ἢ μετρήσαντας ἢ στήσαντας εἰδέναι, τοὺς τὰ τοιαῦτα παρὰ τῶν θεῶν πυνθανομένους ἀθέμιτα ποιεῖν ἡγεῖτο· ἔφη δὲ δεῖν ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ θεοὶ μανθάνειν, ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις ἐστὶ πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν θεῶν πυνθάνεσθαι· τοὺς θεοὺς γὰρ οἷς ἂν ὦσιν ἵλεῳ σημαίνειν». (Ἰδ. καὶ Fouillée *Philosophie de Socrate*, II, σελ. 254—255). Εἶχεν ὅμως δίκαιον καὶ τὴν ἀστρονομίαν κατατάσσειν ἐν τοῖς θείοις, ἃ οἱ ἄνθρωποι ὀφείλουσι διὰ τῆς μαντικῆς μανθάνειν; Ἡ κατ' ἐκείνους τοὺς χρόνους κατάστασις τῶν φυσικῶν ἐπιστημῶν δικαιολογεῖ τὸν Σωκράτην ἀρκούντως. Ἀλλ' οὐδὲν ἧττον ὁμολογητέον ὅτι τοῦτό ἐστι τὸ ἀσθενὲς τῆς φιλοσοφίας αὐτοῦ μέρος· διότι τί ἐγίνετ' ἂν ἡ νῦν ἀκριβεστάτη ἀστρονομικὴ ἐπιστήμη, εἰ οἱ σοφοὶ διετέλουν τῇ συμβουλῇ τοῦ Σωκράτους ἀκολουθοῦντες καὶ μανθάνοντες τὰ φαινόμενα τοῦ οὐρανοῦ διὰ τῆς μαντικῆς;

Ὁ δὲ Ξενοφῶν (Ἀπομν. Α, γ' 4) λέγει, ὅτι ὁ Σωκράτης εὐπειθῶς ἀεὶ ἔπραττε τὰ σημαινόμενα αὐτῷ παρὰ τῶν θεῶν· «εἰ δέ τι δόξειεν αὐτῷ σημαίνεσθαι παρὰ τῶν θεῶν, ἧττον ἂν ἐπείσθη παρὰ τὰ σημαινόμενα ποιῆσαι, ἢ εἴ τις αὐτὸν ἔπεισεν ὁδοῦ λαβεῖν ἡγεμόνα τυφλὸν καὶ μὴ εἰδότα τὴν ὁδὸν ἀντὶ βλέποντος καὶ εἰδότος». Οὐ λέγει ὅμως καὶ τοῦτο, ὅτι ὁ Σωκράτης ἐλευθέρως ἡρμήνευε τὰ τῶν θεῶν σημεῖα, καί, ὡς λέγομεν νῦν, ὀρθολογιστικῶς. Τούτου παράδειγμα ἐπισημότατον ὁ πολυθρύλητος χρησμὸς ὁ ὑπὸ τῆς Πυθίας τῷ Χαιρεφῶντι πυθομένῳ περὶ Σωκράτους δοθείς·

ἀνδρῶν δ' ἁπάντων σοφώτατος Σωκράτης.

Ὁ Σωκράτης οἴκοθεν τὸν ἐλεγκτικὸν ἐξελέξατο τρόπον τοῦ φιλοσοφεῖν· διὸ φοβερὸς καθίστατο τοῖς ἐλεγχομένοις ἀλλὰ καὶ πολλὰ συνεσώρευε καθ' ἑαυτοῦ μίσῃ καὶ ἀπεχθείᾳ, φήμην δέ, ὅτι σοφώτερος ἦν τῶν ὑπ' αὐτοῦ ἐλεγχομένων σοφῶν· ἡ δὲ φήμη ἐν Ἀθήναις τε καὶ ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ἦν διαδεδομένη· ὥστε οἱ διέποντες τὰ τοῦ ἐν Δελφοῖς Μαντείου (ἰδ. σελ. 123) ἐγίνωσκον καλῶς τὰ περὶ Σωκράτους, ὅτε προσῆλθεν ὁ Χαιρεφῶν πευσόμενος αὐτὸ περὶ τοῦ ἑταίρου αὐτοῦ. Ἀλλ' ὁ Σωκράτης συνειδὼς ὅτι ἴσ' οἶδεν ὅτι οὐδὲν οἶδεν ἐπελάβετο ἑρμηνεῦσαι τὸν δοθέντα χρησμόν, καὶ δὴ διήλλαξεν αὐτὸν τῇ ἑαυτοῦ γνώμῃ, δι' ἐλευθέρας ἑρμηνείας πείσας ἑαυτὸν ὅτι καὶ ὁ χρησμὸς τοῦτο βούλεται εἰπεῖν καὶ τοῦτο διακελεύεται αὐτῷ, ὅ,τι νῦν πράττει. Πείσας οὖν ἑαυτὸν ὅτι καὶ ὁ θεὸς διὰ τοῦ χρησμοῦ ἐντέλλεται αὐτῷ ἐμμεῖναι ἐν ᾗ ἑαυτὸν ἔταξε τάξει, ἔτι μᾶλλον τὴν ἑαυτοῦ πεποίθησιν ἐνίσχυσε πρὸς ἐξακολούθησιν τῆς ἀποστολῆς αὐτοῦ, ἣν ἤδη καλεῖ θείαν. Τὴν ἑρμηνείαν ταύτην τοῦ χρησμοῦ καὶ τὰ ἐξ αὐτῆς ἀποτελέσματα καθίστησιν ἡμῖν γνωστὰ αὐτὸς ὁ Σωκράτης ἐν τῇ *Ἀπολογίᾳ* αὐτοῦ (σελ. 21—23)· «Ταῦτα γὰρ ἐγὼ ἀκούσας ἐνεθυμούμην οὑτωσί· τίποτε λέγει ὁ θεός, καὶ τίποτε αἰνίττεται; ἐγὼ γὰρ δὴ οὔτε μέγα οὔτε σμικρὸν ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν· τί οὖν ποτε λέγει φάσκων ἐμὲ σοφώτατον εἶναι; οὐ γὰρ δήπου ψεύδεταί γε, οὐ γὰρ θέμις αὐτῷ· καὶ πολὺν μέν χρόνον ἠπόρουν, τίποτε λέγει, ἔπειτα μόγις πάνυ ἐπὶ ζήτησιν αὐτοῦ τοιαύτην τινὰ ἐτραπόμην· ἦλθον ἐπί τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς ἐνταῦθα, εἴπερ που, ἐλέγξων τὸ μαντεῖον καὶ ἀποφανῶν τῷ χρησμῷ ὅτι οὑτοσὶ ἐμοῦ σοφώτερός ἐστι, σὺ δ' ἐμὲ ἔφησθα· διασκοπῶν οὖν τοῦτον—ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν, ἦν δέ τις τῶν πολιτικῶν, πρὸς ὃν ἐγὼ σκοπῶν τοιοῦτόν τι ἔπαθον, ὦ ἄνδρες Ἀθηναῖοι,—καὶ διαλεγόμενος αὐτῷ, ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς ἀνθρώποις καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ· κἄπειτα ἐπειρώμην αὐτῷ δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφός, εἴη δ' οὔ. Ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην καὶ πολλοῖς

τῶν παρόντων· πρὸς ἐμαυτὸν δ' οὖν ἁπλῶν ἐλογιζόμην ὅτι τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώτερός εἰμι· κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν καλὸν κἀγαθὸν εἰδέναι, ἀλλ' οὗτος μὲν οἴεταί τι εἰδέναι οὐκ εἰδώς, ἐγὼ δέ, ὥσπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι· ἔοικα γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα οὐδὲ οἴομαι εἰδέναι. Ἐντεῦθεν ἐπ' ἄλλον ἦα τῶν ἐκείνου δοκούντων σοφωτέρων εἶναι, καί μοι ταὐτὰ ταῦτα ἔδοξε· καὶ ἐνταῦθα κἀκείνῳ καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην . . . . .

. . . . . .

Ἐκ ταυτησὶ δὴ τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαί μὲν ἀπέχθειαί μοι γεγόνασι καὶ οἷαι χαλεπώταται καὶ βαρύταται, ὥστε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγονέναι, ὄνομα δὲ τοῦτο λέγεσθαι, σοφὸς εἶναι. Οἴονται γὰρ με ἑκάστοτε οἱ παρόντες ταῦτα αὐτὸν εἶναι σοφόν, ἃ ἂν ἄλλον ἐξελέγξω· τὸ δὲ κινδυνεύει, ὦ ἄνδρες, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι, καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός· καὶ φαίνεται τοῦτ' οὐ λέγειν τὸν Σωκράτη, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα ποιούμενος, ὥσπερ ἂν εἰ εἴποι, ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅστις ὥσπερ Σωκράτης ἔγνωκεν ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν. Ταῦτ' οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιιὼν ζητῶ καὶ ἐρευνῶ κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι ὅτι οὐκ ἔστι σοφός· καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου, οὔτε τῶν οἰκείων, ἀλλ' ἐν πενίᾳ μυρίᾳ εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν».

Διὰ τοιαύτης ἑρμηνείας τοῦ χρησμοῦ ἡ ἀσχολία τοῦ Σωκράτους κατέστη ὑπηρεσία, λατρεία τοῦ θεοῦ· ὥστε λίαν ὀρθαὶ αἱ παρατηρήσεις τοῦ Γροτίου (IB, σελ. 250—251· 271) περὶ τῶν ἀποτελεσμάτων τοῦ χρησμοῦ· «ὁ χρησμός, φησίν, ὁ δοθεὶς τῷ Χαιρεφῶντι, ἦν μεῖζον ἀγαθὸν ἐν τῷ βίῳ τοῦ Σωκράτους ἢ τὸ πολυθρύλητον Δαιμόνιον· διότι ὁ χρησμὸς οὗτος, καθὰ καὶ τὰ ὄνειρα καὶ τὰ ἄλλα τῆς μαντικῆς μέσα πρὸς τὸν αὐτὸν τείνοντα σκοπόν, ἦλθεν αὐτῷ κατὰ τὴν μέσην αὐτοῦ ἡλικίαν, ὅτε ἡ διάνοια αὐτοῦ ἦν ἤδη μεμορφωμένη καὶ φρήν ἐκέκτητο σοφοῦ ἀνδρός. Ὁ χρησμὸς ἐχρησίμευσεν ὡς ὑπέκκαυμα προκαλέσαι εἰς ἐκφανεστάτην ἐνέργειαν τρόπον διαλεκτικῆς προϋπάρχοντα, τὸν τῆς γενικεύσεως καὶ τῆς Ἡλεκτικῆς ἀρνήσεως, τρόπον διανοητικόν, σὺν ᾧ σπανίως ὁ θρησκευτικὸς ζῆλος συμπράττει· ἄνευ τοιαύτης αἰτίας λίαν ἐπαισθητῆς τῷ πνεύματι αὐτοῦ αἱ διαλέξεις αὐτοῦ ἠδύναντο ἴσως τὸν γενικὸν τοῦτον χαρακτῆρα λαβεῖν, ἀλλὰ πάντως ἔμελλον ἐν στενωτέροις καὶ μετριωτέροις περιορισθῆναι ὁρίοις· διότι οὐδὲν ἄλλο ἦν ἀντιδημοτικώτερον καὶ ἀπεχθέστερον ἢ τὸ ἔργον, ᾧ ἀνέλαβεν, ἐξετάζειν δι' ἀντιφατικῶν ἐρωτήσεων καὶ ἐλέγχειν ὡς ἀμαθῆ πάντα ἄνδρα ἐπὶ σοφίᾳ φημιζόμενον· διὸ αἱ ἔχθραι ἦσαν τοσοῦτον βίαιαι, ὥστε ἔστιν ὅτε προϋπηλακίσθη καὶ ἐκακοποιήθη ῥαπισθείς. Καίτοι δὲ ὑπὸ τῶν παρόντων, μάλιστα ὑπὸ τῶν νέων καὶ ὑπό τινων ἐνθουσιωδῶν ὀπαδῶν αὐτοῦ, ἐθαυμάζετο, ἡ φιλοσοφικὴ ἀφορμὴ μόνη οὐκ ἂν ἤρκεσε προαγαγεῖν αὐτὸν εἰς τὸν τρόπον τῆς συστηματικῆς καὶ δὴ καὶ ὀχληρᾶς ἐξετάσεως ἣν ὡς κύριον μέλημα τοῦ βίου αὐτοῦ ἠσπάσατο, εἰ μὴ ἡ θεία ἀντίληψις ἐπήρχετο διὰ τοῦ χρησμοῦ».

Ὁ δὲ Σωκράτης καὶ τὰ ὄνειρα ἐλευθέρως ἡρμήνευε πρὸς τὸν σκοπὸν αὐτοῦ, ὡς μαρτυρεῖ τὸ χωρίον τόδε τοῦ Φαίδωνος· «Πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον ἐν τῷ παρελθόντι βίῳ, ἄλλοτ' ἐν ἄλλῃ ὄψει φαινόμενον, τὰ αὐτὰ δὲ λέγον, ὦ Σώκρατες, ἔφη, μουσικὴν ποίει καὶ ἐργάζου· καὶ ἐγὼ ἔν γε τῷ πρόσθεν χρόνῳ ὅπερ ἔπραττον τοῦτο ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε καὶ ἐπικελεύειν, ὥσπερ οἱ τοῖς θέουσι διακελευόμενοι, καὶ ἐμοὶ οὕτω τὸ ἐνύπνιον, ὅπερ ἔπραττον τοῦτο ἐπικελεύειν, μουσικὴν ποιεῖν, ὡς φιλοσοφίας μέν οὔσης μεγίστης μουσικῆς, ἐμοῦ δὲ τοῦτο πράττοντος· νῦν δ' ἐπειδὴ ἥ τε δίκη ἐγένετο καὶ ἡ τοῦ θεοῦ ἑορτὴ διεκώλυέ με ἀποθνήσκειν, ἔδοξε χρῆναι, εἰ ἄρα πολλάκις μοι προστάττοι τὸ ἐνύπνιον τὴν δημώδη μουσικὴν ποιεῖν, μὴ ἀπειθῆσαι αὐτῷ, ἀλλὰ ποιεῖν· ἀσφαλέστερον γὰρ εἶναι μὴ ἀπιέναι πρὶν ἀφοσιώσασθαι ποιήσαντα ποιήματα καὶ πειθόμενον τῷ ἐνυπνίῳ· οὕτω δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα, οὗ ἦν ἡ παροῦσα θυσία· μετὰ δὲ τὸν θεόν, ἐννοήσας ὅτι τὸν ποιητὴν δέοι, εἴπερ μέλλοι ποιητὴς εἶναι, ποιεῖν μύθους, ἀλλὰ μὴ λόγους, καὶ αὐτὸς οὐκ ἦ μυθολογικός, διὰ ταῦτα δὴ οἷς προχείρους εἶχον καὶ ἠπιστάμην μύθους τοὺς Αἰσώπου, τούτους ἐποίησα, οἷς πρώτοις ἐνέτυχον».

Ἡ πρώτη ἑρμηνεία τοῦ ἐνυπνίου ἐλευθέρα καὶ ὀρθολογιστική, ὡς ἡ τοῦ χρησμοῦ, ἐστί· ταύτην δὲ ὑπελάμβανεν ὀρθὴν εἶναι, ἕως ἦν ἐλεύθερος τὸ ἑαυτοῦ ἐπιτήδευμα πράττειν, φιλοσοφεῖν ἐξετάζων καὶ ἐλέγχων τοὺς οἰομένους

εἶναι σοφούς· ὅτε δὲ ἐκωλύθη καθειρχθεὶς ἐν τῷ δεσμωτηρίῳ, ἐπῆλθον αὐτῷ δισταγμοὶ μὴ τὸ ἐνύπνιον σημαίνῃ ποιεῖν τὴν δημώδη ταύτην μουσικήν.

Ἐκ τούτων γίνεται κατάδηλον ὅτι ὁ Σωκράτης πολὺ τῶν πολλῶν διέφερεν οὐ μόνον κατὰ τὰς ἰδέας περὶ τῶν θεῶν καὶ περὶ τῆς λατρείας αὐτῶν καὶ περὶ προσευχῶν καὶ θυσιῶν, ἀλλὰ καὶ κατὰ τὰς ἑρμηνείας τῶν χρησμῶν καὶ τῶν ἐνυπνίων. Ἀλλ' ὁ Σωκράτης πλὴν τούτων εἶχεν ἐν ἑαυτῷ καὶ οἱονεί ἴδιον χρηστήριον, περὶ οὗ νῦν καιρὸς εἰπεῖν τὰ δέοντα, καὶ δοῦναι πέρας τῇ περὶ Σωκράτους πραγματείᾳ.

Τὸ Δαιμόνιον, κρίσεις Ζελλέρου καὶ Γροτίου.

§ 56. Τί οὖν ἐστι τὸ Δαιμόνιον τοῦτο; ἔστι τὸ θεῖον; ἔστι δαίμων φύλαξ τοῦ Σωκράτους; ἔστιν ἄλλο τι; Περὶ τοῦ Δαιμονίου τοῦ Σωκράτους τοσαῦτα καὶ τοιαῦτα ἐγράφησαν, ὥστε ἐάν τις ἐθελήσῃ πάντα διελθεῖν, εἰς λαβύρινθον ἐμπεσεῖται ἀδιέξοδον· ἔχει χρείαν ἐξευρεῖν Ἀριάδνειάν τινα μίτον πρὸς ὁδηγίαν, εἴπερ ἐξίν.

Ἡ ἁπλουστέρα ἑρμηνεία ἐστὶν ἡ τοῦ Ξενοφῶντος, ὅτι τὸ δαιμόνιόν ἐστι τὸ θεῖον, ὁ θεὸς ἢ οἱ θεοί, προσημαίνοντες τὸ μέλλον τῷ Σωκράτει, ὡς καὶ τοῖς ἄλλοις ἀνθρώποις. Ταύτην δὲ οὐκ ὀλίγοι τῶν νεωτέρων ἠσπάσαντο ὡς ὀρθοτέραν τῶν ἄλλων, ἐν οἷς καὶ ὁ φιλέλλην Ἐχθάλ, *Ὁ Σωκράτης καὶ τὰ καθ' ἡμᾶς*, σελ. 99—112, ἐκθύμως ὑπὲρ αὐτῆς ἀγωνισάμενος, ἅτε δουλεισης ὑπ' ἀνδρός, ὃς, εἴπερ τις καὶ ἄλλος, τὸν Σωκράτη ἐγίνωσκε καὶ πιστότερον τὰ κατ' αὐτὸν ἐξιστόρησεν.

Ἀλλὰ λίαν πρωΐμως ἡ ἔννοια τοῦ δαιμονίου τοῦ Σωκράτους ἐπεσκοτίσθη καὶ παρεμορφώθη, ὡς μαρτυρεῖ ὁ ἐν τοῖς Διαλόγοις τοῦ Πλάτωνος φερόμενος Θεάγης[1]· κατὰ δὲ τοὺς ἀπὸ Χριστοῦ γεννήσεως χρόνους τὸ Δαιμόνιον ἐξελήφθη ὁ ἀγαθὸς δαίμων καὶ φύλαξ τοῦ Σωκράτους κατὰ τὴν ἀρχαίαν παράδοσιν (ἴδ. σελ. 132), καθ' ἣν ἕκαστος ἄνθρωπος εἶχε προστάτην ἀγαθόν τινα δαίμονα, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς συγγράμμασι τοῦ Πλουτάρχου, *Περὶ τοῦ Δαιμονίου τοῦ Σωκράτους*, καὶ τοῦ Ἀπουλήϊου, *De Deo Socratis*. Ἡ δόξα αὕτη ἦν ἡ ἐπικρατεστέρα μέχρι τῶν νεωτέρων χρόνων.

Ἀλλ' ἦσαν καὶ τινες οἵ γε βουλόμενοι τὸν Σωκράτη ἀπαλλάξαι τοιαύτης δοξασίας ὡς δεισιδαίμονος νοσηρόν τινα σωματικὴν ἀπεδέξαντο διάθεσιν, δι' ἣν ὁ Σωκράτης ὑποκείμενος ἦν εἰς ἐκστάσεις καὶ ἐνθουσιώδεις ἐξάψεις· ὁ δὲ σοφὸς ἰατρὸς Lélut ἐκ τούτων λαβὼν ἀφορμὴν καὶ περαιτέρω ἐχώρησεν, ἐπιχειρήσας ἐν τῷ πολυκρότῳ αὐτοῦ συγγράμματι, *Le Démon de Socrate*, ἀποδεῖξαι, ὅτι ὁ Σωκράτης εἰς *παραισθήσεις (hallucinations)* ὑποκείμενος ἦν παράφρων[1], ὡς ὁ Λούθηρος, Πασχάλης καὶ Ρουσσώ.

«Πᾶσαι αὗται αἱ ἀποφάνσεις, λέγει ὁ φιλόσοφος Ζέλλερος (II, 1, σελ. 72—83), ἀνυπόστατοι ἐξελέγχονται, ἐξ οὗ ὁ Σχλειερμάχερος πρὸς γενικὴν εὐχαρίστησιν τῶν περὶ τὰ τοιαῦτα δεινῶν κριτῶν ἀπέδειξεν ὅτι ὁ Σωκράτης οὔτε δαίμονα ὑπελάμβανε τὸ δαιμόνιον αὐτοῦ, οὔτε χωριστὸν καὶ συγκεκριμένον πρόσωπον, ἀλλ' ὁρίστως *δαιμονίαν φωνήν*, θείαν ἀποκάλυψιν. Ἓν οὐδενὶ χωρίῳ τῶν συγγραμμάτων τοῦ Πλάτωνος καὶ Ξενοφῶντος γίνεται λόγος περὶ κοινωνίας τοῦ Σωκράτους μετά τινος δαίμονος, ἀλλ' ἀεὶ περί τινος θείου ἢ δαιμονίου σημείου, περί τινος φωνῆς, ἣν ὁ Σωκράτης ἀκούει, περί τινος δαιμονίου ὃ γίγνεται καὶ σημαίνει αὐτῷ. Ἐντεῦθεν ἕπεται ὅτι ὁ Σωκράτης εἶχε βεβαίως τὴν συναίσθησιν θείας τινὸς ἐν ἑαυτῷ ἀποκαλύψεως. Ἀλλὰ πῶς ἐγίνετο ἡ ἀποκάλυψις αὕτη, τίς δὲ ἦν ὁ ἄμεσος αὐτῆς πρωτουργός, περὶ τούτων οὐδὲν λέγει[2]. Καὶ ἡ σιωπὴ αὕτη ἀρκούν-

---

1) Ἐν τῷ διαλόγῳ τούτῳ ὁ Σωκράτης ἀφηγεῖται ἄλλας τε προρρήσεις τοῦ δαιμονίου καὶ τὴν ἐν Σικελίᾳ καταστροφὴν τῶν Ἀθηναίων· «ἔτι τοίνυν περὶ τῶν ἐν Σικελίᾳ πολλῶν ἀκούσεσθον, ἃ ἐγὼ ἔλεγον περὶ τῆς διαφθορᾶς τοῦ στρατοπέδου»· ποιεῖται δὲ λόγον καὶ περὶ τῆς μεγάλης δυνάμεως τοῦ δαιμονίου, περὶ ἧς οὐδὲν λέγει οὔτε Πλάτων οὔτε Ξενοφῶν. «Ταῦτα δὴ πάντα εἴρηκά σοι, ὅτι ἡ δύναμις αὕτη τοῦ δαιμονίου τοῦτου καὶ εἰς τὰς συνουσίας τῶν μετ' ἐμοῦ συνδιατριβόντων τὸ ἄπαν δύναται».

Πάντα ταῦτα γελοῖά εἰσι καὶ ἀνάξια προσοχῆς, μαρτυροῦντα μόνον ὅτι ὁ διάλογος πολὺ μετὰ τὸν θάνατον τοῦ Σωκράτους συνετάχθη.

1) Κατὰ τὸν Ξενοφῶντα ὁ Σωκράτης ἦ μᾶλλον αὐτὸς ὁ Ξενοφῶν τὸν ὑψίφρονα Ἀναξαγόραν ἐκάλει παράφρονα, τὸν δὲ Σωκράτη ὁ Lélut. Ἀλλὰ καὶ αἱ ἀποδείξεις τοῦ σοφοῦ ἰατροῦ, ὅτι ὁ Σωκράτης παράφρων, οὐκ ἀπηλλαγμέναι εἰσὶ παραλογισμῶν, ὡς αἱ ἀποδείξεις τοῦ Ξενοφῶντος περὶ τῆς παραφροσύνης τοῦ Ἀναξαγόρου. Τί γὰρ ἄλλο ἐστὶν ὁ διαχυρισμὸς τοῦ Lélut π. χ., ὅτι ἡ θαυμασία ἐκείνη προσωποποιία τῶν Νόμων ἐν τῷ Κρίτωνι ἀπόδειξίς ἐστι τῆς παραφροσύνης τοῦ Σωκράτους;

2) «Ὁ Σωκράτης ἀναντιρρήτως πρώτην αἰτίαν

τως δείκνυσιν, ὅτι οὔτε ὁ Σωκράτης οὔτε οἱ μαθηταὶ αὐτοῦ ἔσχον περὶ τούτου ὡρισμένην τινὰ καὶ ἀκριβῆ γνῶσιν. Ἡ ἀποκάλυψις αὕτη ἀεὶ ἀναφέρεται εἰς πράξεις ὡρισμένας, καὶ κατὰ Πλάτωνα ἦν ἀεὶ ἀποτρεπτική. Τὸ δαιμόνιον γιγνόμενον ἀεὶ ἀπέτρεπε τὸν Σωκράτη, οὐδέποτε δὲ προέτρεπεν, εἰ μὴ ἐμμέσως μὴ γιγνόμενον· διότι τὴν σιωπὴν ταύτην τοῦ δαιμονίου ἐξελάμβανεν ὁ Σωκράτης ὡς ἐπιδοκιμασίαν καὶ προτροπήν».

«Τὸ δαιμόνιον σημεῖον ἐνομίζετο ὑπὸ Σωκράτους ἐσωτερικὴ αὐτῷ τῆς θεότητος ἀποκάλυψις χάριν τῆς ἐκβάσεως πράξεώς τινος, ἐνὶ λόγῳ ἐσωτερικὸν χρηστήριον· διὸ τὸ δαιμόνιον ὑπὸ Πλάτωνος καὶ Ξενοφῶντος[1] ἐν τῇ μαντικῇ κατατάσσεται».

«Ἡ φιλοσοφικὴ ἀσχολία ἀπεκλείετο ἀπὸ τῆς ἐπενεργείας τοῦ δαιμονίου· οὐδὲν ὁ Σωκράτης φιλοσοφικὸν ἄξιωμα, οὐδεμίαν ἠθικὴν ἀλήθειαν ἐστήριζεν ἐπὶ τῆς ἀποκαλύψεως τοῦ δαιμονίου».

Οὐκ ἄλλως δὲ περὶ τοῦ δαιμονίου κρίνει καὶ ὁ ἱστορικὸς Γρότιος (Τόμ. IB, σελ. 243—247)· «ὁ Σωκράτης εἶχε πεποίθησιν, λέγει, περὶ εἰδικῆς τινος θρησκευτικῆς ἀποκαλύψεως, περὶ ἀποτροπῶν, προτροπῶν καὶ ἀνακοινώσεων τῶν θεῶν πρὸς αὐτόν· ἀλλ' ἡ πίστις καθόλου εἰς ταύτην τὴν ὑπερφυσικὴν παρέμβασιν οὐκ ἦν ἰδιάζουσα τῷ Σωκράτει, ἦν κοινὴ τῷ ἀρχαίῳ κόσμῳ· καὶ διὰ τοῦτο αἱ ἀπόπειρκι πρὸς ὑπαγωγὴν τῶν φαινομένων εἰς γενικοὺς νόμους ὑποπτοι ἐφαίνοντο, ὡς ἐμμέσως ἀπὸ τῆς πίστεως ἀπομακρύνουσκι· ὁ δὲ Ξενοφῶν (Ἀπομν. Α, α', 1—2) ἐπὶ ταύτης τῆς γενικῆς πίστεως στηριζόμενος ἀποφαίνεται ἐν τῇ ἀπολογίᾳ πρὸς τὴν κατηγορίαν ὅτι ὁ Σωκράτης καινὰ εἰσέφερε δαιμόνια, ὅτι οὐδὲν ἐφρόνει ἢ ἔπραττε καινότερον τῶν πιστῶν καὶ εὐσεβῶν. Ἀλλὰ τοῦτο οὐκ ἔστιν ἀκριβὴς ἔκθεσις τοῦ ζητουμένου· διότι παρέρχεται, εἰ μὴ ἀρνεῖται, τὴν εἰδικὴν θείαν ἔμπνευσιν τοῦ Σωκράτους, εἰς ἣν οἱ συνδιατρίβοντες αὐτῷ ἐπίστευον, καθὰ καὶ αὐτὸς οὗτος.

Ὅλως δὲ διάφορός ἐστιν ἡ ἀφήγησις ἣν αὐτὸς ἐν τῇ *Ἀπολογίᾳ* αὐτοῦ πρὸς τοὺς δικαστὰς ποιεῖται· «ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πάλλαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τε καὶ δαιμόνιον γίγνεται, ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλητος ἐγράψατο· ἐμοὶ δὲ τοῦτ' ἐξ ἐν παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἣ ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τούτου ὃ ἂν μέλλω πράξειν, προτρέπει δὲ οὔποτε».

Ἡ ἀποτρεπτικὴ αὕτη δήλωσις τοῦ Δαιμονίου ἦν λίαν πυκνὴ καὶ ἐπὶ λίαν σμικροῖς· «ἡ γὰρ εἰωθυῖά μοι μαντική, ἡ τοῦ δαιμονίου, ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἦν καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν». Καίτοι οἱ μεταγενέστεροι συγγραφεῖς λόγον ποιοῦνται περὶ *δαίμονος* τοῦ Σωκράτους, αὐτὸς οὐ προσωποποιεῖ τὸ δαιμόνιον, ἀλλ' ἁπλῶς λέγει, *θεῖον σημεῖον, φωνὴν προφητικὴν* ἢ *ὑπερφυσικήν*, διότι τοιαύτην βεβαίως ἔννοιαν ἔχουσιν αἱ λέξεις αἷς χρῆται· οὐ μόνον δὲ εἴωθεν ὑπακούειν αὐτῷ τυφλῶς, ἀλλὰ καὶ πρὸς ἄλλους περὶ αὐτοῦ δημοσίᾳ τε καὶ οἰκείως ἐποιεῖτο λόγον, ὥστε γνωστὸν ἦν φίλοις τε καὶ ἐχθροῖς. Ἡ φωνὴ αὕτη ἀπέτρεψεν αὐτὸν πράττειν τὰ πολιτικά· ἀπέτρεψε δὲ καὶ τὴν ἑαυτοῦ ἀπολογίαν παρασκευάσασθαι· ἐβάδιζε δὲ τοσούτῳ συμφώνως τῇ συνασθήσει τοῦ χαλινοῦ τούτου, ὥστε, ὅτε οὐδεμία ἐγίνετο αὐτῷ ἐναντίωσις, ὑπελάμβανε τοῦτο ὡς ἀπόδειξιν ὅτι ἡ μελετωμένη πρᾶξις ἦν καλή. Καίτοι ἡ πεποίθησις αὐτοῦ ἐπὶ τούτου ἦν ἀναμφισβητήτως εἰλικρινὴς καὶ ἀναντίρρητος ἡ ὑπακοὴ αὐτοῦ, οὐδέποτε περὶ τούτου ἐλάλησεν ὡς περὶ μεγάλου ἢ σοβαροῦ πράγματος ἢ πκρέχοντος αὐτῷ ἴδιον προνόμιον σεβκσμοῦ, ἀλλὰ πολλάκις περὶ αὐτοῦ λόγον ἐποιεῖτο μετὰ τῆς συνήθους αὐτῷ εἰρωνείας. Τοῖς ἑταίροις ὅμως τὸ δαιμόνιον ἐνέπνεε μέγαν σεβασμόν, καίτοι οὔτε ὁ Ξενοφῶν οὔτε ὁ Πλάτων ὠκνησαν, μιμούμενοι τὸν Σωκράτη, μετά τινος εὐτραπελίας περὶ τοῦ δαιμονίου λόγον ποιεῖσθαι. Ἀλλὰ τοῖς ἐχθροῖς αὐτοῦ καὶ τῷ λαῷ τοῦτο ἐφαίνετο αἵρεσίς τις δυσχέρεστος, νεωτερισμὸς ἀσεβὴς τῇ ὀρθοδόξῳ πίστει καὶ ἐγκατάλειψις τῶν θεῶν τῆς πόλεως.

Τοιοῦτον ἦν τὸ δαιμόνιον τοῦ Σωκράτους, ὡς παρ' αὐτοῦ περιεγράφη, καὶ ὡς ἐν τοῖς

τῆς ἀποκαλύψεως ὑπελάμβανε τὸν θεὸν ἢ τὴν θεότητα· ἀλλ' εἰ ἐπενήργει αὕτη ἀμέσως ἢ διὰ μεσολαβήσεώς τινος, οὐδὲν περὶ τούτου ἀποφαίνεται».

1) Ὁ Πλάτων ἐν τῇ *Ἀπολογίᾳ* (σελ. 40) λέγει· «ἡ γὰρ εἰωθυῖά μοι μαντικὴ ἡ τοῦ δαιμονίου ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν»· καὶ ὁ Ξενοφῶν (Ἀπομν. Δ, γ' 12) «τὸ δὲ καὶ εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ἡμῖν αὐτοῖς συνεργεῖν διὰ μαντικῆς τοῖς πυνθανομένοις φράζοντας τὰ ἀποβησόμενα καὶ διδάσκοντας ἢ ἂν ἄριστα γίγνοιτο; Σοὶ δ' ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον ἢ τοῖς ἄλλοις χρῆσθαι, εἴ γε μηδὲ ἐπερωτῶμενοι ὑπὸ σοῦ προσημαίνουσί σοι ἃ τε χρὴ ποιεῖν καὶ ἃ μή».

γνησίοις διαλόγοις τοῦ Πλάτωνος ἐξιστόρηται· φωνὴ ἀεὶ ἀποτρέπουσα καὶ ἀφορῶσα εἰς μόνην τὴν προσωπικήν[1] αὐτοῦ διαγωγήν. Ὅ,τι δὲ ὁ Πλούταρχος καὶ ἄλλοι θαυμασταὶ τοῦ Σωκράτους ἔλεγον *δαίμονα*, οἱ Πατέρες τῆς Ἐκκλησίας ὑπέλαβον *διάβολον*· ὁ δὲ le Clerc *πεπτωκότα ἄγγελον*· ἄλλοι δὲ ἐκ τῶν νεωτέρων ὑπομνηματιστῶν ἁπλῆν εἰρωνικὴν ἔκφρασιν τοῦ Σωκράτους· ἡ ὑπόθεσις ὅμως αὕτη ἡμαρτημένη ἐστί· διότι ἡ πεποίθησις τοῦ Σωκράτους εἰς τὸ δαιμόνιον ἦν εἰλικρινής· περίπτωσις δέ τις, εἰς ἣν μικρὰν παρέσχον προσοχήν, πλείστου λόγου ἀξία ἐστίν, ὅτι ἡ φωνὴ ἡ ἀποτρέπουσα ἐκ παιδικῆς ἤρξατο ἡλικίας καὶ μέχρι τελευτῆς διήρκεσεν· ὥστε ἐγένετο πειθὼ ἑδραία πρὸ τῆς ἐνάρξεως αὐτοῦ τῶν φιλοσοφικῶν μελετῶν.

Καίτοι δὲ τοῦτο τὸ εἶδος τῆς ἐμπνεύσεως αὐτῷ καὶ μόνῳ ἀνῆκεν, ὑπῆρχον καὶ ἄλλα μέσα, δι' ὧν ἐνόμιζε λαμβάνειν εἰδικὰς παρὰ τῶν θεῶν ἐντολάς, αἳ οὐ μόνον ἀπέτρεπον αὐτὸν μέλλοντα πράξειν τι μὴ καλόν, ἀλλὰ καὶ προέτρεπον καὶ διηύθυνον καὶ ἀπήτουν ἀναντιλέκτως θετικὴν διαγωγήν. Ἡ ἀποστολὴ αὐτοῦ ἐπεβλήθη αὐτῷ ὑπὸ τῶν ἐνυπνίων, τῶν χρησμῶν, καὶ πάντων τῶν ἄλλων μέσων οἷς οἱ θεοὶ χρῶνται ὅπως τὴν ἑαυτῶν θέλησιν δηλώσωσιν· «ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν καὶ ἐκ μαντείων καὶ ἐξ ἐνυπνίων καὶ παντὶ τρόπῳ ὅπερ τίς ποτε καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν».

Ὁ Γρότιος καὶ ὁ Ζέλλερος κάλλιστα φαίνονταί μοι ἐξακριβώσαντες ὅ,τι ὁ Σωκράτης καὶ οἱ μαθηταὶ αὐτοῦ Πλάτων καὶ Ξενοφῶν ἐφρόνουν περὶ τοῦ δαιμονίου· ἀλλ' ὁ μὲν Γρότιος τούτοις ἀρκεσθεὶς οὐδαμῶς ἥψατο τοῦ ἑτέρου ζητήματος, τί δεῖ φρονεῖν ἡμᾶς περὶ τῶν δοξασιῶν ἐκείνων ἢ πῶς ὀφείλομεν ἑρμηνεῦσκι αὐτάς, ὑπὸ τῶν φώτων τῆς νεωτέρας ἐπιστήμης ὁδηγούμενοι· ὁ δὲ Ζέλλερος ἀπεφήνατο γνώμην ἔχουσαν ὧδε. «*Ἡ θεία φωνὴ* (τὸ Δαιμόνιον) φαίνεται, καθόλου εἰπεῖν, ἡ μορφὴ ἣν περιβάλλεται ἡ ζωηρὰ μέν, μήπω δὲ ἐπὶ σαφῶν γνώσεων στηριζομένη αἴσθησις τοῦ ἀναρμόστου πράξεώς τινος[1] τῇ συνειδήσει τοῦ Σωκράτους· αἱ πράξεις, πρὸς ἃς ἡ αἴσθησις αὕτη ἔχει σχέσεις, δύνανται κατὰ τὸ περιεχόμενον καὶ τὴν ἀξίαν αὐτῶν εἶναι διάφοροι, ὡς διάφορά εἰσι τὰ συμβάντα καὶ τὰ αἴτια ἐξ ὧν προέρχονται· δύναται ἠθική τις σκέψις τῇ τοῦ Σωκράτους αἰσθήσει ἐπιβληθῆναι, μηδαμῶς τῆς συνειδήσεως θίγουσα· δύναται φοντίς τις περὶ τῶν ἀποτελεσμάτων πορείας τινὸς ἐπελθεῖν αὐτῷ, ἅτε πεπειραμένῳ ἐξεταστῇ τῶν ἀνθρώπων καὶ τῶν σχέσεων αὐτῶν, ὡς πρώτη πολλάκις ἐντύπωσις μετὰ πάντων τῶν ἑπακολουθημάτων, πρὶν αὐτὸν δυνηθῆναι τοὺς λόγους τοῦ προαισθήματος αὐτοῦ ἑρμηνεῦσκι· δύναται πρᾶξίς τις, καθ' ἑαυτὴν οὔτε αἰσχρὰ οὖσα οὔτε ἀπρεπής, εἶναι διὰ τοῦτο τῇ τοῦ Σωκράτους αἰσθήσει ἐναντία, μὴ συμφωνοῦσα τῷ ἰδίῳ τρόπῳ τῆς ὑπάρξεως καὶ τοῦ βίου αὐτοῦ· δύνανται ἐν ἀσημάντοις περιπτώσεσι πᾶσαι ἐκεῖναι αἱ ἀναριθμητοι ἐπιρροαὶ καὶ ἀφορμαὶ εἰς κίνησιν τεθῆναι, αἵπερ τοσούτῳ μᾶλλον εἰς τὰς ἡμετέρας ὁρμὰς καὶ ἀποφάσεις συνεργοῦσιν, ὅσῳ ἔλασσον τὸ ὑποκείμενον σαφῆ καὶ πραγματικὸν λόγον ἀποφάσεως παρέχει ἡμῖν. Τούτου ἕνεκα τὸ Δαιμόνιον *εἰς τὴν ἐσωτερικὴν φωνὴν τῆς συνέσεως αὐτοῦ*[2] ἀνηνέχθη. Τῷ ὀνόματι τούτῳ δηλοῦμεν καθόλου τὴν αἴσθησιν τοῦ μετρίου, τοῦ πρέποντος ἔν τε τοῖς λόγοις καὶ ἐν τοῖς ἔργοις, ὡς κατὰ τὰς διαφόρους τοῦ βίου σχέσεις ἐνεργεῖ ἐπί τε μικροῖς καὶ ἐπὶ μεγάλοις. Ἡ δὲ αἴσθησις αὕτη λίαν πρωΐμως τῷ Σωκράτει μετὰ μεγάλης δυνάμεως ἐξεδηλώθη, προϊόντος δὲ τοῦ χρόνου διὰ τῆς ἐκτάκτου ὀξυδερκείας καὶ ἀκαμάτου ἐξετάσεως ἑαυτοῦ τε καὶ τῶν ἄλλων μετὰ

1) Ὁ Γρότιος ἕπεται τῇ γνώμῃ τοῦ Πλάτωνος λέγοντος περὶ Σωκράτους ἐν τῷ *Φαίδρῳ*· «Εἰμὶ δὴ οὖν μάντις μέν, οὐ πάνυ δὲ σπουδαῖος, ἀλλ' ὥσπερ οἱ τὰ γράμματα φαῦλοι ὅσον μενδμαυτοῦ μόνον ἱκανός»· κατὰ δὲ τὸν Ξενοφῶντα τὸ δαιμόνιον ἐσήμαινε τῷ Σωκράτει καὶ περὶ τῶν φίλων τί δεῖ ποιεῖν αὐτοὺς καὶ τί μή.

1) Die dämonische Stimme zeigt sich viel mehr im allgemeinen als die Forme, welche das lebhafte, aber nicht zur klaren Erkentniss seiner Gründe aufgeschlossene Gefühl von der Unangemessenheit einer Handlung für das eigene Bewusstsein des Socrates annahm. Ἡ λέξις Gefühl πολλὰς ἔχει σημασίας· ἐνταῦθα σημαίνει ἐσωτερικὴν τῆς ψυχῆς αἴσθησιν ἐνεργείας τινὸς ἄνευ συνειδήσεως· ὡς γὰρ ἐξωτερικαὶ ἐντυπώσεις ἐνίοτε οὐ γίνονται αἰσθήσεις ἀντιληπταί, οὕτω καὶ ἐσωτερικαὶ αἰσθήσεις καὶ ἐνέργειαι οὐ γίνονται ἀντιληπταὶ τῇ συνειδήσει· διὸ ἡ ψυχὴ θεωρεῖ αὐτὰς ὡς ξένας. Τοιαύτη ἡ ἔννοια τοῦ χωρίου τοῦ Ζελλέρου.

2) Das Dämonium ist die innere Stimme des individuellen Tactes. *Hermann Platonismus*, I, 236.

τοσαύτης ἀσφαλείας ἀνεπτύχθη, ὥστε εἰς τὴν ἔκβασιν σπανιώτατα, ἢ ὡς αὐτὸς ἠξίου, οὐδέποτε ἠπατήθη. Ἡ ψυχολογικὴ ὅμως ἀρχὴ ἀπεκρύβη τῇ συνειδήσει αὐτοῦ· ἐξ ἀρχῆς εἴληφε τὴν μορφὴν ξένης ἀναπτύξεως, ἀποκαλύψεως ἄνωθεν, χρηστηρίου[1], ἐν οἷς δείκνυται ἡ δύναμις μεθ' ἧς ἡ πίστις τοῦ λαοῦ καὶ ἐπ' αὐτὸν ἔτι τὸν Σωκράτη ἐπενήργει[2], δείκνυνται δὲ καὶ τὰ ὅρια τῆς γνώσεως ἑαυτοῦ· διότι αἱ αἰσθήσεις ὧν τὰς αἰτίας οὐκ ἐζήτει, ἠδύναντο ἐπ' αὐτοῦ ἀκατάσχετον ἔχειν ροπήν.

Ἐπειδὴ δὲ ἑτέρωθεν τὸ Δαιμόνιον, ὅπου λαλεῖ, τὴν θέσιν λαμβάνει τῶν προτέρων μαντικῶν σημείων καὶ προρρήσεων, ὁ Ἔγελος εἶδεν ὀρθῶς ἔνδειξιν, ὅτι ἡ ἀπόφασις ἡ κατὰ τὸν τρόπον τῶν ἑλληνικῶν χρησηρίων ἐξαρτωμένη ἐξ ἐμφανίσεων ἔξωθεν γιγνομένων, νῦν ἐν τῷ ἔσω τοῦ ἀνθρώπου ἑτέθη. Ἐπειδὴ δὲ τοιούτοις προαισθήμασιν, ἃ εἰς οὐδεμίαν λήγουσι σαφῆ ἔννοιαν, τοσοῦτον ὑψηλὴ ἀπονέμεται σπουδαιότης καὶ ὑπολαμβάνονται τῆς θεότητος ἀποκαλύψεις, τοῦτο ἔτι μᾶλλον δείκνυσιν, ὅτι τὸ πνεῦμα κατά τινα τρόπον οὔπω γνωστὸν τοῖς Ἕλλησιν ἤρξατο περὶ ἑαυτοῦ ἀσχολεῖσθαι καὶ τὰ ἀποτελέσματα ἐν ἑαυτῷ θεωρεῖν.

Ἡ δύναμις μεθ' ἧς ἐπὶ τὸν Σωκράτη αἱ αἰσθήσεις αὗται λίαν πρωΐμως ἐπενήργουν, ἡ σύννοια μεθ' ἧς ἤκουεν ἐν ἑαυτῷ τῆς φωνῆς, προκαλοῦσιν ἡμᾶς ἐμβλέψαι ἐν τῷ βάθει τῆς αἰσθητικῆς ταύτης φύσεως. Ἀνακαλύπτομεν ἐν τῷ παιδὶ ἤδη τὰς διαθέσεις τοῦ ἀνδρός, ᾧ τὸ *Γνῶθι σαυτὸν* ἦν ἡ μᾶλλον κατεπείγουσα τοῦ βίου ὑπόθεσις, ἡ δὲ διηνεκὴς ἐξέτασις τῆς ἠθικῆς καὶ πνευματικῆς αὐτοῦ καταστάσεως, ὁ δικμερισμὸς[3] τῶν διανοημάτων καὶ πράξεων αὐτοῦ, ὁ φωτισμὸς τῆς ἐσωτερικῆς αὐτοῦ φύσεως καὶ ἡ ἐκτίμησις τῆς ἀξίας ἑαυτοῦ, ἦσαν ἀπαραίτητος ἀνάγκη. Ἡ δὲ τοιαύτη διεύθυνσις τοῦ πνεύματος αὐτοῦ καὶ παρὰ τῶν συγχρόνων αὐτῷ ἐθεωρεῖτο ὡς παράδοξος αὐτοῦ ἰδιοφυΐα.

«Ὅτι δὲ κατά τινας περιςάσεις ἐν τῷ νῷ αὐτοῦ μέχρις ἐκστάσεως ἐξετάζει τὸ ἐπερχόμενον αὐτῷ, ἄλλοτε δὲ ὅλως ἀμέριμνος πρὸς τὰ κρατοῦντα ἦθη τὴν ἑαυτοῦ βαδίζει πορείαν, ἡ πάσῃ τῇ συμπεριφορᾷ αὐτοῦ ὑπέρμετρος πολλάκις ἀδιαφορία κατὰ τοῦ ἔξωθεν ὑπάρχει, ἡ μονομερὴς προτίμησις τοῦ μετρίου πρὸ τοῦ καλοῦ, ταῦτα διδάσκουσιν ἡμᾶς περὶ τῆς σπουδαιότητος ἣν ἀπένεμε τῇ ἀσχολίᾳ περὶ ἑαυτοῦ, τῇ μονήρει ἐργασίᾳ τῆς διανοίας καὶ τῇ ἐλευθέρᾳ καὶ ξένων κρίσεων ἀπηλλαγμένῃ ἀποφάσει καθ' ἑαυτόν· ὅσῳ δὲ παράδοξος φαίνεται ἡ ἑνὶ προσώπῳ ἕνωσις τοῦ πεζοῦ λόγου τοῦ λογίου ἀνδρὸς καὶ τῶν ῥιμβασμῶν τοῦ ὑπὸ ἐμπνεύσεως κατεχομένου, τὸ συναμφότερον ἐν τελευταίᾳ σχέσει ἐπί κοινῆς τινος στηρίζεται κρηπίδος· διότι ὅ,τι τὸν Σωκράτη ἐν τῷ βίῳ αὐτοῦ ἀπὸ τῶν συγχρόνων αὐτῷ διέκρινεν, ἦν ἡ βαθεῖα ἐκείνη ἔρευνα ἐν τῷ ἐνδομύχῳ αὐτοῦ, πρὸς ἣν τοσοῦτον ἀλλοτρίως εἶχεν ἡ σύγχρονος γενεά, καὶ ἡ δι' αὐτῆς ἐπελθοῦσα ἀνίατος ῥῆξις τῆς πλαστικῆς ἑνότητος τοῦ ἑλληνικοῦ βίου».

Κατὰ τὸν βαθὺν λοιπὸν Ζέλλερον τὸ Δαιμόνιον ἦν ἐσωτερικὴ τῆς ψυχῆς τοῦ Σωκράτους αἴσθησις πολλῶν ἐνεργειῶν ἄμοιρος συνειδήσεως· διὰ τοῦτο καὶ παρεγνώριζεν ὁ Σωκράτης τὴν ψυχολογικὴν αὐτῆς ἀρχὴν καὶ καταγωγήν, ὑπολαμβάνων αὐτὴν ἔξωθεν προέρχεσθαι· διότι ἐνέργειαί τινες τῆς ψυχῆς γίνονται αὐτομάτως ἄνευ τῆς θελήσεως καὶ τῆς συνειδήσεως αὐτῆς· π. χ. βασανίζομεν τὴν μνήμην ἡμῶν ὅπως ὀνόματος ἀναμνησθῇ· ἀλλὰ μάτην μοχθοῦμεν· ὕστερον, καὶ πολλάκις μετὰ πολὺν χρόνον, ὅτε οὐδόλως προσέχομεν, τὸ ὄνομα τῇ ἡμετέρᾳ μνήμῃ ἐμφανίζεται ἄνευ παρεμβάσεως τῆς θελήσεως ἡμῶν, οὐχ ὅμως καὶ ἄνευ ἐνεργείας τῆς ψυχῆς, ἀλλ' ἀσυνειδήτου. Ἀξιομνημόνευτον δὲ παράδειγμά ἐστι τὸ συμβὰν μαθηματικῷ τινί, ὃς πολὺν χρόνον τὴν λύσιν ἐζήτει προβλήματός τινος, κατεσκεύασε δὲ καὶ σχῆμα πρὸς τὴν λύσιν προσεγγίζον, ἀλλ' οὐ τέλεον· μετά τινα ἔτη καθ' ἣν ὥραν κεκοπιακὼς κατεκλίνετο, εἶδεν εὐθὺς ἐμφανιζομένην τὴν ζητουμένην λύσιν ὑπὸ σχῆμα ἀκριβέστατον. Ἡ ἀπροσδόκητος αὕτη ἐμφάνισις βαθὺν ἐνεποίησεν αὐτῷ τρόμον ὑπολαμβάνοντι ὅτι ὑπερφυσικόν τι ὂν ἐνεφανίσθη αὐτῷ φέρον τὴν ἀποκάλυψιν, ἣν ἡ διάνοια αὐτοῦ ταῖς ἰδίαις αὐτῆς δυνάμεσιν οὐκ ἠδύνατο ποιῆσαι. Τὸ ὑπερφυσικὸν ὅμως ὂν οὐδὲν ἄλλο ἦν ἢ αὐτόματος καὶ ἀσυνείδητος ἐνέργεια τῆς διανοίας αὐτοῦ.

1) «Τὸ Δαιμόνιον τοῦ Σωκράτους οὐκ ἔστιν αὐτὸς ὁ Σωκράτης . . . ἀλλὰ χρηστήριον, ὅπερ ὅμως οὐκ ἦν ἐξωτερικόν, ἀλλ' ἐσωτερικόν, *ὑποκειμενικόν* (subjective), τὸ χρηστήριόν ἐστιν ἑαυτοῦ, ἔλαβε σχῆμα γνώσεως, ἀλλ' ἅμα καὶ συνδεδεμένον ἐστὶν ἐλλείψει συνειδήσεως». Hegel, *Geschichte der Philosophie*, II, 77.

2) «Ὅ,τι οὐκ ἐφ' ἡμῖν ἐστιν, ὅ,τι ἡ ἡμετέρα φύσις οὐ δύναται φέρειν, καὶ ὅ,τι οὐ στηρίζεται φύσει ἐπὶ τῆς ἡμετέρας ὁρμῆς ἢ ἐπὶ τῆς ἡμετέρας ἐρεύνης, ἀκούσιόν ἐστιν, ἤ, κατ' ἀρχαίαν ἔννοιαν, *θεῖον*. Ἐνταῦθα ἀνήκει ἡ ἔμπνευσις καὶ ἡ μαντική, ἡ ἰσχυρὰ βία τῆς γαστρός, ἡ ἰσχυρὰ δύναμις τῆς αἰσθήσεως». Krische Forschung, II, 23.

3) Ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι *διαλέγοντας κατὰ γένη τὰ πράγματα*. (Ξενοφ. Ἀπομν. Δ, ε', 12).

Εἶπον δέ τινες[1] ὅτι τὸ δαιμόνιον, ἡ θεία φωνή, ἦν ἡ φωνὴ τῆς συνειδήσεως· ἀλλ' ἡ γνώμη αὕτη πολλὰ ἔχει τὰ ἀντιστρατευόμενα, πρῶτον μὲν ἡ μεταφορά, *φωνὴ τῆς συνειδήσεως* ἣν ὅλως ἄχρηστος ἐπὶ Σωκράτους· εἶτα ἡ συνείδησις ἐκτείνεται εἴς τε τὰ γενόμενα εἴς τε τὰ γιγνόμενα καὶ εἰς τὰ ἐσόμενα, τὸ δὲ δαιμόνιον μόνον εἰς τὰ μέλλοντα γενήσεσθαι περιορίζεται· τρίτον ὁ Σωκράτης καὶ οἱ περὶ αὐτὸν μετά τινος εἰρωνείας καὶ εὐτραπελίας ἐνίοτε λαλοῦσι περὶ τοῦ δαιμονίου, οὐδεὶς ὅμως πρὸς τὴν ἑαυτοῦ συνείδησιν χαριεντίζεται· τέταρτον ἡ συνείδησις ἐπιδοκιμάζει καὶ ἀποδοκιμάζει, ἡ δὲ δαιμονία φωνὴ μόνον ἀποτρέπει.

Κρίσεις Fouillée καὶ Vacherot περὶ δαιμονίου.

§ 57. Ὁ Fouillée ἐν ἰδίῳ κεφαλαίῳ *Du Démon de Socrate* II, 266—316 ἐκτενῶς περὶ τοῦ Δαιμονίου πραγματεύεται ἀναπτύσσων τὰ τοῦ Ζελλέρου καὶ ἰδίας ἐκφέρων κρίσεις, ἐξ ὧν ἀποσπῶμεν τὰ κυριώτερα.

Οὐδένα λανθάνει, φησίν, ἡ μεγάλη προσοχή, ἣν ὁ Σωκράτης πᾶσι τοῖς ἐν αὐτῷ συμβαίνουσι παρεῖχεν· ἔβλεπεν ἐν τοῖς μυχαιτάτοις τῆς ἑαυτοῦ ψυχῆς πλῆθος συμβαινόντων τῇ θελήσει ἀλλοτρίων, ἃ ἔλαττον προσέχοντι ἀπαρατήρητ' ἂν ἦσαν· μὴ δυνάμενος δὲ ταῦτα τὰ ἐκπληκτικὰ πολλάκις πράγματα, ἐν δὲ τῇ τοῦ αὐτομάτου περιοχῇ γιγνόμενα, ἑαυτῷ ἀπονεῖμαι, ἀπέδωκεν αὐτὰ θείᾳ τινὶ ἐνεργείᾳ ἐν αὐτῷ ἐμφανιζομένῃ, ἐκλαβὼν αὐτὰ ὡς ἀποκάλυψιν, ἣν οἱ θεοὶ μετ' εὐμενείας εἰσὶ διατεθειμένοι τοῖς ἀγαθοῖς παρέχειν ἀνδράσι· πιστεύων εἰς τὴν θείαν παγγνωσίαν οὐκ ἠδύνατο μὴ πιστεύειν εἰς εἶδός τι φυσικῆς ἀπακαλύψεως τοῖς ἐναρέτοις χορηγουμένης· εἰχέ τε δὲ καὶ ὑπερτάτην τοῦ ἠθικοῦ καὶ θρησκευτικοῦ αἰσθήματος λεπτότητα, ὃ τὴν μορφὴν ἠδύνατο προκαθήματος ἢ αἰφνιδίας ἀποκαλύψεως λαβεῖν· ἑνὶ λόγῳ τὸ αὐτόματον ἦν αὐτῷ τὸ θεῖον, τὸ δαιμόνιον· αὕτη δὲ ἡ δοξασία ἦν κοινὴ παντὶ τῷ ἀρχαίῳ κόσμῳ παραδεχομένῳ, ὅτι ἡ φυσικὴ ἔμπνευσις θεία ἐστίν, οἷα κατὰ Σωκράτην ἐν τῷ *Φαίδρῳ* ἡ τῆς μαντικῆς, ἡ τῆς ποιήσεως καὶ ἡ τοῦ ἔρωτος· οἱ ἀρχαῖοι πάντα προσωποποιεῖν εἰώθεσαν καὶ πρὸς τὰ ἔξω ὑπὸ μορφὰς τῇ φαντασίᾳ αἰσθητὰς ἐκφέρειν ὅ,τι ἐν τοῖς ἐνδομύχοις τῆς ψυχῆς ἐγίνετο· οἷον ὁ Πλάτων βουλόμενος τὴν ψυχὴν ἢ τὸ κρεῖττον αὐτῆς μόριον, τὸν νοῦν, χαρακτηρίσαι καλεῖ αὐτὴν *δαίμονα ἔνοικον, ἡγεμονικόν*.

Πάντα τὰ ἐν ἡμῖν σφοδρὰ αἰσθήματα φαίνονται ἡμῖν προερχόμενα ἐξ αἰτίας ἀλλοτρίας ἡμῶν αὐτῶν· νομίζομεν θεωρεῖν μᾶλλον ἢ παράγειν αὐτά· παρέχομεν αὐτοῖς ἐξωτερικὴν ὕπαρξιν, ἤ, ὡς φέρει τὸ Γαλλικὸν κείμενον, *ἀντικειμενίζομεν*· οὕτως εἰπεῖν ὅ,τι ἁπλῶς ὑποκειμενικόν ἐστι *(nous objectivons en quelque sorte ce qui est purement subjectif)*. Ἡ ψυχολογικὴ αὕτη ὀπτικὴ ἀπάτη κατὰ τὴν ἐπιτυχῆ ἔκφρασιν τοῦ Stapfer (illusion d'optique psychologique) καθ' ἑκάστην συμβαίνει· ὁ ἠττώμενος ὑπὸ τῆς ὀργῆς ἢ τοῦ πάθους πιστεύει ὅτι δύναμίς τις ἔξωθεν ὤθησεν αὐτὸν καὶ παρέσυρε γινομένη κυρία αὐτοῦ· ἐκ δὲ τῶν τῆς ψυχῆς τὰ τῷ αὐταμάτῳ ἀνήκοντα παρέχουσι μᾶλλον τὸν χαρακτῆρα τῶν ἐκ θείας προνοίας χαρίτων καὶ τῶν θείων ἐμπνεύσεων.

Ἡ δύναμις τῆς ἐμπνεύσεως πάσῃ ψυχῇ ἀνήκει· *μαντικόν γέ τι καὶ ἡ ψυχή*, λέγει ὁ Σωκράτης ἐν τῷ *Φαίδρῳ*. Στρεψάτω ἕκαστος τὸ βλέμμα αὐτοῦ πρὸς τὰ ἐντός, ἀκουσάτω τὰς *ὑποκώφους φωνὰς* τὰς ἐν τοῖς μυχίοις τῆς ἑαυτοῦ ψυχῆς λαλούσας, ἐπιχειρησάτω συλλαβεῖν τὰς αἰφνιδίους ὁρμὰς τοῦ αὐτομάτου, καὶ ὑποβαλεῖν αὐτὰς ἀμετακινήτους εἰς τὸ τῆς σκέψεως ὅμμα, καὶ αἰσθήσεται ἐν ἑαυτῷ ξένον τι καὶ ἀπρόσωπον, ὅπερ δοκεῖ εἶναι τῆς καθολικῆς ζωῆς ἐνέργεια, τῇ ἑαυτοῦ ἀναμιγνυομένη, μοῖρα τῆς φύσεως ἐν τῇ ἀνθρωπότητι, τοῦ ἑτέρου ἐν τῷ ἐμῷ (*the non-moi dans le moi*), ἡ κάλλιον εἰπεῖν, μοῖρα τοῦ θείου ἐν τῷ ἀνθρώπῳ. Ἔξεστι παραδέξασθαι, ὅτι ἡ ψυχὴ μερονωμένη ἐστίν, οὐδεμίαν *δεχομένη ἀντιτυπίαν* τοῦ κόσμου, οὐδεμίαν. ἀποδιδοῦσα ἠχὼ τοῦ περικυκλοῦντος αὐτήν;

Ἐν ἡμῖν εἰσιν αἰσθήσεις ἀμυδραὶ καὶ οἱονεὶ ἀνεπαίσθητοι διὰ τὴν σμικρότητα ἢ διὰ τὴν συνέχειαν αὐτῶν· ἀλλ' ἐνίοτε πᾶσαι αὗται αἱ μικραὶ αἰσθήσεις συσσωρευόμεναι ἐξογκοῦνται αἴφνης, ὥστε ἐν τῇ φαινομένῃ σιγηλῇ καταστάσει τῆς συνειδήσεως ἀπροσδόκητος διεγείρεται φωνὴ ἄνευ γνωστοῦ ἡμῖν λόγου· αἰσθημά τι παράγεται καὶ συγκινεῖ ἡμᾶς ἀγνοοῦντας

1) Stapfer. *Biographie Universelle*, Tom. XLII, *Socrate. Brandis Gesch. der Griech. Philos. II*, 60. Ἴδ. Zeller, II, 1, 78.

τὴν τῆς συγκινήσεως αἰτίαν. Αἰφνίδιος ἀθυμία ἢ αὐτόματος χαρά, φόβος μωρός, ἢ μωρὰ ἐλπίς, παράδοξον προαίσθημα, δι' οὗ ἡ ψυχὴ φαίνεται ἐν ἑαυτῇ ἀντιλαμβανομένη τῆς ἀνταυγείας τῶν εὐτυχῶν ἢ δυστυχῶν πραγμάτων, ἃ μέλλει ἡμῖν πράξειν ἡ ζωὴ ἡμῶν, ἢ καὶ ἡ γενική. Τὰ πράγματα συνωθοῦνται καὶ συνακολουθοῦσιν ἀλλήλοις ἐν ἡμῖν αὐτοῖς ἢ περὶ ἡμῶν, ὡς τὰ κύματα τῆς θαλάσσης. "Ἕκαστον παρέχει ἦχον ἀνεπαίσθητον διὰ τὴν σμικρότητα αὐτοῦ· ἀλλ' ἐνίοτε οἱ ἦχοι συσσωρεύονται καὶ ἐξαγκοῦνται, αἴφνης δὲ βοή, ὡς ἡ τῆς θαλάσσης, ἐγείρεται. «Αἱ μικραὶ αὗται ἀντιλήψεις, λέγει ὁ Λεϊβνήτιος, ἀποτελεσματικώτεραί εἰσιν ἢ ὅσον νομίζεται· διότι αὗται παράγουσι τὸ οὐκ οἶδ' ὅτι, τὰς κλίσεις ταύτας, τὰς εἰκόνας ταύτας τῶν αἰσθήσεων, σαφεῖς μὲν ἐν τῷ καθόλου, συγκεχυμένας δὲ ἐν τοῖς καθ' ἕκαστον, τὰς ἐντυπώσεις ταύτας, ἐμποιουμένας μὲν ἡμῖν ὑπὸ τῶν περικυκλούντων πραγμάτων, περιλαμβανούσας δὲ τὸ ἄπειρον, τὴν σχέσιν ταύτην ἣν ἕκαστον ἔχει πρὸς τὰ ἄλλα πράγματα τῆς οἰκουμένης. Δύναταί τις μάλιστα εἰπεῖν ὅτι διὰ τὰς μικρὰς ταύτας ἀντιλήψεις τὸ παρὸν πλῆρές ἐστι τοῦ μέλλοντος, βρίθει δὲ καὶ τοῦ παρελθόντος, τὰ πάντα εἰσὶν ἐν πλήρει ἁρμονίᾳ, *πάντα σύμπνοια*, ὡς ἔλεγεν Ἱπποκράτης, καὶ ἐν ταῖς ἐλαχίσταις τῶν οὐσιῶν οἱ ὀξυδερκεῖς ὀφθαλμοί, ὡς οἱ τῶν θεῶν, δύνανται πᾶσαν τὴν συνέχειαν τῶν τῆς οἰκουμένης πραγμάτων ἀναγνῶναι, *τά τ' ἐόντα, τά τ' ἐσόμενα πρό τ' ἐόντα*· αἱ ἀντιλήψεις αὗται δύνανται τὸ μέσον πκρέχειν τοῦ ἀνευρίσκειν τὴν ἀνάμνησιν ἐν ἀνάγκῃ διὰ τῶν ἐνδεχομένων συμβῆναι περισδικῶν ἀναπτύξεων· ἡ ψυχὴ ἠδύνατο πάνυ πόρρωθεν ἑαυτῆς ἀναμιμνήσκεσθαι, εἰ τὰ σημεῖα αὐτῆς ἐξελίσσειν ἐγίνωσκεν».

Οἱ λόγοι οὗτοι τοῦ Λεϊβνητίου ἐν ἁρμονίᾳ εἰσὶ ταῖς θεωρίαις τοῦ Σωκράτους καὶ Πλάτωνος. Ὁ Σωκράτης οὐκ ἐδέχετο ὅτι ἡ ψυχὴ ἔγκυός ἐστι τῆς ἀληθείας; ὅτι τὸ μανθάνειν ἐστὶν ἀναμιμνήσκεσθαι, τὸ δὲ γινώσκειν ἀναγινώσκειν ἐν ἑαυτῷ; ὑπάρχουσιν αἰφνίδιοι *ἀναμνήσεις*, ἐν ἡμῖν αὐτοῖς ὑπ' αἰτίων ἀνεπαισθήτων προκαλούμεναι· ὡσαύτως δὲ καὶ *προγνώσεις* αἰφνίδιαι ὑπάρχουσιν, ἃς μάτην ὁ λογισμὸς ἐρμηνεῦσαι ἀγωνίζεται, διότι ἐκ τῆς ἐπικρατείας τοῦ αὐτομάτου προέρχονται. Ταῦτά εἰσιν ἡ μοῖρα ἐν ἡμῖν τῆς Εἱμαρμένης, ἢ μᾶλλον ἡ μοῖρα τῆς θείας προνοίας, ἣν ὁ Σωκράτης ἐν παντὶ τοῦ κόσμου πράγματι παρεῖναι ὑπελάμβανεν. «Ἑκάστου λοιπὸν ψυχὴ *προφητικόν τι, μαντικόν τί ἐστιν*, ἐν ἑαυτῇ θεῖόν τι καὶ δαιμόνιον ἔχουσα.

Αἴσθημα ἠθικόν, αἴσθημα θρησκευτικόν, κοινὴ αἴσθησις (sens commun), πρακτικὴ σύνεσις, προαίσθημα τοῦ μέλλοντος, πάντα μορφαί εἰσι τοῦ φυσικοῦ τούτου ὁρμεμφύτου· ἐξάρατε αὐτὸ διὰ τῆς ἔσωθεν μελέτης, διὰ τῆς ἕξεως τῆς ἀρετῆς καὶ τῆς εὐσεβείας, καὶ ἐν ἡμῖν αὐτοῖς τὸ εἶδος τοῦτο τῆς μαντικῆς ἕξετε, ὅπερ ὁ Σωκράτης ἐν ἑαυτῷ αἰσθάνεσθαι ὑπελάμβανε.

Καίτοι ὁ Σωκράτης ἐπίστευεν ὅτι ἑκάστῳ ἀνθρώπῳ οἱ θεοὶ σημαίνειν ἠδύνκντο, ἤτοι διὰ μαντικῶν σημείων δηλοῦν τὸ μέλλον, ἐνόμιζεν ἑαυτὸν εἶναι προνομιοῦχον, εἴτε ὡς μᾶλλον τῶν ἄλλων προσέχοντα τῇ ἐνεργείᾳ τοῦ θείου ἐν ἑαυτῷ ἢ περὶ αὐτόν, εἴτε ὡς ἐπιτετραμμένον εἰδικήν τινα ἀποστολήν.

Ἡ μορφὴ τῶν σημείων τούτων, ἃ ὁ Σωκράτης ἐνόμιζεν ἐν ἑαυτῷ αἰσθάνεσθαι, ἦν κατὰ τὸν Ξενοφῶντα[1] φωνή τις· ἀλλὰ τῆς λέξεως *φωνῆς* παρὰ πάσαις ταῖς γλώσσαις τοσαύτη γίνεται μεταφορικὴ χρῆσις, ὥστε οὐ πάνυ σαφῶς γινώσκομεν τίνα ἔννοιαν αὐτῇ ὁ Σωκράτης ἀπένεμεν· ἁπλῆ εἰκονικὴ μεταφορὰ οὐκ ἦν· ἀλλ' ἦν αὐθις *πραγματικὴ παραίσθησις (hallucination)* τῆς ἀκοῆς; Νομίζομεν ὅτι μεταξὺ τῶν ἄκρων μέσον τί ἐστιν. Ἡ παραίσθησις συνίσταται ἐν τῷ ἀκούειν φωνῆς ἔξωθεν ἐρχομένης, ὡς εἰ τὸ οὗς ὑπὸ πραγματικοῦ ἤχου προσεβάλλετο· ἀλλ' ἀρά γε οὐκ ἔστι φωνὴ ἐνδόμυχος[2] οὐδὲν ἄλλο οὖσα ἢ ὁ ἐνδιάθετος λόγος αἴφνης κατὰ τὸ μᾶλλον ἢ ἧττον πρὸς ἑαυτὸν διαλεγόμενος; Εἰώθαμεν καθ' ἑαυτοὺς διανοούμενοι λέξεις προφέρειν. Πᾶσα ἰδέα καὶ ἐν αὐτῇ τῇ ἐνδομύχῳ μελέτῃ σῶμα ὑποδύεται, καὶ περιβάλλεται ἦχον *εἰκονικὸν (son imagé)* εἰ μὴ ἀκουστόν· αἴσθημα αἰφνίδιον, ἰδέα ἀπροσδόκητος, ταραχή τις ἀνησυχίας ἢ φόβου, δύνανται ἐν τῇ συνειδήσει ἐν ἀορίστοις λέξεσιν ἐκφρασθῆναι, καὶ τὸ αἰφνίδιον τοῦ συμβαίνοντος παρέχει αὐτῷ τὴν δόκησιν τοῦ ἀπροσώπου. Τοῦτο μὲν καθίστησιν εὐεξηγήτους τὰς φράσεις ταύτας τὰς μεταφορικάς, τοῦτο δὲ ἀκριβεῖς, ἐν πάσαις ταῖς γλώσσαις ἀπαντώσας, *ἡ φωνὴ τῆς συνειδήσεως, ἡ φωνὴ τοῦ πάθους, ἡ φωνὴ τοῦ μύσους ἢ τοῦ ἔρωτος, ἡ φωνὴ τῆς καρδίας*· ἐνίοτε μέλλων τις ἐνεργεῖν, λέγει αἴφνης ἐν ἑαυτῷ, *μέλλω κακόν τι πράξειν*, ἢ διχοτομῶν ἑαυτὸν εἰς δύο πρόσωπα, *μέλλεις κακόν τι πράξειν* Ἡ φωνὴ αὕτη ἐστὶν ἡ ἡμετέρα· ἔστιν ὅμως οὕτως αὐτόματος, ὥστε φαίνεται ἔλασσον ἐξ ἡμῶν ἐρχομένη ἢ ἐκ θείας τινὸς προνοίας ἐν ἡμῖν ἐδρευούσης· αἱ ἰδέαι αὗται αἴφνης ἐπερχόμεναί εἰσιν ἐμπνεύσεις καλαὶ ἢ κακαί, εἰς πειρασμὸν ἡμᾶς ἐμβαλλούσας ἢ ἐμψυχούσας εἰς τὸ ἀγαθόν, ἃς οἱ ἀπαίδευτοι ὡς ὑπερφυσικὰς φαντάζονται φωνάς.

Ὁ Σωκράτης ζῶν ἐν χρόνοις καθ' οὓς ἡ γνῶσις τῶν νόμων τῆς φύσεως ἦν ἔτι ἐν τοῖς σπαργάνοις, ἔχων δὲ καὶ τὴν φαντασίαν ἐξημμένην ὑπὸ τοῦ θρησκευτικοῦ αἰσθήματος, ἀπένεμε τῇ προνοίᾳ πάσας ταύτας τὰς αὐτομάτους ἐμπνεύσεις καὶ ἐκάλει αὐτὰς θείας φωνάς[1]. Τοῦτο οὐκ ἔστι φυσιολογικὴ[2] παραίσθησις, ἀλλ', ἂν θέλῃς, ψυχολογική, τουτέστιν ἁπλῆ ἀπάτη, ἐνδόμυχος σύγχυσις τοῦ ὑποκειμενικοῦ καὶ ἀντικειμενικοῦ. Ὁ Σωκράτης, ὅπως οὕτω λεπτὸν πρᾶγμα καὶ τοῖς ἄλλοις ἅληπτον ἑρμηνεύσῃ, ἠναγκάσθη τὴν γλῶσσαν αὐτοῦ ἀκριβέστερον τοῦ δέοντος καὶ πέρα τῆς διανοίας αὐτοῦ ὁρίσαι, μεταχειρισάμενος τὴν φράσιν, *ἡ φωνὴ τοῦ δαιμονίου*, ἥτις οὐκ εἰς τὸ οὗς ἀλλ' εἰς τὴν ψυχὴν ἀπευθύνεται.

Ὁ Σωκράτης ἀναγκάζεται λαλεῖν τοῖς Ἀθηναίοις τὴν ἑαυτῶν γλῶσσαν[3], ὅπως καταληπτὸς γένηται, καὶ ἀνελογίαν δέ τινα ἐν ταῖς προφητικαῖς φωναῖς καὶ ἐν ταῖς ἔσωθεν δηλώσεσι διορᾷ. Ἡ ἀναλογία φυσικὴ ἐστιν, ἀλλ' οὐκ ἔξεστιν ἐκ τούτου συναγαγεῖν ὅτι τὸ ἐνδόμυχον τοῦ Σωκράτους χρηστήριον ἦν ἦχος ἔξωθεν ἐρχόμενος καὶ παραίσθησις τῆς ἀκοῆς.

Ἡ φυσικωτέρα μορφὴ τοῦ προαισθήματος φαίνεται μᾶλλον ἡ ἀποτρέπουσα ἢ ἡ προτρέπουσα. Φίλος τις ἐμπιστεύεταί σοι σκοπόν τινα· ὁ σκοπὸς οὗτος προσκρούει σοι, καὶ ἐνίοτε οὐκ ἀρέσκει σοι, καίτοι οὐ δύνασαι λόγον δοῦναι τῆς ἀποδοκιμασίας σου· αὕτη δὲ ἡ αὐτόματος ἀποδοκιμασία καθίστησι τὸ προαίσθημα· παρατηρεῖ τις κάλλιον ὅ,τι προσκρούει ἢ ὅ,τι εὐαρεστεῖ, διότι μᾶλλον αἰφνίδιον καὶ ἐντονώτερόν ἐστιν. Ἕτερον παράδειγμα· καθ' ἣν ὥραν μέλλετε πράξειν τι καταλαμβάνεσθε αἴφνης ὑπὸ ἀνησυχίας, δισταγμοὶ διέρχονται τὸν νοῦν ὑμῶν· ἀορίστως πως δυσχερείας διορᾶτε ἢ δυσάρεστα ἀποτελέσματα· οὕτω κωλύεσθε ὑπό τινος προαισθήματος· παρατηρεῖτε δὲ τὸ συμβάν, διότι ἀρνητικόν ἐστιν· ὥθησίς τις ἐπιτυγχάνει τὴν ἤδη λαβοῦσαν ἀρχὴν κίνησιν, αὕτη διέρχεται ἀνεπαίσθητος· διακόπτει ὅμως τι τὴν κίνησιν καὶ ἄγει ἡμᾶς πρὸς τὰ ὀπίσω, τοῦτο οὐ διέρχεται ἀνεπαίσθητον.

Τὰ προαισθήματα τοῦ Σωκράτους εἶχον τὴν ἀρνητικὴν ταύτην μορφήν, *τὴν ἀποτροπήν*. Ὁ Ξενοφῶν οὐ λέγει τοῦτο οὕτω σαφῶς, ὡς ὁ Πλάτων, λέγει μάλιστα ὅτι τὸ δαιμόνιον προεσήμαινε τῷ Σωκράτει τί χρὴ ποιεῖν καὶ τί μὴ ποιεῖν. Ἀλλ' ἡ θεία συνάντησις ἠδύνατο καὶ δι' ἀποχῆς δηλωθῆναι, ἡ δὲ ἀποτροπὴ οὐκ ἄλλως ἠδύνατο σημανθῆναι ἢ διὰ πράξεως ἀντιλητῆς.

Πάντα τὰ χωρία τῆς *Ἀπολογίας*, ἐν οἷς γίνεται λόγος περὶ τοῦ δαιμονίου, ἑρμηνεύονται καθ' ἡμᾶς φυσικῶς διὰ τῆς *φωνῆς τῆς συνει-*

---

1) Ὁ Ξενοφῶν οὐδαμοῦ λέγει ὅτι τὸ δαιμόνιον ἦν φωνή τις· μόνον ἐν τῇ *Ἀπολογίᾳ* λέγεται, «θεοῦ μοι φωνὴ φαίνεται σημαίνουσα ὅ,τι χρὴ ποιεῖν». Ἀλλ' ἡ *Ἀπολογία* οὐκ ἔστι γνήσιον τοῦ Ξενοφῶντος σύγγραμμα. Η. Β.

2) Τοιαύτην ἐνδόμυχον φωνὴν ἐδέχετο ὁ Ὠριγένης, δι' ἧς ὁ ἄνθρωπος ἔρχεται εἰς κοινωνίαν τῷ Θεῷ. «Ἰστέον γὰρ ὅτι ἐστί τις καὶ τοῦ κρυπτοῦ τῆς καρδίας *ἀνθρώπου φωνὴ μὴ συγχρωμένη* τοῦ σώματος, ἣν ἔσθ' ὅτε εἰς αὐτὸν συναχθεὶς καὶ εἰσελθὼν τὸ ταμιεῖόν σου, καὶ τὴν θύραν τῶν αἰσθητηρίων ἀποκλείσας, καί πως γενόμενος ἔξω σώματος ἀναπέμπει πρὸς τὸν μόνον ἀκούοντα τοιαύτης φωνῆς». Ἀλλὰ τοιαύτην ἐνδόμυχον φωνὴν καί τινες τῶν παραισθητικῶν ὁμολογοῦσιν ὅτι αἰσθάνονται, διατεινόμενοι ὅτι ἔσω ἐν τῷ νῷ αὐτῶν ἀκούουσι φωνήν τινα. Τὴν παραίσθησιν ταύτην οἱ ἰατροὶ καλοῦσι ψυχικήν. Η. Β.

1) Ὁ Σωκράτης οὔτε τῷ πληθυντικῷ ἐχρήσατο οὔτε τῷ ἑνικῷ, *θείᾳ φωνῇ* ἢ *δαιμονίᾳ φωνῇ*, ὡς οὐδὲ τῇ ἑτέρᾳ φράσει, φωνῇ τοῦ δαιμονίου· διότι τὸ δαιμόνιον ἦν αὐτὴ ἡ φωνή, ὡς σαφέστατα λέγει τοῦτο ὁ Σωκράτης ἐν τῇ *Ἀπολογίᾳ*. Η. Β

2) Ἡ λέξις *φυσιολογικὴ* ἄλλως ἐκλαμβάνεται παρὰ τῶν φιλοσόφων καὶ ἄλλως παρὰ τῶν ἰατρῶν· οἷον οἱ μὲν φιλόσοφοι ἀντιτάσσουσι τὴν φυσιολογικὴν πρὸς τὴν ψυχολογικήν· ὥστε φυσιολογικὴ παραίσθησίς ἐστιν ἡ ἔχουσα τὴν ἀρχὴν ἐκ ταραχῆς τινος τῶν αἰσθητηρίων, ψυχολογικὴ δὲ ἡ ἔχουσα τὴν ἀρχὴν ἐκ τῆς ψυχῆς, οἱ δὲ ἰατροὶ τὴν φυσιολογικὴν κατάστασιν ἀντιτάσσουσι πρὸς τὴν παθολογικήν· ὥστε φυσιολογικὴ παραίσθησίς ἐστιν ἡ ἄνευ ταραχῆς ἢ βλάβης τῶν αἰσθητηρίων ἢ τῆς ψυχῆς. Η. Β.

3) Ἡ λέξις δαιμόνιον οὐδόλως ἦν ἐν χρήσει παρὰ τοῖς Ἀθηναίοις πρὸ τοῦ Σωκράτους ὡς ὀρθῶς λέγει ὁ σεβαστὸς ἡμῖν φίλος Γ. Ἐϊχθάλ· «καθ' ἃς ἐγὼ αὐτὸς ἐποιησάμην ἐρεύνας, καὶ καθ' ἃς ἑτέρωθεν ἠδυνήθην λαβεῖν πληροφορίας τὸ ὄνομα τοῦτο οὐχ ὑπῆρχε πρὸ τοῦ Σωκράτους»· καὶ ἐπειδὴ τὸ ὄνομα ἦν καινὸν μετεχειρίσαντο αὐτὸ ἐπιτηδείως οἱ κατήγοροι πρὸς ἀπόδειξιν ὅτι ὁ Σωκράτης εἰσέφερε καινὰ δαιμόνια. Η. Β.

σήσεως[1]. ἀλλ' ὁμολογούμενόν ἐστιν ὅτι αὐτὸς ὁ Σωκράτης ἑρμηνείαν παρεῖχεν ἧττον φυσικήν, ἐνορῶν ὑπερφυσικόν τι, προνοητικόν, θεῖον· οὐδεὶς ἀρνήσεται τὸν ὑπερβάλλοντα μυστικισμόν, ὃς ὑποφαίνεται ἐν ταύτῃ τῇ πίστει τοῦ Σωκράτους εἰς ἀποστολὴν ἐμπιστευθεῖσαν παρὰ τοῦ θεοῦ καὶ εἰς σημεῖα ἄνωθεν παρὰ τοῦ θεοῦ πεμπόμενα.

Ἐκ τῶν εἰρημένων ὁ Fouillée ἐξάγει τὰ ἑξῆς συμπεράσματα.

α'. Αἱ ἐνέργειαι τοῦ δαιμονίου, περὶ ὧν ὁ Σωκράτης λαλεῖ, φιλοσοφικῶς ἐξεταζόμεναι, καταλήγουσιν εἰς ἐνεργείας τῆς αὐτομάτου ἐποπτείας (de l'intuition spontanée).

Ὁ Σωκράτης καὶ οἱ μαθηταὶ αὐτοῦ ἔρρεπον τὰς τοιαύτας ἐνεργείας ἐκλαμβάνειν ὡς ὑπερφυσικάς· τοῦτο μὲν ἡ αὐτόματος ἐποπτεία, δι' ἧς τὸ πνεῦμα ἀληθειάν τινα συλλαμβάνει, ἐφαίνετο αὐτοῖς *ἀνάμνησις* (ἡ νόησις, κατὰ Πλάτωνα, ἀνάμνησίς ἐστι), τοῦτο δὲ ἡ αὐτόματος ὡσαύτως ἐποπτεία, δι' ἧς τὸ πνεῦμα περὶ τοῦ μέλλοντος κρίνει, ἐφαίνετο αὐτοῖς *πρόγνωσις*.

Ὁ Πλάτων ἐξέτεινεν οὕτως εἴς τε τὸ παρελθὸν καὶ εἰς τὸ μέλλον τὴν σειρὰν τῶν ἐννοιῶν, ἃς ὑπελάμβανεν ἄλυσιν συνεχῆ, ἧς οἱ κρίκοι συγκρατοῦνται, ὥστε ἀμοιβαίαν παρεδέχετο ἐμπλοκὴν (implication) τῶν ἰδεῶν δι' ἧς ἡ μία καλεῖ πάσας τὰς ἄλλας. Ἐνόμιζε δὲ σὺν τῷ Σωκράτει ὅτι ἡ ψυχὴ πάσας τὰς ἀληθείας περιλαμβάνει ὧν οἱονεὶ ἔγκυός ἐστιν.

Ἐκ τούτων τῶν ἀληθειῶν ὁ Σωκράτης καὶ ὁ Πλάτων οὐκ ἀπέκλειον τὰς εἰς τὸ μέλλον ἀφορώσας· διότι τὸ μέλλον ἦν τὸ ἀπαραίτητον ἐπακολούθημα τοῦ παρόντος. Εἱμαρμένη ἡ Πρόνοια ἦν κατ' αὐτούς *ἀνάγκη*, τὸ δὲ αὐτεξούσιον ἐν ταῖς θεωρίαις αὐτῶν μικρὸν κατεῖχε μοῖραν.

Ὅς ἂν οὖν ἑαυτὸν γνῷ τέλεον κατὰ τὸ ἐν Δελφοῖς γράμμα καὶ ἐν τῇ ψυχῇ αὐτοῦ δυνηθῇ ἀναγνῶναι, οὗτος ἐνίοτε ὄψεται τὸ ἀπόκρυφον ἀπαύγασμα τοῦ ἔτι ἐμβρύου ὄντος καὶ ὅσον οὔπω γεννηθησομένου.

Τοιαύτη ἐστὶν ἡ φιλοσοφικὴ θεωρία, εἰς ἣν δύναταί τις τὴν δεισιδαίμονα τοῦ Σωκράτους πίστιν εἰς τὸ προαίσθημα προσαρτήσασθαι, στενὴν ἐμφαίνουσα σχέσιν πρὸς τὴν Πλατωνικὴν θεωρίαν τῆς ἀναμνήσεως.

β'. . . . . .

Τὸ δαιμόνιόν ἐστιν ὁ ἔρως.

γ'. Ὁ αὐτόματος καὶ περιπαθὴς χαρακτὴρ τοῦ προαισθήματος παρέχει αὐτῷ ὄψιν τελείου ἀπροσώπου· ὡς ἐν παντὶ πάθει ἡ ψυχὴ οὐ φαίνεται ἐνεργοῦσα, ἀλλὰ πάσχουσα, οὕτως ἐνίοτε καὶ ἐν τῇ ἀναμνήσει. Τοῦτό ἐστιν ἐν ἡμῖν τὸ ἀποτέλεσμα τῶν κρατούντων ἡμῶν νόμων· οἱ νόμοι οὗτοι θεῖον καὶ προνοητικὸν παρέχουσι χαρακτῆρα. Ὁ δὲ Σωκράτης, ἔνθερμος ζηλωτὴς τῆς καθολικῆς προνοίας, ἅσμενος τῇ θεότητι ἀπένεμεν ὅ,τι ἐμάνθανεν, οἱονδήποτε ἦν τὸ ὑποκείμενον, πολλῷ δὲ μᾶλλον τὰ ἀφορῶντα εἰς τὸ μέλλον· ὅ,τι τὸ πνεῦμα ἡμῶν συλλαμβάνει, εἴτε ὡς ἀνάμνησιν εἴτε ὡς πρόγνωσιν, συλλαμβάνει αὐτὸ τῇ τοῦ θεοῦ ἀρωγῇ, *ξὺν θεῷ*. Ὁ Σωκράτης συνδιαλεγόμενος τῷ Φιλήβῳ ἀναμιμνήσκεται αἴφνης θεωρίας τινὸς εἰς λήθην περιελθούσης, ὁμολογεῖ χάριτας τῷ θεῷ· πρόκειται λόγος περὶ λύσεως δυσκόλου τινὸς προβλήματος οἷον τὸ περὶ τοῦ κρατίστου ἀγαθοῦ; εὔχεται τῷ θεῷ ἐμπνεῦσαι αὐτόν· ἡ συνείδησις αὐτοῦ ἐλέγχει ἁμάρτημά τι διαπραχθὲν ὡς ἐν τῷ *Φαίδρῳ*· τοῦτο ἐπιτίμησίς ἐστι θεία. Τέλος προαισθάνεται δυστυχίαν τινὰ ἀπειλοῦσαν τοῖς φίλοις αὐτοῦ, ὁ θεὸς ἔρχεται αὐτῷ εἰς ἀρωγήν. Κατὰ ταύτην τὴν θεωρίαν τὸ δαιμόνιον τοῦ Σωκράτους ἡ Προνοιά ἐστι.

δ'. Τοῖς φιλοσοφικοῖς τούτοις στοιχείοις προστεθήσεται καὶ μυθικόν τι στοιχεῖον, ὡς ἦν εἰκὸς περιμένειν τοῦτο παρὰ τοῦ διδασκάλου τοῦ Πλάτωνος.

Ἡ Πρόνοιά ἐστιν ὁ ἔρως τοῦ θεοῦ πρὸς τοὺς ἀνθρώπους, ἀντιστοιχῶν τῷ ἔρωτι τῶν ἀνθρώπων πρὸς τὸν θεὸν ἢ τῷ πρὸς ἀλλήλους· ὁ ἔρως δεσμός ἐστι, θρησκεία, μεσίτης τιθεὶς εἰς σχέσιν τοὺς ἀνθρώπους πρὸς τὸν θεόν· ἡ δὲ ἑλληνικὴ λατρεία τὴν μεσιτείαν ταύτην ἀπένεμε τοῖς *δαίμοσιν*· ὁ Σωκράτης ἀναλογίαν τινὰ διαρῇ ἐν τοῖς ἔσωθεν προκειμένοις καὶ τοῖς δαίμοσι τούτοις τῆς μυθολογίας· ταύτην δὲ τὴν ἀναλογίαν ἐκφράζει διὰ τῆς λέξεως δαιμόνιον. Τὸ δαιμόνιον ἄρα τοῦ Σωκράτους ἀποβαίνει ἔμπνευσις ἀνάλογος τῇ τῶν δαιμόνων.

ε'. Ἡ φαντασία ἅπαξ εἰς ἐνέργειαν τεθεῖσα τὴν ἑαυτῆς βαδίζει πορείαν· ὁ Σωκράτης, φαίη ἄν τις, ἐπὶ μᾶλλον καὶ μᾶλλον αὐθυπόστατον παρέχει ὕπαρξιν, *ἀντικειμενίζει (objective)*, τὴν ἰδίαν αὐτοῦ διάνοιαν καὶ τὰς λέξεις αἷς αὕτη αὐτομάτως ἑαυτὴν περιβάλλει. Ἡ ἐποπτεία αὐτοῦ ἅμα συλληφθεῖσα καὶ ἐν λέξει σπαργανωθεῖσα φαίνεται αὐτῷ *φωνή* ἐκ τοῦ βάθους τῆς συνειδήσεως αὐτοῦ ἀναβρύουσα· ὡς ὁ ἀπαδὸς τοῦ ἀπροσώπου λόγου (de la raison impersonelle) τὴν ἐνέργειαν θεοποιεῖ, δι' ἧς τὰς ἀναγκαίας συλλαμβάνει ἀληθείας καὶ πιστεύει ὅτι ὁ θεὸς ἐν αὐτῷ νοεῖ, οὕτω καὶ ὁ

1) Ἰδ. σελ. 233.

Σωκράτης τὰ προαισθήματα αὐτοῦ θεοποιεῖ καὶ διορᾷ χρηστήριον ἐνδάμυχον. Πλάνη τοῦ λογισμοῦ, μυστικὴ ἀπορρόφησις τοῦ ἀνθρώπου ἐν τῷ θεῷ, ἁπτὴ τῆς ἐνδομύχου αἰσθήσεως (du sens intime), ἀλλ' οὐχὶ καὶ τῶν ἔξω αἰσθήσεων· ὥστε τὸ δαιμόνιον τοῦ Σωκράτους εἰδός τί ἐστι ψυχολογικῆς παραισθήσεως (hallucination psychologique).

Ἡ παραίσθησις αὕτη προέβη ποτὲ ἐς τοσοῦτον, ὥστε τὴν φυσιολογικὴν λαβεῖν μορφὴν ἦλθε τῇ ἀκοῇ ἀντιληπτοῦ; οὐδὲν δείκνυσι τοῦτο, οὐδ' ἔστιν ἄλλο χωρίον αὐθεντικὸν ὑπὲρ ταύτης τῆς ὑποθέσεως ὑπερμαχοῦν ἢ ἡ ἀόριστος ἐκείνη ἔκφρασις ἐν τῷ *Φαίδρῳ*, *καί τινα φωνὴν ἔδοξα αὐτόθεν ἀκοῦσαι*. Ἀλλὰ μεταφορὰ τοῦ Πλάτωνος, ὅσῳ ἂν ᾖ ταῖς εἰκόσι τολμηρά, οὐδαμῶς ἀρκεῖ τὴν περὶ παραφροσύνης ἀπόφασιν δικαιολογῆσαι, ἄλλως τε καὶ διότι ἐνταῦθα ἡ ἔκφρασις εὐτράπελός ἐστιν· ὁ Πλάτων πολλὰ ξένα ὑποβάλλει τῷ στόματι τοῦ Σωκράτους, ὡς αὐτὸς οὗτος ὁμολογεῖ· ἓν τούτων ἐστὶ καὶ ἡ φωνή, ἣν ἤκουσε κατὰ τὸν Ἰλισσόν. Δεισιδαίμων δοξασία οὐκ ἔστι παραίσθησις.

Ἀλλὰ καὶ εἰ εἶχεν ὁ Σωκράτης ἐνίοτε ὑπὸ τὴν ἐπιρροὴν φαντασίας ἐξημμένης ἀληθῆ παραίσθησιν, τὸν κόκκον τοῦτον τῆς παραφροσύνης, ὃν ἐν πᾶσι τοῖς μεγάλοις ἀνδράσιν ἀξιοῦσιν εὑρίσκειν, τί τοῦτο μέλει ἡμῖν; ἡ μόνη εὐχὴ ἡμῶν ἐστιν, ἵνα ἡ φύσις θαμειότερον τοιούτους παράγῃ παράφρονας, οἷος ὁ Σωκράτης».

Τὴν θεωρίαν ταύτην τοῦ Fouillée περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους κρίνων ὁ φιλόσοφος Vacherot, εἰσηγητὴς τῆς ἐπιτροπῆς τῆς Ἀκαδημίας τῶν ἠθικῶν καὶ πολιτικῶν ἐπιστημῶν, ἧς ἦν μέλος καὶ ὁ Lélut, ἐπῆγε τὰ ἑξῆς. «Λείπεται τελευταῖον πρόβλημά τι τῆς φιλοσοφίας τοῦ Σωκράτους, πῶς νοητέον τὸ δαιμόνιον αὐτοῦ· ὅ,τι πρωτότυπόν ἐστιν ἐν τῇ περὶ δαιμονίου μελέτῃ τοῦ συγγραφέως οὐκ ἔστιν ἡ ἑρμηνεία, γνωστὴ ἤδη, ἂν σχεδὸν γενικῶς ἡ κριτική, παρὰ τὸ κῦρος σοφῶν φυσιολόγων, παραδέχεται, ἀλλ' ἡ ἀληθῶς εὐφυὴς αὐτοῦ μέθοδος, δι' ἧς τὴν ἑρμηνείαν ταύτην ἐξάγει οὐ μόνον ἐκ τινων κειμένων, ἀλλ' ἐκ τῆς τελείας ἀναλύσεως τῆς θεωρίας, τοῦ προσωπικοῦ χαρακτῆρος καὶ αὐτοῦ τοῦ βίου τοῦ Σωκράτους· δείκνυσι πῶς ἡ πίστις εἰς οἰκεῖον δαίμονα ἦν φυσικὸν ἀποτέλεσμα τῆς ἐμπνεύσεως, τοῦ ἔρωτος, τῆς βαθείας μελέτης, τῆς δυνάμεως τῆς θεωρίας καὶ τῆς ἔσωθεν ἐποπτείας, τῆς πίστεως εἰς τὴν θείαν ἐνέργειαν, ὁτὲ μὲν καθολικήν, ὁτὲ δὲ μερικήν, ἣν ὁ Σωκράτης ἐδέχετο ὡς πρόνοιαν, τέλος πασῶν τῶν θεωρητικῶν ἰδεῶν καὶ πρακτικῶν ἕξεων, ἃς ἔχει τις συλλέξαι ἐκ τῆς φιλοσοφικῆς θεωρίας καὶ τοῦ βίου τοῦ Σωκράτους. Καίτοι οὐκ ἔστι δυνατὸν ἄνευ παραβιασμοῦ τῆς ἑρμηνείας ἀφορμοιῶσαι τέλεον τὴν ἐνέργειαν τοῦ δαιμονίου τοῦ Σωκράτους, ἧς μοῖράν τινα ἔχει καὶ ἡ δεισιδαιμονία, τῇ ἐνεργείᾳ πάντων τῶν εἰρημένων αἰτίων, ὡς φαίνεται ποιῶν ὁ συγγραφεύς, βέβαιόν ἐστιν, ὅτι ἡ μέθοδος αὐτοῦ, ἀντὶ τοῦ ἐξετάσαι τὸ περὶ δαιμονίου ζήτημα καθ' ἑαυτό, θεῖσα αὐτὸ ἐν τῷ μέσῳ[1] τῶν ἐνεργειῶν πάντων τῶν προειρημένων, μεγάλως πρὸς φωτισμὸν τοῦ μυστηρίου συνήργησεν· εἰ ἡ ἐνέργεια τοῦ δαιμονίου τοῦ Σωκράτους μὴ ἦν μήτε ἔμπνευσις μήτε ἁπλοῦν ἀποτέλεσμα τῆς Σωκρατικῆς σοφίας εὐμοιρούσης ἐκτάκτου προορατικῆς δυνάμεως, ἀλλ' ἀληθὲς προαίσθημα τοῦ μέλλοντος ἐν ὡρισμέναις περιπτώσεσιν ἐκ τῆς βουλήσεως ἐξαρτωμέναις, οὐκ ἔστιν οἷόν τε ἀρνήσασθαι ὅτι τὸ αἴσθημα τοῦτο ἐν τελείᾳ ἐξῖν ἁρμονίᾳ πρὸς τῇ θεωρίᾳ καὶ τῇ προσωπικότητι τοῦ Σωκράτους.

Ὁ συγγραφεύς ἐστιν ὅτε οὐκ ἔδωκε, κατὰ τὸ ἔθος αὐτοῦ, πάνυ μεγάλην μεταφυσικὴν σημασίαν τῇ ἑρμηνείᾳ αὐτοῦ; Τοῦτο πιθανὸν καθίστησιν ἡ ἀνάγνωσις χωρίων τινῶν τῆς σπουδαίας ταύτης μελέτης, ἧς ὡς κορωνίδα ἐπιτίθησι τὸ ἑξῆς συμπέρασμα. «Ὁ Σωκράτης ζῶν ἐν χρόνοις, καθ' οὓς ἡ γνῶσις τῶν νόμων τῆς φύσεως ἦν ἔτι ἐν τοῖς σπαργάνοις, ἔχων δὲ καὶ τὴν φαντασίαν ἐξημμένην ὑπὸ τοῦ θρησκευτικοῦ αἰσθήματος, ἀπένεμε τῇ Προνοίᾳ πάσας τὰς αὐτομάτους ἐμπνεύσεις καὶ ἐκάλει αὐτὰς θείας φωνάς. Τοῦτο οὐκ ἔστι φυσιολογικὴ παραίσθησις, ἀλλὰ ψυχολογική».

Παραίσθησις οὐκ ἔστι λέξις ὀρθή, διότι τὴν κυρίως παραίσθησιν ποιεῖ ἡ φυσιολογικὴ κατάστασις. Ἡ μετάφορὰ τοῦ σοφοῦ Stapfer (le démon de Socrate n'est qu'une sorte d'illusion d'optique psychologique) ὀρθοτέρα ἐστίν. Ἔπειτα οἱ φυσιολόγοι καὶ οἱ φιλόσοφοι, διάφορον περὶ τούτου ἔχοντες γνώμην, οὐ διαφέρονται περὶ τοῦ εἰ ὁ Σωκράτης ἦν παράφρων

1) Ὅ τε συγγραφεὺς καὶ ὁ εἰσηγητὴς οὐ λαμβάνουσιν ὑπ' ὄψει ὅτι τὸ δαιμόνιον ἤρξατο τῶν ἐνεργειῶν αὐτοῦ ἐκ παιδικῆς ἡλικίας τοῦ Σωκράτους· ἦν δὲ δυνατὸν τῷ Σωκράτει κατέχειν ἐκ παιδικῆς ἡλικίας πάντα ταῦτα, ὅπως φυσικὸν αὐτῶν ἀποτέλεσμα ἢ ἡ πίστις εἰς τὸ δαιμόνιον;

ἢ φρόνιμος, διότι καὶ οἱ φυσιολόγοι, προεξάρχοντος τοῦ Lélut[1], μετὰ σεβασμοῦ ὁμολογοῦσι τὴν βαθεῖαν σοφίαν τοῦ Ἀθηναίου φιλοσόφου, ἀλλὰ περὶ τοῦ εἰ ὄντως ὁ Σωκράτης ἐνόμιζεν ἀκούειν τὴν φωνὴν τοῦ δαιμονίου αὐτοῦ· ἐν ᾗ περιπτώσει ἦν ἂν πραγματικῶς παραισθητικός, καίπερ σώας ἔχων τὰς φρένας· ἴσως εἰς παραίσθησιν ἦν ὑποκειμένη ἡ Λυρηλιανὴ Παρθένος καὶ ἄλλαι τινὲς μυστικαὶ γυναῖκες, ὧν τὰς ὑπὸ τῆς φύσεως ἐπιδαψιλευθείσας αὐταῖς δυνάμεις τῆς συνέσεως καὶ τῆς ἐκτάκτου νοημοσύνης οὐδαμῶς κατέστρεφεν ὁ ἔξαλλος ὑπὲρ τῆς πατρίδος ἢ τῆς θρησκείας ἐνθουσιασμός. Ταύτην ὅμως τὴν ὑποχώρησιν οὐ φαίνεται ὀρθὸν ποιῆσαι, ὅταν ὁ λόγος ᾖ περὶ Σωκράτους. Ὑπειδὴ δύσκολόν ἐστι τὴν λέξιν *φωνὴ* κυριολεκτικῶς λαβεῖν ἐν πᾶσι τοῖς χωρίοις τοῦ Ξενοφῶντος (?) καὶ Πλάτωνος, ἡ κριτικὴ ὑπὲρ τῆς μεταφορικῆς ἐννοίας τῆς λέξεως ἐκηρύχθη καὶ ὑπὲρ τῆς ψυχολογικῆς ἑρμηνείας τοῦ δαιμονίου. Ὁ συγγραφεὺς μεγάλως εἰς τὴν στερέωσιν τῆς γνώμης ταύτης συνεργήσει διὰ τῆς σοφῆς ἐξετάσεως τῶν κειμένων, ἐν οἷς γίνεται λόγος περὶ τῆς δαιμονιακῆς φωνῆς (de la voix démoniaque) Ὀφείλομεν δὲ προσθεῖναι ὅτι ὁ ἡμέτερος σοφὸς συνάδελφος κ. Lélut λυπεῖται μὴ δυνάμενος τέλεον ὁμογνωμονῆσαι τῷ ὑμετέρῳ Τμήματι, ἐμμένων ἐν ᾗ ἐξέφρασε γνώμῃ ἐν τῷ περιλαλήτῳ αὐτοῦ συγγράμματι, *Le Démon de Socrate*».

Κρίσεις τοῦ ἰατροῦ Lélut περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους.

§ 58. Τοιαῦτα μὲν περὶ δαιμονίου ὁ Fouillée καὶ ὁ Vacherot· ὁ δὲ Lélut νέαν ἔταμεν ὁδόν· διότι περὶ τὰς παραισθήσεις (hallucinations) καὶ φρενοβλαβείας ἀσχολούμενος καὶ φρονῶν ὅτι πᾶς παραισθητικὸς (halluciné) τῶν ἀρχαίων μάλιστα χρόνων, ἐκλαμβάνων τὰς ψευδεῖς αἰσθήσεις (hallucinations) ὡς ἀληθεῖς καὶ ἀναφέρων αὐτὰς εἰς ὑπερφυσικὰς αἰτίας, εἰς θεοὺς καὶ εἰς δαίμονας, παράφρων ἐστί, τὰς ἰδέας αὐτοῦ ταύτας ἐφήρμοσε καὶ πρὸς ἑρμηνείαν τοῦ δαιμονίου τοῦ Σωκράτους, λαβὼν ἀφορμὴν ἔκτινος φράσεως τοῦ Ἀββᾶ Βαρθελεμῆ ἐν τῷ νέῳ Ἀναχάρσιδι χαρακτηρίζοντος τὸ δαιμόνιον ὡς παράνοιαν, ἀποπλάνησιν τοῦ πνεύματος (de travers d'esprit), ἔχων δὲ ὑπ' ὄψει τὴν τότε γενομένην ἔκδοσιν τοῦ Πλάτωνος ὑπὸ Cousin μετὰ γαλλικῆς μεταφράσεως.

Ὅτε τῷ 1851 εἰς τὴν ἐν Σαλπιτριέρῃ κλινικὴν ἐφοίτων τῶν διασήμων ἰατρῶν τῆς φρενοβλαβείας Baillarger καὶ Farlet τοῦ πρεσβυτέρου, τότε πρῶτον ἤκουσα γινομένου λόγου περὶ τοῦ συγγράμματος τοῦ Lélut· ἔσπευσα ἀγοράσαι καὶ ἀναγνῶναι αὐτό· ἡ δὲ ἀνάγνωσις, ἔτι καὶ νῦν μέμνημαι, βαθύτατον ἐνεποίησέ μοι ἄλγος· διότι ἐφαίνετό μοι ὁ συγγραφεὺς ἴσως ὀρθῶς κρίνων περὶ τῆς φωνῆς ἢ ἐγίγνετο τῷ Σωκράτει ἐκ παιδικῆς ἡλικίας, ὅτι ἦν παραίσθησις τῆς ἀκοῆς (hallucination de l'ouïe)· ὤφειλεν ὅμως, σέβων τὴν ἀλήθειαν, διελεῖν τὰς παραισθήσεις εἰς παθολογικὰς καὶ φυσιολογικάς, κατατάσσων ἐν ταῖς τελευταίαις καὶ τὴν τοῦ Σωκράτους παραίσθησιν τῆς ἀκοῆς, ἐξ ἧς οὐδεμία προῆλθε βλάβη οὔτε τοῦ σώματος οὔτε τῆς ψυχῆς· ἀλλὰ ὑπὸ τῆς ἀνακαλύψεως αὐτοῦ μεθυσθεὶς τῆς Σωκρατικῆς παραισθήσεως, πρεσύρθη λίαν καὶ ὑπὲρ τὰ ἐσκαμμένα ἐπήδησε, διατεινόμενος ὅτι ὁ Σωκράτης ἦν ὑποκείμενος καὶ εἰς παραίσθησιν τῆς γενικῆς ἀφῆς διότι ἀντεῖχε καρτερικῶς εἰς τὸ ψῦχος καὶ θάλπος, καὶ εἰς παραίσθησιν τῆς ὁράσεως, καὶ τέλος ὅτι ἦν παράφρων, πρὸς ἀπόδειξιν ἀναφέρων χωρία τοῦ Πλάτωνος καὶ Ξενοφῶντος, ἃ παρερμηνεύει ὡς ἐπὶ τὸ πλεῖστον, ἢ ἐπὶ ἄλλων σαθρῶν στηριζόμενος ὑποβολιμαίων διαλόγων οἷος ὁ Θεάγης καὶ ἡ Ἀπολογία τοῦ Ξενοφῶντος.

Ὁ σοφὸς συγγραφεὺς ἐν τῇ δευτέρᾳ ἐκδόσει (1856) τοῦ συγγράμματος αὐτοῦ ἐν τοῖς αὐτοῖς ἐμμένει, οὐδεμίαν ἐπενεγκὼν διόρθωσιν τῶν παρερμηνευθέντων[1], ἀλλ' αἱ ἰδέαι τῆς νεότητος, διότι νέος[2] ἦν ὅτε τὴν βίβλον συνέγραψεν, ἐγένοντο ἤδη αὐτῷ ἔμμονοι ἰδέαι (idées fixes), οὐδεμίαν ἀνεχομένῳ ἐπίκρισιν, ὡς οἱ πάσχοντες παραισθήσεις τοῦ λόγου (hallucinations de la raison), καὶ πως ἀληθῆ διατρανοῦντι τὴν ἀποταθεῖσαν αὐτῷ ἐρώτησιν ὑπὸ τοῦ φιλοσόφου Ἀκρομιγκιέρου, «est-ce que vous ne vous êtes pas demandé quelques fois le quel était l'halluciné, de vous ou du maître de Platon, de tout philosophe?»

Ὅταν ὁ ἐπιστήμων ἀλήθειάν τινα ἐπιστημονικὴν ἐπιχειρῇ ἀποδεῖξαι, ἐπὶ πραγματικῶν στηρίζεται παρατηρήσεων, μετὰ πάσης ἀκριβείας καὶ προσοχῆς γενομένων, πολλάκις ἐπαναληφθεισῶν καὶ πολλάκις δοκιμασθεισῶν πρὸς ἐπαλήθευσιν καὶ διόρθωσιν, εἰ τυχὸν ἁμάρτημά τι παρεισέφρησεν. Ὅταν δὲ ὁ λόγος ᾖ περὶ ἐμπεδώσεως ἀρχαίας τινὸς ἱστορικῆς ἀληθείας, ὁ ἐταστής, τῶν ἀμέσων πραγματικῶν στερούμενος παρατηρήσεων, κατ' ἀνάγκην ἐπὶ ξένων ἐρείδεται μαρτυριῶν· διὸ πολλῶν ἔχει χρείαν καὶ ποικίλων γνώσεων καὶ βαθείας κρίσεως ὅπως τὸ γνήσιον διαγνῷ καὶ χωρίσῃ ἀπὸ τοῦ ὑποβολιμαίου, τὸ σύγχρονον τῇ ἱστορικῇ ἀληθείᾳ ἀπὸ τοῦ μεταγενεστέρου, τὸ αὐθεντικὸν καὶ ἄξιον πίστεως ἀπὸ τοῦ ἐναντίου, καὶ τοῦτο μὲν ἀπορρίψῃ, ἐκεῖνο δὲ θῇ κρηπίδα τῶν ἀποδείξεων αὐτοῦ, ὀρθῶς καὶ ἀκριβῶς ἑρμηνεύων τὰ κείμενα, ἐκ δὲ τῶν ἀφηγήσεων τῶν μεταγενεστέρων τὰς μὲν συμφωνούσας τοῖς γνησίοις καὶ αὐθεντικοῖς ὀρθὰς καὶ παραδεκτὰς λογιζόμενος, τὰς δὲ μὴ ἀντιφασκούσας μέν, νέα δὲ πράγματα ἀναφερούσας, πιθανάς, τὰς δὲ ἀντιφασκούσας καὶ διαστρεβλούσας τὰ ἱστορημένα, ψευδεῖς καὶ ἀπαραδέκτους.

Οὕτως ἐποίησαν ἄλλοι τε καὶ ὁ ἱστορικὸς Γρότιος καὶ ὁ φιλόσοφος Ζέλλερος, ἐν οἷς εἶπον περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους (ἴδε σελ. 229—232). Ὁ δὲ Lélut οὐδὲν τούτων ἐτήρησεν, ὑπὸ μιᾶς καὶ μόνης κατεχόμενος ἰδέας, *idée fixe*, ἀποδεῖξαι τὸν Σωκράτη οὐ μόνον παραισθητικόν, ἀλλὰ καὶ παράφρονα. Διὸ πᾶσαν ἀκρισίαν[1] τῶν μεταγενεστέρων συγγραφέων καὶ πάντα περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους μῦθον, ὁπωσδήποτε τῷ σκοπῷ αὐτοῦ συντελοῦντα, ἅσμενος καὶ ἀνοικταῖς, οὕτως εἰπεῖν, ταῖς ἀγκάλαις ἀποδέχεται, ἴσην ἀξίαν εἰ μὴ πλείω ἀπονέμων τῷ νόθῳ, τὸ δὲ γνήσιον πολλάκις στρεβλῶν ἐννοῶν καὶ ἑρμηνεύων, καὶ τὸ ἀστειότερον τοὺς ὀρθότερον αὐτοῦ ἑρμηνεύοντας ἐπικρίνων καὶ μαθήματα κριτικῆς φιλολογίας δίδους τοῖς φιλοσόφοις καὶ μεταφρασταῖς τοῦ Πλάτωνος, Σχλεϊερμαχέρῳ καὶ Cousin, οὗ τὴν μετάφρασιν εἶχεν ὁδηγὸν καὶ οἱονεὶ ἐγκόλπιον. Ἐν οἷς δὲ περὶ δαιμονίου τοῦ Σωκράτους λέγει αὐτὸς ἑαυτὸν ἐλέγχει, ὅτι οὔτε βαθὺς ἐστι τῆς ἑλληνικῆς γλώσσης γνώστης, οὔτε ἀκριβεῖς ἔχει ἀρχαιολογικὰς γνώσεις· διότι ἄλλως οὐκ ἂν ἔλεγεν· ἐν τοῖς ἀνακτόροις τοῦ Περικλέους καὶ Ἀλκιβιάδου (dans les palais de Périclès et d'Alcibiade), ὡς εἰ αἱ οἰκίαι αὐτῶν διέφερον τῶν ἄλλων, οὐδὲ τὸν ποιητὴν Μέλητον τὸν *Πιτθέα*, τὸν κατήγορον τοῦ Σωκράτους, *poète de Pythos*, οὐδὲ τὴν ἀποδημίαν εἰς Πυθώ[1], *voyage à Python*, οὐδ' ἀπεφαίνετο ὅτι Τέρπανδρος ὁ μουσικὸς ἔζη σύγχρονος ὢν τῷ Τιμοθέῳ (*id. Le Démon de Socrate*, σελ. 101), οὐδ' ὅτι ὁ Στρεψιάδης ἔτυπτε τὸν πατέρα αὐτοῦ, ὅτε οὗτος ἦν ὁ πατὴρ καὶ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Φειδιππίδου ἐτύπτετο· «et de là dans *les Nuées* les mauvais traitements de Strepsiade envers son père», οὐδ' ὅτι ὁ Ἀρχιφήδης ἐξῆλθεν εἰς τὰς ὁδοὺς κράζων *ἕλωσα τὸ πρόβλημα*, καθ' ὃν χρόνον ἠλίσκετο ἡ πόλις τῶν Συρακουσῶν οὔτε τὴν ἄλωσιν αἰσθανόμενος οὔτε ὅτι στρατιώτης Ῥωμαῖος διετρύπα τὸ στῆθος αὐτοῦ (Λυτόθ. σελ. 194—196) κτλ.

Ταῦτα μικρὰ εἰσι βεβαίως καὶ ἐκτὸς τῆς κυρίας ὑποθέσεως· ἀλλ' ἐξ αὐτῶν δύναται τις εἰκάσαι ὅτι καὶ ἄλλαι αὐτοῦ ἱστορικαὶ καὶ φιλολογικαὶ δός δ' εἰπεῖν καὶ φιλοσοφικαὶ κρίσεις εἰς τὴν οὐσίαν τοῦ ζητήματος ἀναφερόμεναι, ἐπιπόλαιοί εἰσι καὶ σαθραί· καίτοι δὲ ὁ συγγραφεὺς τὸ ἐναντίον διισχυρίζεται· «il me faudra fournir des preuves longues textuelles, qui portent dans tous les esprits la lumière qui est dans le mien», οὐκ ἔστιν ἡμῖν δύσκολον ἐκ προοιμίων ἀποδεῖξαι ὅτι ἐπὶ σαθρῶν στηρίζεται κειμένων· τί γὰρ ἄλλο, παραδείγματος χάριν, ψευδέστερον καὶ μυθωδέστερον ἢ ὅτι ὁ Σωκράτης ἀπεφάσιζε πράττειν τόδε ἢ τόδε, ὑπὸ πτερυῶν ὁδηγούμενος; Τοῦτο δὴ τὸ μύθευμα παραδέχεται ὁ Lélut ὡς ἰσχυρὰν ἀπόδειξιν, ὅτι ὁ Σωκράτης, ὡς εἰ ἦν ὁ χυδαιότατος τῶν Ἀθηναίων, πιστεύων εἰς πτερμοὺς ἦν παράφρων, οὐδαμῶς ἐξετάζων ὅτι οὐδ' αὐτὸς ὁ τὸν μῦθον ἀφηγούμενος ἐν τῷ περὶ Δαιμονίου τοῦ Σωκράτους διαλόγῳ τοῦ Πλουτάρχου ἐπίστευεν αὐτῷ· «Μεγαρικοῦ τινος ἠκουσα, λέγει, ὅτι τὸ Σωκράτους δαιμόνιον πτερμὸς ἦν, ὅ τε παρ' αὐτοῦ καὶ ὁ παρ' ἄλλων· ἑτέρου μὲν πτεροῦντος ἐκ δεξιᾶς, εἶτ' ὄπισθεν εἶτ' ἔμπροσθεν, ὁρμῶν αὐτὸν ἐπὶ τὴν πρᾶξιν· εἰδ' ἐξ ἀριστερᾶς, ἀποτρέπειν· τῶν δ' αὐτοῦ πτερμῶν τὸν μὲν ἔτι μέλλοντος βεβαιοῦν, τὸν δὲ ἤδη πράττοντος, ἐπέχειν καὶ κωλύειν τὴν

1) Ὁ Lélut ἐν τῷ συγγράμματι αὐτοῦ τὸν Σωκράτην κηρύσσει παράφρονα· καὶ αὐτὸς δὲ ὁ Vacherot λέγει παρακαιρίων ὅτι ὁ Lélut ἐμμένει ἐν ᾗ ἐξέφρασε γνώμῃ ἐν τῷ συγγράμματι αὐτοῦ.

1) «Je n'avais pas une virgule à changer» λέγει ἐν τῷ τέλει τοῦ προλόγου τῆς δευτέρας ἐκδόσεως σελ. 79.

2) «Un jeune homme, un médecin, dans une position des plus modestes, dont le nom n'était guère plus connu en médecine qu'en philosophie». Αὐτόθ. σελ. 8.

1) Παραδείγματος χάριν, ὅτι ὁ Σωκράτης εἶχε δύο γυναῖκας καὶ τὰ τοιαῦτα.

1) «Καὶ Πυθώδε ἐλθεῖν Ἀριστοτέλης φησί». (Διογένης Λαέρτιος).

ἡ φρόνιμος, διότι καὶ οἱ φυσιολόγοι, προεξάρχοντος τοῦ Lélut[1], μετὰ σεβασμοῦ ὁμολογοῦσι τὴν βαθεῖαν σοφίαν τοῦ Ἀθηναίου φιλοσόφου, ἀλλὰ περὶ τοῦ εἰ ὄντως ὁ Σωκράτης ἐνόμιζεν ἀκούειν τὴν φωνὴν τοῦ δαιμονίου αὐτοῦ· ἐν ᾗ περιπτώσει ἦν ἂν πραγματικῶς παραισθητικός, καίπερ σώας ἔχων τὰς φρένας· ἴσως εἰς παραίσθησιν ἦν ὑποκειμένη ἡ Λυρηλιανὴ Παρθένος καὶ ἄλλαι τινὲς μυστικαὶ γυναῖκες, ὧν τὰς ὑπὸ τῆς φύσεως ἐπιδαψιλευθείσας οὐταῖς δυνάμεις τῆς συνέσεως καὶ τῆς ἐκτάκτου νοημοσύνης οὐδαμῶς κατέστρεφεν ὁ ἔξαλλος ὑπὲρ τῆς πατρίδος ἢ τῆς θρησκείας ἐνθουσιασμός. Τοῦτην ὅμως τὴν ὑποχώρησιν οὐ φαίνεται ὀρθὸν ποιῆσαι, ὅταν ὁ λόγος ᾖ περὶ Σωκράτους. Ἐπειδὴ δύσκολόν ἐστι τὴν λέξιν *φωνὴν* κυριολεκτικῶς λαβεῖν ἐν πᾶσι τοῖς χωρίοις τοῦ Ξενοφῶντος (?) καὶ Πλάτωνος, ἡ κριτικὴ ὑπὲρ τῆς μεταφορικῆς ἐννοίας τῆς λέξεως ἐκηρύχθη καὶ ὑπὲρ τῆς ψυχολογικῆς ἑρμηνείας τοῦ δαιμονίου. Ὁ συγγραφεὺς μεγάλως εἰς τὴν στερέωσιν τῆς γνώμης ταύτης συνεργήσει διὰ τῆς σοφῆς ἐξετάσεως τῶν κειμένων, ἐν οἷς γίνεται λόγος περὶ τῆς δαιμονιακῆς φωνῆς (de la voix démoniaque) Ὀφείλομεν δὲ προσθεῖναι ὅτι ὁ ἡμέτερος σοφὸς συνάδελφος κ. Lélut λυπεῖται μὴ δυνάμενος τέλεον ὁμογνωμονῆσαι τῷ ὑμετέρῳ Τμήματι, ἐμμένων ἐν ᾗ ἐξέφρασε γνώμῃ ἐν τῷ περιλαλήτῳ αὐτοῦ συγγράμματι, *Le Démon de Socrate*».

Κρίσεις τοῦ ἰατροῦ Lélut περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους.

§ 58. Τοιαῦτα μὲν περὶ δαιμονίου ὁ Fouillée καὶ ὁ Vacherot· ὁ δὲ Lélut νέαν ἔτεμεν ὁδόν· διότι περὶ τὰς παραισθήσεις (hallucinations) καὶ φρενοβλαβείας ἀσχολούμενος καὶ φρονῶν ὅτι πᾶς παραισθητικὸς (halluciné) τῶν ἀρχαίων μάλιστα χρόνων, ἐκλαμβάνων τὰς ψευδεῖς αἰσθήσεις (hallucinations) ὡς ἀληθεῖς καὶ ἀναφέρων αὐτὰς εἰς ὑπερφυσικὰς αἰτίας, εἰς θεοὺς καὶ εἰς δαίμονας, παρέφρων ἐστί, τὰς ἰδέας αὐτοῦ ταύτας ἐφήρμοσε καὶ πρὸς ἑρμηνείαν τοῦ δαιμονίου τοῦ Σωκράτους, λαβὼν ἀφορμὴν ἔκ τινος φράσεως τοῦ Ἀββᾶ Βαρθελεμῆ ἐν τῷ νέῳ Ἀναχάρσιδι χαρακτηρίζοντος τὸ δαιμόνιον ὡς παρήνοιαν, ἀποπλάνησιν τοῦ πνεύματος (de travers d'esprit), ἔχων δὲ ὑπ' ὄψει τὴν τότε γενομένην ἔκδοσιν τοῦ Πλάτωνος ὑπὸ Cousin μετὰ γαλλικῆς μεταφράσεως.

Ὅτε τῷ 1851 εἰς τὴν ἐν Σαλπιτριέρῃ κλινικὴν ἐφοίτων τῶν διασήμων ἰατρῶν τῆς φρενοβλαβείας Baillarger καὶ Farlet τοῦ πρεσβυτέρου, τότε πρῶτον ἤκουσα γινομένου λόγου περὶ τοῦ συγγράμματος τοῦ Lélut· ἔσπευσα ἀγοράσαι καὶ ἀναγνῶναι αὐτό· ἡ δὲ ἀνάγνωσις, ἔτι καὶ νῦν μέμνημαι, βαθύτατον ἐνεποίησέ μοι ἆλγος· διότι ἐφαίνετό μοι ὁ συγγραφεὺς ἴσως ὀρθῶς κρίνων περὶ τῆς φωνῆς ἡ ἐγίγνετο τῷ Σωκράτει ἐκ παιδικῆς ἡλικίας, ὅτι ἦν παραίσθησις τῆς ἀκοῆς (hallucination de l'ouïe)· ὤφειλεν ὅμως, σέβων τὴν ἀλήθειαν, διελεῖν τὰς παραισθήσεις εἰς παθολογικὰς καὶ φυσιολογικάς, κατατάσσων ἐν ταῖς τελευταίαις καὶ τὴν τοῦ Σωκράτους παραίσθησιν τῆς ἀκοῆς, ἐξ ἧς οὐδεμία προῆλθε βλάβη οὔτε τοῦ σώματος οὔτε τῆς ψυχῆς· ἀλλὰ ὑπὸ τῆς ἀνακλύψεως αὐτοῦ μεθυσθεὶς τῆς Σωκρατικῆς παραισθήσεως, παρεσύρθη λίαν καὶ ὑπὲρ τὰ ἐσκαμμένα ἐπήδησε, διατεινόμενος ὅτι ὁ Σωκράτης ἦν ὑποκείμενος καὶ εἰς παραίσθησιν τῆς γενικῆς ἀφῆς διότι ἀντέιχε καρτερικῶς εἰς τὸ ψῦχος καὶ θάλπος, καὶ εἰς παραίσθησιν τῆς ὁράσεως, καὶ τέλος ὅτι ἦν παράφρων, πρὸς ἀπόδειξιν ἀναφέρων χωρία τοῦ Πλάτωνος καὶ Ξενοφῶντος, ἃ παρερμηνεύει ὡς ἐπὶ τὸ πλεῖστον, ἢ ἐπὶ ἄλλων σαθρῶν στηριζόμενος ὑποβολιμαίων διαλόγων οἷος ὁ Θεάγης καὶ ἡ Ἀπολογία τοῦ Ξενοφῶντος.

Ὁ σοφὸς συγγραφεὺς ἐν τῇ δευτέρᾳ ἐκδόσει (1856) τοῦ συγγράμματος αὐτοῦ ἐν τοῖς αὐτοῖς ἐμμένει, οὐδεμίαν ἐπενεγκὼν διόρθωσιν τῶν παρερμηνευθέντων[1], ἀλλ' αἱ ἰδέαι τῆς νεότητος, διότι νέος[2] ἦν ὅτε τὴν βίβλον συνέγραψεν, ἐγένοντο ἤδη αὐτῷ ἔμμονοι ἰδέαι (idées fixes), οὐδεμίαν ἀνεχομένῳ ἐπίκρισιν, ὡς οἱ πάσχοντες παραισθήσεις τοῦ λόγου (hallucinations de la raison), καὶ πως ἀληθῆ διατρανοῦντι τὴν ἀποταθεῖσαν αὐτῷ ἐρώτησιν ὑπὸ τοῦ φιλοσόφου Λαρομιγκιέρου, «est-ce que vous ne vous êtes pas demandé quelques fois le quel était l'halluciné, de vous ou du maître de Platon, de tout philosophe?»

Ὅταν ὁ ἐπιστήμων ἀληθειάν τινα ἐπιστημονικὴν ἐπιχειρῇ ἀποδεῖξαι, ἐπὶ πραγματικῶν στηρίζεται παρατηρήσεων, μετὰ πάσης ἀκριβείας καὶ προσοχῆς γενομένων, πολλάκις ἐπαναληφθεισῶν καὶ πολλάκις δοκιμασθεισῶν πρὸς ἐπαλήθευσιν καὶ διόρθωσιν, εἰ τυχὸν ἁμάρτημά τι παρεισέφρησεν. Ὅταν δὲ ὁ λόγος ᾖ περὶ ἐμπεδώσεως ἀρχαίας τινὸς ἱστορικῆς ἀληθείας, ὁ ἐταστής, τῶν ἀμέσων πραγματικῶν στερούμενος παρατηρήσεων, κατ' ἀνάγκην ἐπὶ ξένων ἐρείδεται μαρτυριῶν· διὸ πολλῶν ἔχει χρείαν καὶ ποικίλων γνώσεων καὶ βαθείας κρίσεως ὅπως τὸ γνήσιον διαγνῷ καὶ χωρίσῃ ἀπὸ τοῦ ὑποβολιμαίου, τὸ σύγχρονον τῇ ἱστορικῇ ἀληθείᾳ ἀπὸ τοῦ μεταγενεστέρου, τὸ αὐθεντικὸν καὶ ἄξιον πίστεως ἀπὸ τοῦ ἐναντίου, καὶ τοῦτο μὲν ἀπορρίψῃ, ἐκεῖνο δὲ θῇ κρηπίδα τῶν ἀποδείξεων αὐτοῦ, ὀρθῶς καὶ ἀκριβῶς ἑρμηνεύων τὰ κείμενα, ἐκ δὲ τῶν ἀφηγήσεων τῶν μεταγενεστέρων τὰς μὲν συμφωνούσας τοῖς γνησίοις καὶ αὐθεντικοῖς ὀρθὰς καὶ παραδεκτὰς λογιζόμενος, τὰς δὲ μὴ ἀντιφασκούσας μέν, νέα δὲ πράγματα ἀναφερούσας, πιθανάς, τὰς δὲ ἀντιφασκούσας καὶ διαστρεβλούσας τὰ ἱστορημένα, ψευδεῖς καὶ ἀπαραδέκτους.

Οὕτως ἐποίησαν ἄλλοι τε καὶ ὁ ἱστορικὸς Γρότιος καὶ ὁ φιλόσοφος Ζέλλερος, ἐν οἷς εἶπον περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους (ἴδε σελ. 229—232). Ὁ δὲ Lélut οὐδὲν τούτων ἐτήρησεν, ὑπὸ μιᾶς καὶ μόνης κατεχόμενος ἰδέας, *idée fixe*, ἀποδεῖξαι τὸν Σωκράτη οὐ μόνον παραισθητικόν, ἀλλὰ καὶ παράφρονα. Διὸ πᾶσαν ἀκρισίαν[1] τῶν μεταγενεστέρων συγγραφέων καὶ πάντα περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους μῦθον, ὁπωσδήποτε τῷ σκοπῷ αὐτοῦ συντελοῦντα, ἄσμενος καὶ ἀνοικτίρως, οὕτως εἰπεῖν, ταῖς ἀγκάλαις ἀποδέχεται, ἴσην ἀξίαν εἰ μὴ πλείω ἀπονέμων τῷ νόθῳ, τὸ δὲ γνήσιον πολλάκις στρεβλῶν ἐννοῶν καὶ ἑρμηνεύων, καὶ τὸ ἀστειότερον τοὺς ὀρθότερον αὐτοῦ ἑρμηνεύοντας ἐπικρίνων καὶ μαθήματα κριτικῆς φιλολογίας διδοὺς τοῖς φιλοσόφοις καὶ μεταφρασταῖς τοῦ Πλάτωνος, Σχλειερμαχέρῳ καὶ Cousin, οὗ τὴν μετάφρασιν εἶχεν ὁδηγὸν καὶ οἱονεὶ ἐγκόλπιον. Ἐν οἷς δὲ περὶ δαιμονίου τοῦ Σωκράτους λέγει αὐτὸς ἑαυτὸν ἐλέγχει, ὅτι οὔτε βαθύς ἐστι τῆς ἑλληνικῆς γλώσσης γνώστης, οὔτε ἀκριβεῖς ἔχει ἀρχαιολογικὰς γνώσεις· διότι ἄλλως οὐκ ἂν ἔλεγεν, ἐν τοῖς ἀνακτόροις τοῦ Περικλέους καὶ Ἀλκιβιάδου (dans les palais de Périclès et d'Alcibiade), ὡς εἰ αἱ οἰκίαι αὐτῶν διέφερον τῶν ἄλλων, οὐδὲ τὸν ποιητὴν Μέλητον τὸν *Πιτθέα*, τὸν κατήγορον τοῦ Σωκράτους, *poète de Pythos*, οὐδὲ τὴν ἀποδημίαν εἰς Πυθώ[1], *voyage à Pythos*, οὐδ' ἀπεφαίνετο ὅτι Τέρπανδρος ὁ μουσικὸς ἔζη σύγχρονος ὢν τῷ Τιμοθέῳ (ἴδ. *Le Démon de Socrate*, σελ. 101), οὐδ' ὅτι ὁ Στρεψιάδης ἔτυπτε τὸν πατέρα αὐτοῦ, ὅτε οὗτος ἦν ὁ πατὴρ καὶ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Φειδιππίδου ἐτύπτετο· «et de là dans *les Nuées* les mauvais traitements de Strepsiade envers son père», οὐδ' ὅτι ὁ Ἀρχιμήδης ἐξῆλθεν εἰς τὰς ὁδοὺς κράζων *ἕυρηκα τὸ πρόβλημα*, καθ' ὃν χρόνον ἠλίσκετο ἡ πόλις τῶν Συρακουσῶν οὔτε τὴν ἅλωσιν αἰσθανόμενος οὔτε ὅτι στρατιώτης Ῥωμαῖος διετρύπα τὸ στῆθος αὐτοῦ (Αὐτόθ. σελ. 194—196) κτλ.

Ταῦτα μικρὰ εἰσι βεβαίως καὶ ἐκτὸς τῆς κυρίας ὑποθέσεως· ἀλλ' ἐξ αὐτῶν δύναταί τις εἰκάσαι ὅτι καὶ ἄλλαι αὐτοῦ ἱστορικαὶ καὶ φιλολογικαὶ δὸς δ' εἰπεῖν καὶ φιλοσοφικαὶ κρίσεις εἰς τὴν οὐσίαν τοῦ ζητήματος ἀναφερόμεναι, ἐπισφαλεῖς εἰσι καὶ σαθραί· καίτοι δὲ ὁ συγγραφεὺς τὸ ἐναντίον διισχυρίζεται· «il me faudra fournir des preuves longues textuelles, qui portent dans tous les esprits la lumière qui est dans le mien», οὐκ ἔστιν ἡμῖν δύσκολον ἐκ προοιμίων ἀποδεῖξαι ὅτι ἐπὶ σαθρῶν στηρίζεται κειμένων· τί γὰρ ἄλλο, παραδείγματος χάριν, ψευδέστερον καὶ μυθωδέστερον ἢ ὅτι ὁ Σωκράτης ἀπεφάσιζε πράττειν τόδε ἢ τόδε, ὑπὸ πταρμῶν ὁδηγούμενος; Τοῦτο δὴ τὸ μύθευμα παραλέγεται ὁ Lélut ὡς ἰσχυρὰν ἀπόδειξιν, ὅτι ὁ Σωκράτης, ὡς εἰ ἦν ὁ χυδαιότατος τῶν Ἀθηναίων, πιστεύων εἰς πταρμοὺς ἦν παράφρων, οὐδαμῶς ἐξετάζων ὅτι οὐδ' αὐτὸς ὁ τὸν μῦθον ἀφηγούμενος ἐν τῷ περὶ Δαιμονίου τοῦ Σωκράτους διαλόγῳ τοῦ Πλουτάρχου ἐπίστευεν αὐτῷ· «Μεγαρικοῦ τινος ἤκουσα, λέγει, ὅτι τὸ Σωκράτους δαιμόνιον πταρμὸς ἦν, ὅ τε παρ' αὐτοῦ καὶ ὁ παρ' ἄλλων· ἑτέρου μὲν πταρόντος ἐκ δεξιᾶς, εἶτ' ὄπισθεν εἶτ' ἔμπροσθεν, ὁρμᾶν αὐτὸν ἐπὶ τὴν πρᾶξιν· εἰδ' ἐξ ἀριστερᾶς, ἀποτρέπειν· τῶν δ' αὐτοῦ πταρμῶν τὸν μὲν ἔτι μέλλοντος βεβαιοῦν, τὸν δὲ ἤδη πράττοντος, ἐπέχειν καὶ κωλύειν τὴν

1) Ὁ Lélut ἐν τῷ συγγράμματι αὐτοῦ τὸν Σωκράτην κηρύσσει παράφρονα· καὶ αὐτὸς δὲ ὁ Vacherot λέγει παρακαιῶν ὅτι ὁ Lélut ἐμμένει ἐν ᾗ ἐξέφρασε γνώμῃ ἐν τῷ συγγράμματι αὐτοῦ.

1) «Je n'avais pas une virgule à changer» λέγει ἐν τῷ τέλει τοῦ προλόγου τῆς δευτέρας ἐκδόσεως σελ. 79.

2) «Un jeune homme, un médecin, dans une position des plus modestes, dont le nom n'était guère plus connu en médecine qu'en philosophie». Αὐτόθ. σελ. 8.

1) Παραδείγματος χάριν, ὅτι ὁ Σωκράτης εἶχε δύο γυναῖκας καὶ τὰ τοιαῦτα.

1) «Καὶ Πυθώδε ἐλθεῖν Ἀριστοτέλης φησί». (Διογένης Λαέρτιος).

Θεάγ. Τί; *Σωκρ.* Ὦ Κλειτόμαχε, ἔφη, ἐγὼ μέντοι ἔρχομαι ἀποθανούμενος νυνί, διότι Σωκράτει οὐκ ἤθελον πείθεσθαι· τί δὴ οὖν ποτε τοῦτο εἶπεν ὁ Τίμαρχος; ἐγὼ φράσω. Ὅτε ἀνίστατο ἐκ τοῦ συμποσίου ὁ Τίμαρχος καὶ Φιλήμων ὁ Φιλημονίδου ἀποκτενοῦντες Νικίαν τὸν Ἱροσκαμάνδρου, ἠπιςκόθην μὲν αὐτὼ μόνω τὴν ἐπιβουλήν, ὁ δὲ Τίμαρχος ἀνιστάμενος πρός ἐμὲ εἶπε· τί λέγεις, ἔφη, ὦ Σώκρατες; ὑμεῖς μὲν πίνετε, ἐμὲ δὲ δεῖ ποι ἐξαναστῆναι. ἥξω δὲ ὀλίγον ὕστερον, ἐάν τύχω· καί μοι ἐγένετο ἡ φωνή, καὶ εἶπον πρὸς αὐτόν, μηδαμῶς, ἔφην, ἀναστῇς· γέγονε γάρ μοι τὸ εἰωθὸς σημεῖον, τὸ δαιμόνιον· καὶ ὃς ἐπέσχε καὶ διαλιπών χρόνον αὖθις ὡρμᾶτο ἰέναι, καὶ ἔφη, εἰμὶ δή, Σώκρατες· αὖθις ἐγένετο ἡ φωνή· αὖθις οὖν αὐτὸν ἠνάγκασα ἐπισχεῖν· τὸ τρίτον, βουλόμενός με λαθεῖν, ἀνέστη οὐκέτι εἰπών μοι οὐδέν, ἀλλὰ λαθών, ἐπιτηρήσας ἄλλοσε τὸν νοῦν ἔχοντα· καὶ οὕτως ᾤχετο ἀπιών καὶ διεπράξατο ἐξ ὧν ἦλθε ἀποθανούμενος. Ὅθεν δὴ τοῦτ' εἶπε πρὸς τὸν ἀδελφόν, ὅπερ νῦν ὑμῖν ἐγώ, ὅτι ἴσως ἀποθανούμενος διὰ τὸ ἐμοὶ ἀπιστῆσαι. Ἔτι τοίνυν περὶ τῶν ἐν Σικελίᾳ πολλῶν ἀκούσεσθον, ἃ ἐγὼ ἔλεγον περὶ τῆς διαφθορᾶς τοῦ στρατοπέδου, καὶ τὰ μὲν πρεσβηλυθότα τῶν εἰδότων ἔστιν ἀκοῦσαι· πεῖραν δ' ἔξεστι νυνὶ λαβεῖν τοῦ σημείου, εἰ ἄρα τι λέγει· ἐπὶ γὰρ τῇ ἐπὶ στρατείαν ἐξορμῇ Σαννίωνος τοῦ καλοῦ ἐγένετό μοι τὸ σημεῖον, οἴχεται δὲ νῦν μετὰ Θρασύλλου στρατευσόμενος εὐθὺ Ἐφέσου καὶ Ἰωνίας. Ἐγὼ οὖν οἶμαι ἐκεῖνον ἢ ἀποθανεῖσθαι ἢ ὅμοιόν τι τούτῳ γ' ἐλᾶν, καὶ περί γε τῆς στρατείας τῆς ἄλλης πάνυ φοβοῦμαι.

Ταῦτα δὴ πάντα εἰρηκά σοι ὅτι ἡ δύναμις αὕτη τοῦ δαιμονίου τούτου καὶ εἰς τὰς συνουσίας τῶν μετ' ἐμοῦ συνδιατριβόντων τὸ ἄπαν δύναται· πολλοῖς μὲν γὰρ ἐναντιοῦται, καὶ οὐκ ἔστι τούτοις ὠφεληθῆναι μετ' ἐμοῦ διατρίβουσιν, ὥστε οὐχ οἷόν τέ μοι τούτοις συνδιατρίβειν· πολλοῖς δὲ συνείναι μὲν οὐ διακωλύει, ὠφελοῦνται δὲ οὐδὲν συνόντες· οἷς δ' ἂν συλλάβηται τῆς συνουσίας ἡ τοῦ δαιμονίου δύναμις, οὗτοί εἰσιν ὧν καὶ σὺ ἤσθησαι· ταχὺ γὰρ προκχρῆμα ἐπιδιδάσι· καὶ τούτων αὖ τῶν ἐπιδιδόντων οἱ μὲν καὶ βέβαιον ἔχουσι καὶ παραμόνιμον τὴν ὠφέλειαν· πολλοὶ δέ, ὅσον ἂν μετ' ἐμοῦ χρόνον ὦσι, θαυμάσιον ἐπιδιδάσιν, ἐπειδὰν δέ μου ἀπόσχωνται, πάλιν οὐδὲν διαφέρουσιν ὑτουοῦν. Τοῦτό ποτε ἔπαθεν Ἀριστείδης ὁ Λυσιμάχου, υἱὸς τοῦ Ἀριστείδου· διατρίβων γὰρ μετ' ἐμοῦ πάμπολυ ἐπεδεδώκει ἐν ὀλίγῳ χρόνῳ· ἔπειτα αὐτῷ στρατεία τις ἐγένετο καὶ ᾤχετο ἐκπλέων· ἥκων δὲ κατελάμβανε μετ' ἐμοῦ διατρίβοντα Θουκυδίδην τὸν Μελησίου υἱὸν τοῦ Θουκυδίδου. Ὁ δὲ Θουκυδίδης τῇ προτεραίᾳ μοι δι' ἀπεχθείας ἐν λόγοις τισὶν ἐγεγόνει. Ἰδὼν οὖν με ὁ Ἀριστείδης, ἐπειδὴ ἠσπάσατό τε καὶ τἆλλα διελέχθη, Θουκυδίδην δέ, ἔφη, ἀκούω, ὦ Σώκρατες, σεμνύνεσθαι ἄττα πρὸς σὲ καὶ χαλεπαίνειν ὡς τι ὄντα. Ἔστι γάρ, ἔφην ἐγώ, οὕτως. Τί δέ; οὐκ οἶδεν, ἔφη, πρὶν σοὶ συγγενέσθαι, οἷον ἦν τὸ ἀνδράποδον; Οὐκ ἔοικέ γε, ἔφην ἐγώ, νὴ τοὺς θεούς. Ἀλλὰ μήν καὶ αὐτός γε, ἔφη, καταγελάστως ἔχω, ὦ Σώκρατες. Τί μάλιστα; ἔφην ἐγώ. Ὅτι, ἔφη, πρὶν μὲν ἐκπλεῖν, ὁτῳοῦν ἀνθρώπῳ οἷός τ' ἦν διαλέγεσθαι καὶ μηδενὸς χείρων φαίνεσθαι ἐν τοῖς λόγοις, ὥστε καὶ ἐδόκουν τὰς συνουσίας τῶν χαριεστάτων ἀνθρώπων· νυνὶ δὲ τοὐναντίον φεύγω, ἄν τινα καὶ αἰσθάνωμαι πεπαιδευμένον. Οὕτως αἰσχύνομαι ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι. Πότερον δέ, ἦν δ' ἐγώ, ἐξαίφνης σε προὔλιπεν αὕτη ἡ δύναμις ἢ κατὰ σμικρόν; Κατὰ σμικρόν, ἦ δ' ὅς. Νίκα δέ σοι παρεγένετο, ἦν δ' ἐγώ, πότερον μαθόντι παρ' ἐμοῦ τι παρεγένετο, ἢ τινὶ ἄλλῳ τρόπῳ; Ἐγώ σοι ἐρῶ, ἔφη, ὦ Σώκρατες, ἄπιστον μέν, νὴ τοὺς θεούς, ἀληθὲς δέ· ἐγὼ γὰρ ἔμαθον μὲν παρὰ σοῦ οὐδὲν πώποτε, ὡς αὐτὸς οἶσθα· ἐπεδίδουν δέ, ὁπότε σοι συνείην, κἂν εἰ ἐν τῇ αὐτῇ μόνον οἰκίᾳ εἴην, μὴ ἐν τῷ αὐτῷ δὲ οἰκήματι· μᾶλλον δὲ ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι· καὶ ἔμοιγε ἐδόκουν πολὺ μᾶλλον ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι ὢν λέγοντός σου βλέποιμι πρὸς σέ, μᾶλλον ἢ ὁπότε ἄλλοσε ὁρῴην· πολὺ δὲ μάλιστα καὶ πλεῖστον ἐπεδίδουν, ὁπότε παρ'

αὐτόν σε καθοίμην ἐχόμενός σου καὶ ἁπτόμενος· νῦν δέ, ἢ δ' ὅς, πᾶσα ἐκείνη ἡ ἕξις ἐξερρύηκεν. Ἔστιν οὖν, ὦ Θέαγες, τοιαύτη ἡ ἡμετέρα συνουσία· ἐὰν μὲν τῷ θεῷ φίλον ᾖ, πάνυ πολὺ ἐπιδιώσεις καὶ ταχύ· εἰ δὲ μή, οὔ. Ὅρα οὖν μή σοι ἀσφαλέστερον ᾖ, παρ' ἐκείνων τινὶ παιδεύεσθαι, οἳ ἐγκρατεῖς αὐτοί εἰσι τῆς ὠφελείας, ἣν ὠφελοῦσι τοὺς ἀνθρώπους, μᾶλλον ἢ παρ' ἐμοί ὅ,τι ἂν τύχῃ τοῦτο πράξαι.

Θεάγ. Ἐμοὶ μὲν τοίνυν δοκεῖ, ὦ Σώκρατες, ἡμᾶς οὑτωσὶ ποιῆσαι, ἀποπειραθῆναι τοῦ δαιμονίου τούτου συνόντας ἀλλήλοις· καὶ ἐὰν μὲν παρείκῃ ἡμῖν, ταῦτα βέλτιστα, εἰ δὲ μή, τότε ἤδη παραχρῆμα βουλευσόμεθα ὅ,τι δράσομεν, εἴτε ἄλλῳ συνεσόμεθα, εἴτε καὶ αὐτὸ τὸ θεῖον τὸ σοὶ γιγνόμενον πειρασόμεθα παραμυθεῖσθαι εὐχαῖς τε καὶ θυτίαις καὶ ἄλλῳ ὅτῳ ἂν οἱ μάντεις ἐξηγῶνται».

Οἱ λογοκλόποι οἱ κατὰ μίμησιν ἄλλων συγγράφοντες ἀδεξίως λίαν μιμοῦνται, ὑπερβολὰς ποιούμενοι καὶ παραμορφοῦντες τὰ ἱστορούμενα. Τοιαῦτά τινα ἔπραξε καὶ ὁ συγγραφεὺς τοῦ Θεάγους· διότι τὰ περὶ δαιμονίου λεγόμενα ἐκ τῆς Ἀπολογίας εἴληφε τοῦ Πλάτωνος καὶ μάλιστα ἐκ τοῦ περιωνύμου χωρίου τοῦ Θεαιτήτου, ἐν ᾧ ὁ Σωκράτης λόγον περὶ τῆς μαιευτικῆς αὐτοῦ μεθόδου ποιεῖται, ἔχει δὲ ὧδε· *Σωκρ.* «Τῇ δέ γ' ἐμῇ τέχνῃ τῆς μαιεύσεως τὰ μὲν ἄλλα ὑπάρχει ὅσα ἐκείναις (ταῖς μαίαις), διαφέρει δὲ τῷ τε ἄνδρας ἀλλὰ μὴ γυναῖκας μαιεύεσθαι καὶ τῷ τὰς ψυχὰς αὐτῶν τικτούσας ἐπισκοπεῖν ἀλλὰ μὴ τὰ σώματα. Μέγιστον δὲ τοῦτ' ἔνι τῇ ἡμετέρᾳ τέχνῃ, βασανίζειν δυνατὸν εἶναι παντὶ τρόπῳ, πότερον εἴδωλον καὶ ψεῦδος ἀποτίκτει τοῦ νέου ἡ διάνοια ἢ γόνιμόν τε καὶ ἀληθές· ἐπειδὴ τόδε καὶ ἐμοὶ ὑπάρχει, ὅπερ ταῖς μαίαις· ἄγονός εἰμι σοφίας, καὶ ὅπερ ἤδη πολλοί μοι ὠνείδισαν, ὡς τοὺς μὲν ἄλλους ἐρωτῶ, αὐτὸς δὲ οὐδὲν ἀποκρίνομαι περὶ οὐδενὸς διὰ τὸ μηδὲν ἔχειν σοφόν, ἀληθὲς ὀνειδίζουσι· τὸ δὲ αἴτιον τούτου τόδε· μαιεύεσθαί με ὁ θεὸς[1] ἀναγκάζει, γεννᾶν δὲ ἀπεκώλυσεν. Εἰμὶ δὴ οὖν αὐτὸς μὲν οὐ πάνυ τις σοφός, οὐδέ τί μοι εὕρημά ἐστι τοιοῦτο, γεγονὸς τῆς ἐμῆς ψυχῆς ἔκγονον· οἱ δ' ἐμοὶ ξυγγιγνόμενοι τὸ μὲν πρῶτον φαίνονται ἔνιοι μὲν καὶ πάνυ ἀμαθεῖς, πάντες δὲ προϊούσης τῆς ξυνουσίας, οἷς περ ἂν ὁ θεὸς παρείκῃ, θαυμαστὸν ὅσον ἐπιδιδόντες, ὡς αὐτοῖς τε καὶ τοῖς ἄλλοις δοκοῦσι· καὶ τοῦτο ἐναργές ὅτι παρ' ἐμοῦ οὐδὲν πώποτε μαθόντες, ἀλλ' αὐτοὶ παρ' αὑτῶν πολλὰ καὶ καλὰ εὑρόντες τε καὶ κατέχοντες· τῆς μέντοι μαιείας ὁ θεός τε καὶ ἐγὼ αἴτιος· ὧδε δὲ δῆλον. Πολλοὶ ἤδη τοῦτο ἀγνοήσαντες καὶ ἑαυτοὺς αἰτιασάμενοι, ἐμοῦ δὲ καταφρονήσαντες ἢ αὐτοὶ ἢ ὑπ' ἄλλων πεισθέντες ἀπῆλθον πρωιαίτερον τοῦ δέοντος, ἀπελθόντες δὲ τά τε λοιπὰ ἐξήμβλωσαν διὰ πονηρὰν ξυνουσίαν καὶ τὰ ὑπ' ἐμοῦ μαιευθέντα κακῶς τρέφοντες ἀπώλεσαν, ψευδῆ καὶ εἴδωλα περὶ πλείονος ποιησάμενοι τοῦ ἀληθοῦς, τελευτῶντες δ' αὐτοῖς τε καὶ τοῖς ἄλλοις ἔδοξαν ἀμαθεῖς εἶναι, ὧν εἷς γέγονεν Ἀριστείδης ὁ Λυσιμάχου καὶ ἄλλοι πάνυ πολλοί· οἷς ὅταν πάλιν ἔλθωσι δεόμενοι τῆς ἐμῆς ξυνουσίας καὶ θαυμαστὰ δρῶντες, ἐνίοις μέν τὸ γιγνόμενόν μοι δαιμόνιον ἀποκωλύει ξυνεῖναι, ἐνίοις δὲ ἐᾷ[1] καὶ πάλιν αὐτοὶ ἐπιδιδόασιν· πάσχουσι δὲ δὴ οἱ ἐμοὶ ξυγγιγνόμενοι καὶ τοῦτο ταὐτὸν ταῖς τικτούσαις· ὠδίνουσι γὰρ καὶ ἀπορίας ἐμπίπλανται νύκτας τε καὶ ἡμέρας πολὺ μᾶλλον ἢ ἐκεῖναι· ταύτην δὲ τὴν ὠδῖνα ἐγείρειν τε καὶ ἀποπαύειν ἡ ἐμὴ τέχνη δύναται· καὶ οὕτοι μὲν δὴ οὕτως. Ἐνίοτε δέ, ὦ Θεαίτητε, οἳ ἂν μοι μὴ δόξωσί πως ἐγκύμονες εἶναι, γνοὺς ὅτι οὐδὲν ἐμοῦ δέονται, πάνυ εὐμενῶς προμνῶμαι, καί, ξὺν θεῷ[2] εἰπεῖν, πάνυ ἱκανῶς τοπάζω οἷς

1) Τίς ἐστιν ὁ θεὸς περὶ οὗ ἐνταῦθα ὁ λόγος; ἢ ὁ θεὸς καθόλου ἢ ὁ Ἀπόλλων εἰς ὃν ἀνέφερε τὴν ἀποστολὴν αὐτοῦ ὁ Σωκράτης (ἰδ. σελ. 221, 227—228)· ὡς ἐν τῇ Ἀπολογίᾳ οὕτω κἀνταῦθα χωρίζει τὸ ἔργον τοῦ θεοῦ καὶ τὸ τοῦ δαιμονίου περιοριζόμενον εἰς ἀποτροπήν· τῇ προόδῳ τῶν μαθητῶν συνεργεῖ ὁ θεός. Ἰδοὺ λοιπόν, δύνατκι εἰπεῖν ὁ Lélut, ὁ Σωκράτης λόγον ποιεῖται περὶ τοῦ θεοῦ αὐτοῦ, ὡς καὶ περὶ τοῦ δαιμονίου *(de son dieu, de son démon)*· ἀλλ' ὡς λαλεῖ ἐνταῦθα ὁ Σωκράτης περὶ ταῦ θεοῦ, πᾶς τις θεωρήσει τοῦτο δεῖγμα εὐτραπελίας μᾶλλον καὶ λεπτῆς εἰρωνείας ἢ παραφροσύνης. Ὁ Σωκράτης χαριεντίζεται ὅτι ἐν τῷ πνευματικῷ τοκετῷ τῶν νέων παρίσταται ὁ θεός, ὡς ἐν τῷ φυτικῷ τῶν γυναικῶν ἡ Ἥρα καὶ ἡ Εἰλείθυια. Ἂν ἀπαιτήσωμεν παρὰ τοῦ Lélut τοιαύτην εὐτράπελον εἰρωνείαν ἐννοῆσαι, ἀπαιτοῦμεν ἀδύνατα, ἰδόντες αὐτὸν τὴν ἠχὴν τῶν λόγων τῶν Νόμων τὴν βομβοῦσαν ἐν τοῖς ὠσὶ τοῦ Σωκράτους ἐκλαμβάνοντα σπουδαῖον σημεῖον παραισθήσεως.

2) Αἱ φράσεις, σὺν θεῷ εἰπεῖν, ἐὰν θεὸς ἐθέλῃ, ἃς ὁ Lélut ἀραιοῖς γράφει γράμμασιν, *Grâce à Dieu, si le Dieu le veut,* ὅπως ἀποδείξῃ ὅτι περὶ τοῦ θεοῦ τοῦ Σωκράτους γίνεται λόγος, κοινόταταί εἰσιν, ἔτι καὶ νῦν ἐν χρήσει· τὰ παραδείγματα ταῦτα δεικνύουσι διὰ τί ὁ Lélut πανταχοῦ τῶν διαλόγων τοῦ Πλάτωνος εὑρίσκει ὅτι γίνεται λόγος περὶ τοῦ θεοῦ, τοῦ δαίμονος τοῦ Σωκράτους.

4) Ἰδ. σελ. 218.

ἂν ξυγγενόμενοι ὄναιντο· ὧν πολλοὺς μὲν δὴ ἐξέδωκα Προδίκῳ, πολλοὺς δὲ ἄλλοις σοφοῖς τε[1] καὶ θεσπεσίοις ἀνδράσι. Ταῦτα δή σοι, ὦ ἄριστε, ἕνεκα τοῦδε ἐμήκυνα, ὑποπτεύων σε, ὥσπερ καὶ αὐτὸς οἴει, ὠδίνειν τι κυοῦντα ἔνδον· προσφέρου οὖν πρός με ὡς πρὸς μαίας υἱὸν καὶ αὐτὸν μαιευτικόν, καὶ ἃ ἂν ἐρωτῶ προθύμου ὅπως οἷός τ' εἶ οὕτως ἀποκρίνασθαι· καὶ ἐάν ἄρα σκοπούμενός τι ὧν ἂν λέγῃς ἡγήσωμαι εἴδωλον καὶ μὴ ἀληθές, εἶτα ὑπεξαιρῶμαι καὶ ἀποβάλλω, μὴ ἀγρίαινε ὥσπερ αἱ πρωτότοκοι περὶ τὰ παιδία· πολλοί γάρ ἤδη, ὦ θαυμάσιε, πρός με οὕτω διετέθησαν, ὥστε ἀτεχνῶς δάκνειν ἕτοιμοι εἶναι, ἐπειδάν τινα λῆρον αὐτῶν ἀφαιρῶμαι, καὶ οὐκ οἴονταί με εὐνοίᾳ τοῦτο ποιεῖν, πόρρω ὄντες τοῦ εἰδέναι ὅτι οὐδεὶς θεὸς δύσνους ἀνθρώποις, οὐδ' ἐγὼ δυσνοίᾳ τοιοῦτον οὐδὲν δρῶ, ἀλλά μοι ψεῦδός τε συγχωρῆσαι καὶ ἀληθὲς ἀφανίσαι οὐδαμῶς θέμις».

Ἐν τούτοις ὁρῶμεν τὰ ἑξῆς· α') ὁ Σωκράτης ἁρμοδίως εἰσάγει εἰς τὸν διάλογον τὰ περὶ τῆς μαιευτικῆς μεθόδου βλέπων τὸν Θεαίτητον, μεθ' οὗ διαλέγεται, κυοῦντά τι ἔνδον καὶ ὠδίνοντα· β') ὁ Σωκράτης μετά τινος λεπτῆς εἰρωνείας ὁμολογεῖ ὅτι ἡ ψυχὴ αὐτοῦ ἄγονος σοφίας ἐστί, διότι κελεύει τοῦ θεοῦ (τοῦ προσκόπου τῆς μαιευτικῆς) μαιεύει τὰς ψυχὰς τῶν νέων τικτούσας· γ') οἱ νέοι οὐδὲν παρὰ τοῦ Σωκράτους μανθάνουσιν, ἀλλ' αὐτοὶ παρ' ἑαυτῶν, ὑπὸ τῆς μαιευτικῆς αὐτοῦ μεθόδου καὶ τοῦ θεοῦ βοηθούμενοι, πολλὰ καὶ καλὰ εὑρίσκουσι καὶ κατέχουσι· δ') πολλοὶ τῶν νέων προώρως ἀπ' αὐτοῦ χωρισθέντες ἀπέρανθον ἃ πρότερον ἐγίνωσκον, ὧν εἷς γέγονεν Ἀριστείδης ὁ Λυσιμάχου, ὁ ἔγγονος Ἀριστείδου τοῦ *δικαίου*· ε') τὸ δαιμόνιον τινὰς μὲν τούτων ἐπιθυμοῦντας αὖθις ἀκροᾶσθαι Σωκράτους ἀπαγορεύει αὐτῷ δέχεσθαι, ἄλλους δ' ἐπιτρέπει· ἐπειδὴ αὗται αἱ περιπτώσεις ἄμεσον ἔχουσι σχέσιν πρὸς τὴν διδασκαλίαν τοῦ Σωκράτους, τὸ δαιμόνιον ἀναμιγνύεται καὶ δηλοῖ τῷ Σωκράτει τίνας δεκτέον καὶ τίνας μή. Ὁ Σωκράτης γινώσκων κατὰ βάθος (ἰδ. σελ. 218) τὴν φύσιν καὶ τὸν χαρακτῆρα ἑκάστου τῶν μαθητῶν ἠδύνατο μὴ μόνον συμβουλὰς προτρεπτικὰς διδόναι, ἀλλὰ καὶ ἀποτρέπειν ἀπό τινων πράξεων, προλέγων τὰ ἀποβησόμενα αὐτοῖς δυσχέρεστα, ἂν μὴ ἀπόσχωνται. Ἐν τοιαύταις περιπτώσεσιν ἀνέμιγνύετο καὶ τὸ δαιμόνιον, ὡς ἔστιν εἰκάσαι, ἐξ ὧν λέγει ὁ Ξενοφῶν (Ἀπομν. Α, α', 4) «καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε τὰ μὲν ποιεῖν τὰ δὲ μὴ ποιεῖν ὡς τοῦ δαιμονίου προσημαίνοντος, καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε»· ς') ὁ Θεός καὶ τὸ δαιμόνιόν εἰσι διάφορα· ὁ μὲν Θεὸς καὶ προστάτης τῆς μαιεύσεως προτρέπει καὶ ἀποτρέπει τὸν Σωκράτη, τὸ δὲ δαιμόνιον μόνον ἀποτρέπει οὐδαμῶς ἀναμιγνύμενον εἰς τὴν μαίευσιν· τοῦτο ἦν ἔργον τοῦ Θεοῦ καὶ τοῦ Σωκράτους.

Παραβάλωμεν νῦν πρὸς ταῦτα τὰ ἐν τῷ Θεάγει, ὅπως ἴδωμεν πῶς παρεμορφώθησαν καὶ διεστρεβλώθησαν τὰ ἐν τῷ Θεαιτήτῳ.

Ὁ Δημόδοκος, εὐπατρίδης Ἀθηναῖος καὶ φίλος τοῦ Σωκράτους, προσέρχεται αὐτῷ μετὰ τοῦ υἱοῦ Θεάγους καὶ αἰτεῖται συμβουλὴν περὶ τοῦ υἱοῦ. Ὁ Σωκράτης διαλέγεται μετὰ τοῦ Θεάγους περὶ τῶν γνώσεων, ὧν ἐπιθυμεῖ γενέσθαι κάτοχος· ὁ δὲ Θεάγης ἐκφράζει τὴν ἐπιθυμίαν γενέσθαι μαθητὴς αὐτοῦ· ὁ δὲ Σωκράτης λέγει, εἰ καὶ τὸ δαιμόνιον ἐπιτρέπει τοῦτο· ἐντεῦθεν λαμβάνων ἀφορμὴν ἄρχεται κομπάζων καὶ μεγαλαυχῶν καὶ ἀφηγούμενος περὶ τοῦ δαιμονίου τέρατα καὶ σημεῖα, ὡς εἰ ὁ λέγων ἦν ἀλαζών τις καὶ κομπορρήμων σοφιστής, οὐχ ὁ μετριοφρονέστατος Σωκράτης. Ὅπως δὲ μὴ ὁ Δημόδοκος καὶ Θεάγης ἀπιστήσωσιν εἰς τὰ λεγόμενα, ἀναφέρει, ὡς ποιοῦσιν οἱ λογοποιοί, ὀνόματα πολιτῶν παρ' ὧν δύνανται τὴν ἀλήθειαν τῶν γεγονότων μαθεῖν. Ἀφηγεῖται λοιπὸν πράγματα, περὶ ὧν οὔτε ἐφρόντιζεν οὔτε ἀνεμιγνύετο τὸ δαιμόνιον τοῦ Σωκράτους. Τοιοῦτο ἦν καὶ ἡ πρόρρησις περὶ τῆς καταστροφῆς τοῦ ἐν Σικελίᾳ στρατοπέδου. Ἐν μὲν τῷ Θεαιτήτῳ λέγει ὁ Σωκράτης· «Ταῦτα δή σοι, ὦ ἄριστε, ἕνεκα τοῦδε ἐμήκυνα, ὑποπτεύων σε ὠδίνειν τι κυοῦντα ἔνδον», ἐν δὲ τῷ Θεάγει, «Ταῦτα δὴ πάντα εἴρηκά σοι, ὅτι ἡ δύναμις αὕτη τοῦ δαιμονίου τούτου καὶ εἰς τὰς συνουσίας τῶν μετ' ἐμοῦ συνδιατριβόντων τὸ ἄπαν δύναντται»· ὥστε τὴν ἐν τῷ Θεαιτήτῳ τάξιν τῆς μαιευτικῆς κατέλαβεν ἐν τῷ Θεάγει ἡ δύναμις τοῦ δαιμονίου. Τοῦτο, ὡς εἰ ἦν θυρωρὸς τῆς σχολῆς τοῦ Σωκράτους, κατ' εὐθεῖαν ἐνεργεῖ ἄλλοις μὲν τῶν μαθητῶν ἐναντιούμενος ἀκροᾶσθαι τοῦ Σωκράτους, ἄλλοις δὲ ἐπιτρέπων καὶ πρὸς ἄλλους ἀδιαφόρως ἔχων. Ὁ Σωκράτης τελευτῶν ποιεῖται λόγον περὶ Ἀριστείδου, υἱοῦ τοῦ Λυσιμάχου, ὡς ἐν τῷ Θεαιτήτῳ· ἀλλ' ἐνταῦθα ὁ Σωκράτης ἀφηγεῖται δῆθεν ἃ αὐτὸς ὁ

1) Ἰδ. σελ. 218.

Ἀριστείδης εἶπεν αὐτῷ, ὅτι προώρως ἀποχωρισθεὶς αὐτοῦ ἀπέμαθεν ἃ πρότερον ἐγίνωσκε συνιών αὐτῷ καὶ ἐγένετο ὅλως ἰδιώτης. Τοῦ δὲ Σωκράτους ἐρωτήσαντος, ὡς εἰ εἶχε χρείαν ἐρωτῆσαι, εἴ τι παρ' αὐτοῦ ἔμαθεν, ὁ Ἀριστείδης ἀποκρίνεται, οὐχί· ἀλλ' οὐδὲν ἧττον προὐδίδευεν, ὅτε συνῆν αὐτῷ· ἡ δὲ προκοπὴ καὶ ἐπίδοσις ἐγίνετο θαυμασίῳ τῷ τρόπῳ, ἁπλῆ ἐπίδοσις ὅτε ἦν ἐν τῷ αὐτῷ οἴκῳ, ἐν ᾧ καὶ ὁ Σωκράτης, ἀλλ' οὐ καὶ ἐν τῷ αὐτῷ δωματίῳ· ἡ ἐπίδοσις ἦν μείζων, ὅτε ἐν τῷ αὐτῷ οἴκῳ καὶ ἐν τῷ αὐτῷ δωματίῳ ἦσαν ἅμφω· ἔτι δὲ μείζων, ὅτε ἦν ἐν τῷ αὐτῷ δωματίῳ, ἤκουεν αὐτοῦ λέγοντος καὶ ἔβλεπε πρὸς αὐτόν· ἐλάσσων δέ, ὅτε ἤκουε μέν, ἔβλεπε δὲ ἀλλαχόσε· ἡ δὲ ἐπίδοσις ἦν μεγίστη, ὅτε παρεκάθητο τῷ Σωκράτει καὶ ἥπτετο αὐτοῦ.

Φαίη ἄν τις, ὅτι ὁ συγγραφεὺς τοῦ Θεάγους ἤκμαζε κατὰ τὸν δέκατον ὄγδοον αἰῶνα καὶ λόγον ποιεῖται περὶ ζωϊκοῦ μαγνητισμοῦ. Ἀλλὰ ταῦτά εἰσιν ὅλως ξένα τῷ Σωκράτει καὶ τοῖς γνησίοις αὐτοῦ μαθηταῖς, ἐπιγέννημα ὄντα χρόνων μεταγενεστέρων. Τῷ Lélut ὅμως ἦσαν εὕρημα καὶ θησαυρὸς πολύτιμος· διὸ ταῦτα τῷ χωρίῳ τοῦ Θεαιτήτου συναναμίγνυσιν, ὡς εἰ μηδεμίαν εἶχον πρὸς αὐτὸ διαφοράν, καὶ ἐξάγει συμπεράσματα μανιακά. «Οὐ δύναμαι, λέγει, σιγῇ παρελθεῖν, ὅσον αἱ δοξασίαι καὶ αἱ ἀξιώσεις αἱ ἐν τοῖς μνημονευθεῖσι δυσὶ χωρίοις ἐξενεχθεῖσαι ἔχουσι τὸ παράδοξον ὡς πρὸς τὴν φύσιν καὶ ἀνάπτυξιν αὐτῶν καὶ ὡς πρὸς τὴν ἀληθῆ μανιακὴν αὐτῶν ἀρχήν.

»Ἰδοὺ ὁ Σωκράτης οὐ μόνον φαντάζόμενος θείας δέχεσθαι ἐπιρροὰς καὶ ἐμπνεύσεις καὶ θείαν ἀκούειν φωνήν, ἀλλὰ καὶ οἰόμενος, ἐκ τούτου, ὁμοίαν κατέχειν ἐπιρροὴν καὶ μακρόθεν ἐπί τε τῶν φίλων καὶ μαθητῶν καὶ σχεδὸν ἐπὶ τῶν ξένων, ἐπιρροὴν ἀνεξάρτητον καὶ αὐτοῦ τοῦ λόγου καὶ τοῦ βλέμματος, ἐπενεργοῦσαν δὲ διὰ τῶν τοίχων καὶ εἰς περιοχὴν κατὰ τὸ μᾶλλον ἢ ἧττον ἐκτενῆ. Οὐδὲν τούτων παραδοξότερον δύναταί τις ὁρᾶν οὐδ' ἀνοητότερον καὶ χαρακτηριστικώτερον σημεῖον μανίας· οὐδ' αὐτοὶ οἱ παραισθητικοὶ (hallucinés) οἱ ὑπὸ τὰ ὄμματα ἡμῶν ἐν τῷ νοσοκομείῳ πέμποντες καὶ λαμβάνοντες μακρόθεν φυσικάς τε καὶ μαγνητικὰς καὶ ἐλευθεροτεκτονικὰς ἐπιρροάς, ἄλλως ἢ ὡς ὁ Σωκράτης ἐκφράζονται, οὐδ' εἰσὶ κατὰ τοῦτο παραφρονέστεροι αὐτοῦ. Ταῦτά εἰσιν ὀλίγον τι ζωηρὰ τῇ ἐκφράσει· ἀλλ' εἰρήσθω ἅπαξ ἔτι, ἡ ἔκφρασις αὕτη ἐστὶν ἡ τῆς ἀληθείας». Πολλοῦ γε καὶ δεῖ, σοφὲ Lélut· μυρίους παρασάγγας ἀπέχεις τῆς ἀληθείας, τοὺς ἐν τῷ Θεάγει μύθους εἴτε ὑπ' ἀγνοίας εἴτε ὑπ' ἄλλης αἰτίας ἐκλαμβάνων ὡς ἀλήθειαν.

Ἡ ἄγνοια περὶ τούτων τοῦ Lélut ἐξ ἐκείνων ἐστίν, ἃς ὁ Πλάτων πλημμελεστάτας καλεῖ καὶ ἀνοίας (ἰδ. σελ. 207)· ἀλλ' ὁ συγγραφεὺς τοῦ Δαιμονίου τοῦ Σωκράτους οὐδεμίαν ἀμφιβολίαν ἔχων περὶ τῆς ἀληθείας αὐτοῦ πολλάκις τὰ αὐτὰ ἐπαναλαμβάνει· ὁ Σωκράτης εἶχε, λέγει, δαίμονα, ἤκουε φωνὴν θείαν προαγγέλλουσαν αὐτῷ τὸ μέλλον τὸ ἀφορῶν εἰς αὐτὸν καὶ εἰς τοὺς φίλους αὐτοῦ, ἐπιτρέπουσαν δ' ἔστιν ὅτε αὐτῷ προρρήσεις ποιεῖσθαι περὶ τῶν κοινῶν πραγμάτων, οἷον περὶ τῆς εἰς Σικελίαν ἐκστρατείας καὶ περὶ τῆς εἰς Ἰωνίαν, ἃς προεῖπε τὴν κακὴν ἔκβασιν.

Ἐκ τῶν χωρίων τοῦ Πλάτωνος εἰς τὰ τοῦ Ξενοφῶντος μετακλίνει λέγων (Démon σ. 179)· «Τὰ Ἀπομνημονεύματα τοῦ Ξενοφῶντος καὶ ἡ Ἀπολογία, συνταχθεῖσα κατὰ φαντασίαν καὶ κατ' ἀφηγήσεις ἄλλων, πολλὰ ἔχουσι χωρία ἐν οἷς λόγος περὶ παραισθήσεων τῆς ἀκοῆς γίνεται, ἐν ἄλλαις λέξεσι περὶ τοῦ δαίμονος αὐτοῦ».

Καὶ περὶ μὲν τῶν χωρίων τῆς Ἀπολογίας οὐδὲν λέγομεν, ὡς οὐδεμίαν ἐχόντων σπουδαιότητα, ὡς τὰ τοῦ Θεάγους, τῆς Ἀπολογίας νόθου ἐξελεγχομένης· ἐν δὲ τοῖς Ἀπομνημονεύμασιν οὐδεμία φράσις ὑπάρχει παραισθησιν ἀκοῆς ὑπεμφαίνουσα, τοῦ Ξενοφῶντος ἀεὶ λέγοντος, τὸ δαιμόνιον σημαίνειν ἢ προσημαίνειν, ἢ ἐναντιοῦσθαι, ὅπερ μεθερμηνευόμενον δηλοῖ, ὅτι τὸ θεῖον, ὁ θεὸς προμηνύει τῷ Σωκράτει τί χρὴ ποιεῖν καὶ τί μή· ἀλλ' ὁ Lélut, ὡς εἴδομεν, συγχέων τὴν φωνὴν τῷ δαιμονίῳ ἐκλαμβάνει τὸ συναμφότερον ὡς παραίσθησιν ἀκοῆς, καίτοι παρὰ Ξενοφῶντι οὐδεὶς λόγος περὶ φωνῆς.

Ἐκ δὲ τῶν τοῦ Ξενοφῶντος μεταβαίνει εἰς τὰ τῶν μεταγενεστέρων, οἵτινες κατὰ τὸ πνεῦμα τῶν χρόνων αὐτῶν τὰ παράδοξα καὶ μυθώδη θαυμάζοντες ἐξετίθεσαν τὰ περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους ἐπὶ τὸ μυθωδέστερον. καὶ ἐκ μὲν τοῦ Κικέρωνος ἀναφέρει περί ἀτυχήματός τινος συμβάντος τῷ Κρίτωνι παρακούσαντι τὴν ἀπαγόρευσιν τοῦ Σωκράτους, τῆς φωνῆς γενομένης αὐτῷ. Ἐκ δὲ τοῦ περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους τοῦ Πλουτάρχου περί παθήματός τινος τῶν μαθητῶν ὅσοι παρακούσαντες τὴν ἀποτροπὴν τοῦ Σωκράτους οὐκ ἄλλην ἐτράπησαν ὁδὸν ἀλλὰ τὴν αὐτὴν ἐβάδισαν, καθ' ἣν συναντήσαντες χοίροις κατεβορβόρωθησαν.

Ὁ Lélut τὰς προρρήσεις ταύτας τὰς διὰ τῆς φωνῆς γενομένας δεχόμενος ὡς αὐθεντικὰς καὶ ἐκτὸς πάσης ἀμφιβολίας, φρονεῖ μετὰ τοῦ Ἀπουληίου, ὅτι ὁ Σωκράτης καὶ παραισθήσεις τῆς ὁράσεως εἶχε· διότι ὁ Ἀπουλήϊος λέγει ὅτι «οὐχ ἁπλῶς διὰ τῆς φωνῆς τὸ δαιμόνιον ἀπεκαλύπτετο τῷ Σωκράτει· διότι πολλάκις οὐκ ἤκουε φωνήν τινα, ἀλλὰ θεῖόν τι σημεῖον προσεγένετο αὐτῷ· τοῦτο δὲ τὸ σημεῖον οὐκ ἄλλο τι ἦν ἢ ἡ μορφὴ τοῦ δαιμονίου, ὁρατὴ μόνον αὐτῷ, ὡς ἡ Ἀθηνᾶ παρ' Ὁμήρῳ τῷ Ἀχιλλεῖ».

Ἡ ἑρμηνεία αὕτη τοῦ Ἀπουληίου ὅτι τὸ σημεῖον ἦν ἡ μορφὴ τοῦ δαιμονίου ὅλως ἡμαρτημένη ἐστί· διότι ὁ Σωκράτης ῥητῶς λέγει ἐν τῇ Ἀπολογίᾳ ὅτι τὸ θεῖον καὶ δαιμόνιον σημεῖον ἦν ἡ φωνή.

Τοῦτο λοιπὸν τὸ χωρίον, ὅπερ προφανῶς σαθρόν ἐστιν, ὁ Lélut πάσης πίστεως κρίνει ἄξιον καὶ ἐξ αὐτοῦ τεκμαίρεται ὅτι «ὁ Σωκράτης οὐ μόνον παραισθήσεις τῆς ἀκοῆς ὑφίστατο, ἀλλὰ καὶ τῆς ὄψεως, ἴσως δὲ καὶ τῆς ἁφῆς· καὶ ὄντως αἱ ἐκστάσεις αὐτοῦ, οἱ παροξυσμοί, τὰ ποικίλα σημεῖα ἃ ἔλεγεν ὅτι ἐδέχετο, οὐδεμίαν ἐῶσιν ἀμφιβολίαν ὅτι ὁ Σωκράτης ἦν εἰς τὰ δύο ἢ τρία ταῦτα εἴδη τῶν ψευδῶν ἀντιλήψεων ὑποκείμενος».

Ἐπειδὴ δὲ δύο χωρία, τὸ μὲν τοῦ Ξενοφῶντος, τὸ δὲ τοῦ Πλουτάρχου ἀντιλέγουσι πρὸς τὰ τοῦ Ἀπουληίου, ὁ Lélut ἀγωνίζεται παρακάμψαι τὴν ἀντίφασιν ταύτην. Ἐν μὲν τῷ χωρίῳ τοῦ Ξενοφῶντος (Ἀπομν. Δ, γ', 13) ὁ Σωκράτης διδάσκει ὅτι τὸ ὑπέρτατον ὂν καὶ οἱ ἄλλοι θεοὶ ἀοράτως ἐνεργοῦσιν· «ὅτι δὲ τἀληθῆ λέγω (τοὺς θεοὺς προσημαίνειν τοῖς ἀνθρώποις ἅ τε χρὴ ποιεῖν καὶ ἃ μή), καὶ σὺ γνώσει, ἂν μὴ ἀναμένῃς, ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι τὰ ἔργα αὐτῶν ὁρῶντι σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς· ἐννόει δὲ ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν· οἵ τε γὰρ ἄλλοι ἡμῖν τἀγαθὰ διδόντες οὐδὲν τούτων εἰς τοὐμφανὲς ἱέντες διδόασι, καὶ ὁ τὸν ὅλον κόσμον συντάττων καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά εἰσι». Οὐδὲν σαφέστερον τούτων. Τί δὲ πρὸς ταῦτα λέγει ὁ Lélut; «Ἐν τούτῳ τῷ χωρίῳ ὁ σοφὸς Ἕλλην ποιεῖται λόγον περὶ τῶν μεγάλων θεῶν, τῶν πραγματικῶν θεῶν, οὐχὶ δὲ καὶ περὶ τῶν δαιμόνων»! Περὶ δὲ τοῦ χωρίου τοῦ Πλουτάρχου λέγει ὅτι οὐδὲ τοῦτο ἀποδείκνυσιν ὅ τι ὁ Σωκράτης οὐκ ἦν εἰς παραισθήσεις τῆς ὁράσεως ὑποκείμενος. Ἴδωμεν τί λέγει τὸ χωρίον· λαλεῖ ὁ Σιμμίας ὁ περιεργότατος τῶν μαθητῶν τοῦ Σωκράτους καὶ διὰ τῶν ἐρωτήσεων αὐτοῦ προκαλῶν, εἴπερ τις καὶ ἄλλος, λόγους καὶ συζητήσεις, ὡς φησιν αὐτὸς ὁ Σωκράτης ἐν τῷ Φαίδρῳ[1]. Οὗτος καὶ περὶ τοῦ δαιμονίου ἐτόλμησεν ἐρωτῆσαι τὸν Σωκράτη, ἀλλ' οὐδεμιᾶς ἔτυχεν ἀπαντήσεως. «Λύτὸς δὲ (Σιμμίας) Σωκράτη μὲν ἔφη περὶ τούτων ἐρώμενός ποτε μὴ τυχεῖν ἀποκρίσεως, διὸ μηδ' αὖθις ἐρέσθαι· πολλάκις δ' αὐτῷ παρακγενέσθαι τοὺς μὲν δι' ὄψεως ἐντυχεῖν θείῳ τινὶ λέγοντας, ἀλαζόνας ἡγουμένῳ, τοῖς δ' ἀκοῦσαι φωνῆς τινος φάσκουσι προσέχοντι τὸν νοῦν, καὶ διαπυνθανομένῳ μετὰ σπουδῆς. Ὅθεν ἡμῖν παρίστατο, σκοπουμένοις ἰδίᾳ πρὸς ἀλλήλους, ὑπονοεῖν, μή ποτε τὸ Σωκράτους δαιμόνιον οὐκ ὄψις, ἀλλὰ φωνῆς τινος αἴσθησις, ἢ λόγου νύησις εἴη, συνάπτοντος ἀτόπῳ τινὶ τρόπῳ πρὸς αὐτόν· ὥσπερ καὶ καθ' ὕπνον οὐκ ἔστι φωνή, λόγων δέ τινων δόξας καὶ νοήσεις λαμβάνοντες, οἴονται φθεγγομένων ἀκούειν».

Ἐκ τούτου τοῦ χωρίου μανθάνομεν, ὅτι ὁ Σωκράτης τοὺς λέγοντας ὄψιν τινὰ θείαν ἰδεῖν ἀλαζόνας ἡγεῖτο, ἐξ οὗ ἀποδεικνύεται ὅτι αὐτὸς οὐκ εἶχε παραίσθησιν ὁράσεως οὐδὲ εἶδέ ποτε ὄψιν θεοῦ τινος ἢ δαίμονος· διότι ἄλλως οὐκ ἂν ἡγεῖτο ἀλαζόνας τοὺς λέγοντας ὄψιν τινὰ θείαν ἰδεῖν· ὁ δὲ Lélut ἀξιοῖ τὸ ἐναντίον, ὅτι τὸ χωρίον τοῦ Πλουτάρχου οὐκ ἀποδείκνυσιν ὅτι ὁ Σωκράτης οὐχ ὑφίστατο καὶ παραίσθησιν ὁράσεως.

Ἀλλ' ἡμεῖς νομίζομεν ὅτι ἐκ τῶν εἰδη εἰρημένων ἀρκούντως ἐγένετο φανερόν, ὅτι τῆς παραισθήσεως τῆς ἀκοῆς ἐξαιρουμένης, ἅτε ἐπὶ χωρίου τῆς Ἀπολογίας ἀναμφισβητήτου στηριζομένης, ἣν ὅμως κακῶς ἑρμηνεύει, πᾶσαι αἱ ἄλλαι κρίσεις καὶ ἀποδείξεις τοῦ Lélut σαθραί εἰσι καὶ πολλάκις παράλογοι. Τοιαύτη ἡ περὶ παραισθήσεως τῆς ὁράσεως, ἡ περὶ τῆς ἁφῆς, ἡ περὶ τῆς καταληπτικῆς παραισθήσεως τοῦ Σωκράτους πρὸς τὸν ἥλιον ἀσκαρδαμυκτὶ ἀτενίζοντος, ὡς ποιοῦσιν οἱ μανιακοί. Τοιαύτη ἡ κρίσις ὅτι τὸ δαιμόνιον τοῦ Σωκράτους ὡρισμένος ἐστὶ δαίμων, τοιαύτη ἡ κλίμαξ περὶ τῶν παθολογικῶν αἰσθήσεων τοῦ Σωκράτους· τοιαύ-

---

1) Ὁ Σωκράτης ἐπαινῶν τὸ φιλόλογον τοῦ Φαίδρου λέγει ὅτι πάντων τῶν ἄλλων ὑπέρτερός ἐστι, πλὴν Σιμμίου τοῦ Θηβαίου. «Θεῖός γ' εἶ περὶ τοὺς λόγους, ὦ Φαῖδρε, καὶ ἀτεχνῶς θαυμάσιος. Οἶμαι γὰρ ἐγὼ τῶν ἐπὶ τοῦ σοῦ βίου γεγονότων μηδένα πλείους ἢ σὲ πεποιηκέναι γεγενῆσθαι ἤτοι αὐτὸν λέγοντα ἢ ἄλλους ἑνί γέ τῳ τρόπῳ προσαναγκάζοντα. Σιμμίαν Θηβαῖον ἐξαιρῶ λόγου, τῶν δὲ ἄλλων πάμπολυ κρατεῖς».

τη ἡ κρίσις, ὅτι ὁ Σωκράτης ἐπίστευεν ὅτι ἡ δύναμις τοῦ δαιμονίου αὐτοῦ μεγάλη, ἐπενεργοῦσα καὶ μακρόθεν ἐπὶ τῶν φίλων καὶ μαθητῶν.

Ἀλλ' ἴσως ἐν τοῖς ἑπομένοις ἐπιχειρήματα πιθανώτερα εὑρήσομεν καὶ ἀποδείξεις ἀσφαλεστέρας. Ἐξετάσωμεν οὖν καὶ τὸ λοιπὸν μέρος τὸ περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους πραγματευόμενον, μεταφέροντες ἐξ αὐτοῦ τὰ κυριώτερα.

Ὁ Lélut ἰσχυρὸς ἐν τῇ πεποιθήσει τῶν ἰδεῶν αὐτοῦ κρίνει καί τινας γνώμας ἀρχαίων τε καὶ νέων περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους· «Οἱ εὐμενέστερον, λέγει, περὶ Σωκράτους κρίνοντες ἔκ τε τῶν ἀρχαίων καὶ τῶν νέων, ἐν κεφαλαίῳ εἶπον, ὅτι αἱ ἐμπνεύσεις τοῦ δαιμονίου αὐτοῦ, παρ'αὐτοῦ ἴσως λίαν μεταφορικῶς ἐκπεφρασμένοι, οὐδὲν ἄλλο ἦσαν ἢ ἐμπνεύσεις τοῦ ἐναρετωτάτου καὶ συνετωτάτου καὶ φαεινοτάτου λόγου. Τοιαύτη σχεδόν ἐστιν ἡ γνώμη τινὸς τῶν διαλεγομένων ἐν τῷ περὶ δαιμονίου τοῦ Σωκράτους διαλόγῳ τοῦ Πλουτάρχου· «Οἴει γάρ, ἔφη ὁ Γαλαξίδωρος, ὦ Θεόκριτε, τὸ Σωκράτους δαιμόνιον ἰδίαν καὶ περιττὴν ἐσχηκέναι δύναμιν; οὐχὶ τῆς κοινῆς μόριον ἀνάγκης τὸν ἄνδρα πείρᾳ βεβαιωσάμενον, ἐν τοῖς ἀδήλοις καὶ ἀτεκμάρτοις τῷ λογισμῷ ῥᾳδίην ἐπάγειν;»

Τοιαύτη ἦν καὶ ἡ γνώμη τοῦ Montaigne, de Neudet, de Guy-Patin, de Fragnier, de Charpentier, de Rollin, de Voltaire καί τινων ἄλλων νεωτέρων Πλατωνικῶν φιλοσόφων (Cousin). ὀλίγοι δέ τινες τῶν νεωτέρων τὰς *δαιμονιακὰς* ἐμπνεύσεις τοῦ Ἀθηναίου φιλοσόφου ὑπέλαβον ἀποτέλεσμα ἐξάψεως τῇ μανίᾳ γειτνιαζούσης, οἷον ὁ Διδερῶτος καὶ Βαρθελεμῆς λίαν ὀρθὰ λέγουσι πράγματα· ἀλλ' ἡ γνώμη αὐτῶν ἐν παρόδῳ ῥηθεῖσα μετά τινος δισταγμοῦ δι'ἔλλειψιν ἀναπτύξεως καὶ ἀποδείξεων οὐδὲν εἶχε κῦρος. Ἕτερα δὲ ἑρμηνεία νεωτάτη, καίπερ ἧττον ἀληθής, ἡ μᾶλλον εὐάρεστός ἐστιν, ἐξ ὧν δύνανταί τις περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους εἰπεῖν, ὅταν μὴ ἀνατρέχων εἰς τὴν μελέτην τῆς παθολογικῆς ψυχολογίας ἁμοιρῇ τῶν μέσων πᾶσαν τὴν ἀλήθειαν ἰδεῖν[1]. Ἡ γνώμη αὕτη ἐστὶν ἡ τοῦ Σταπφέρου λέγοντος *ἐν τῇ καθολικῇ Βιογραφίᾳ* περὶ Σωκράτους, ὅτι ἀπὸ ἠθικὸν καὶ θρησκευτικὸν αἴσθημα τοῦ Σωκράτους ἦν τοσοῦτον ἀνεπτυγμένον, ὥστε, ὅτε αἱ κινήσεις μετὰ πλείονος ἐνεργείας ἐγίνοντο ἐπαισθηταί, ἐφαίνοντο αὐτῷ ἐξ ἄλλης αἰτίας χωριστῆς οὐκ ἐξ ἑαυτοῦ προερχόμεναι, νομίζοντι ὅτι παρατηρεῖ μᾶλλον αὐτὰς ἢ παράγει, ἀκούει φωνὰς μᾶλλον ἢ ἐκτελεῖ πράξεις καὶ ἔχει συγκινήσεις, ὧν πηγὴ καὶ ὑποκείμενον ἦσαν αὐταὶ αὐτοῦ αἱ δυνάμεις. Τὸν τρόπον τοῦτον τοῦ αἰσθάνεσθαι καλεῖ ὁ Stapfer *ὀπτικὴν ψυχολογικὴν ἀπάτην (illusion d'optique psychologique)*. Ὁμολογητέον ὅτι ἀδύνατον ἦν μετὰ πλείονος σεβασμοῦ περὶ τῶν παραισθήσεων μεγάλου ἀνδρὸς λαλῆσαι· ἀλλὰ καίτοι ἡ ἔκφρασις λεπτὴ καὶ ὀρθὴ φαίνεται, ἐν τούτῳ κεῖται ἡ πλάνη· διότι ὅπως αἱ ψευδεῖς τοῦ Σωκράτους ἀντιλήψεις ὦσιν ἁπλῆ ἀπάτη (illusion) ἢ μᾶλλον σφάλμα (méprise), τῇ καταστάσει λόγου πραγματικῶς ἀκεραίου συμβιβαζόμενον, ἔδει ἕνα ὁ φιλόσοφος ὑρίστατο αὐτὰς παροδικῶς, καὶμάλιστα ἐξελάμβανεν αὐτὰς τοιαύτας οἵαι ὄντως ἦσαν, ὡς ἔζιν ἰδεῖν ἐνίοτε ἐν τῇ ἀρχῇ τῆς αἰσθητικῆς παραφροσύνης (folie sensoriale)· ἀλλὰ τὸ πρᾶγμα οὐκ εἶχεν οὕτως ἐν ταῖς παραισθήσεσι τοῦ Σωκράτους· διότι οὗτος, ὡς καὶ αὐτὸς ὁ Stapfer ὁμολογεῖ, ἐνόμιζε τὸ δαιμόνιον αὐτοῦ ὡρισμένον πρόσωπον καὶ πραγματικόν, οὗ ἡ ἐνέργεια ἀπέβη σχεδὸν διηνεκής. Καίτοι ὁ Σωκράτης τὰς κοινὰς ἠσπάζετο προλήψεις καὶ δεισιδαιμονίας, τὸ προνόμιον τῆς θείας ταύτης ἀρωγῆς οὐχ ὑπελάμβανε τοσοῦτον κοινόν, ὡς οἴεται ὁ Stapfer, ἀλλ' ἴδιόν τι.

Ἀφ' οὗ ὁ Stapfer τὰς καλῶς ὡρισμένας παραισθήσεις εἶδός τι ὀπτικῆς ἐγκεφαλικῆς ἀπάτης ὑπέλαβε καὶ ἐπειράθη συμμαχικόν τινα ποιῆσαι σύνδεσμον αὐτῶν καὶ τοῦ ἀκεραίου καὶ κυριάρχου λόγου, ὃς ἐν τῇ τῶν πραγμάτων φύσει οὐκ ἔστιν, οὐδὲ τὴν ἔκστασιν τῆς καταληπτικῆς οὕτως εἰπεῖν παραισθήσεως κατὰ τὴν πολιορκίαν τῆς Ποτιδαίας συμβᾶσαν ἀποδέχεται ὡς τοιαύτην, ἀλλ' ὡς ἀποτέλεσμα σχεδὸν τεράστιον διανοητικῆς συστροφῆς (concentration), ὅλως λογικῆς καὶ ἐλευθέρας, ὅπερ ἀδύνατόν ἐζι (διὰ τί; ἰδ. σελ. 246), ὡς ἕκαστος αἰσθάνεται. Καίτοι δὲ ὁμολογεῖ ὅτι ἡ πίστις τοῦ Σωκράτους εἰς τὸ δαιμόνιον αὐτοῦ ἐγγὺς ἦν ἐνίοτε *τῆς δεισιδαιμονίας καὶ τῆς ἰσχυρογνωμοσύνης (de la superstition et de l'entêtement)*, πόρρω ἀπέχει νομίζειν τὸν Σωκράτη *θεόσοφον* ἢ φαντασιοπλῆκτον (visionnaire), μεμφόμενος τῷ συγγραφεῖ τοῦ Νέου Ἀναχάρσιδος εἰπόντι περὶ τοῦ δαιμονίου ὅτι λελογισμένη τίς ἐστιν ἰδιοτροπία ἢ ἔνδειξις διαστροφῆς τοῦ πνεύματος. Ἡ τελευταία κρίσις τοῦ Βαρθελεμῆ ἐστιν ἡ μόνη τῇ ἀληθείᾳ προσεγγίζουσα οὐχὶ δὲ καὶ πᾶσαν τὴν ἀλήθειαν περιλαμβάνουσα. Λύτη καὶ μόνη δύναται καταληπτὸν ποιῆσαι τὸν Σωκράτη, τὰς ἐμπνεύσεις αὐτοῦ, τὰς δοξασίας αὐτοῦ ὡς καὶ τὰς τῶν χρόνων αὐτοῦ». *(Démon de Socrate,* σελ. 206—212).

Ὅτι ὀρθῶς ὁ Stapfer κρίνει περὶ τῆς ἐν Ποτιδαίᾳ βαθείας τοῦ Σωκράτους μελέτης ἢ ἐκστάσεως, ὡς συνήθως καλοῦσιν αὐτήν, ἀρκούντως ἀπεδείξαμεν ἐν τοῖς ἔμπροσθεν (ἰδ. σελ. 246)· πρὸς δὲ τὰς ἄλλας παρατηρήσεις τοῦ Lélut πρὸς τὸν Stapfer ἐροῦμεν τὰ δέοντα παρακατιόντες.

Ἐπειδὴ δὲ ὁ Lélut οὐχ ὑπολαμβάνει τὸ λογικὸν τοῦ Σωκράτους ἀκέραιον, πειρᾶται τὰ ὅρια διαγράψαι τοῦ ὑγιῶς ἔχοντος λόγου, καὶ πότε τὰ ὅρια ταῦτα ὑπερπηδῶν ἄρχεται παραπαίειν· «ἄνθρωπός τις, λέγει, πάντα τὸν βίον αὐτοῦ διανυσάτω ἐκτὸς τοῦ κοινοῦ κανόνος, ἰδιότροπος ὢν τῇ συμπεριφορᾷ αὐτοῦ, τοῖς ἤθεσι, ταῖς δοξασίαις, ἢ ἐν μέρει ταῖς ἰδιοτροπίαις ταύταις ὑποκείμενος, μηδὲν ποιείτω, μηδὲν λεγέτω, μηδὲν σκεπτέσθω, ὡς οἱ κοινοὶ τῶν ἀνθρώπων· διαγέτω οὕτω διὰ κενοδοξίαν ἢ ὑπερηφάνειαν ἢ δειλίαν, διὰ σύνεσιν ἢ διὰ πάντα ταῦτα, ἢ τέλος δι' ἄλλόν τινα ἰδιοτροπίαν ἀφ' ἑαυτῆς ἑρμηνευομένην· ἂν τὸ πρᾶγμα μὴ περαιτέρω χωρῇ, ἂν ὁ ἰδιότροπος καὶ παράξενος οὗτος ἄνθρωπος μὴ σκέπτηται μηδὲ λέγῃ καὶ πράττῃ ἄλλως ἢ ὡς ἡμεῖς ἔν τισι περιστάσεσι τοῦ ἡμετέρου βίου ἐσκεψάμεθα, ἐλαλήσαμεν καὶ ἐπράξαμεν, κατανοοῦμεν τὴν κατάσασιν ταύτην, οἰκτείρομεν τὸν ἄνθρωπον καὶ ἴσως δυσμενῶς πρὸς αὐτὸν διακείμεθα, ἀλλ' οὐ καλοῦμεν αὐτὸν οὐδ' ἐπιτρέπει ἡ σύνεσις καὶ ἡ ἀλήθεια καλεῖν αὐτὸν παράφρονα, ὅταν μάλιστα ὁ λόγος ἢ περὶ τῆς διανοητικῆς καταστάσεως ἀνθρώπου, οὗ ἡ μεγαλοφυία ποιεῖ συγχωρεῖν αὐτῷ περισπασμοὺς (distractions) ἐνίοτε ἀστείους, περὶ ἀνθρώπου, ὃς ἴσως οὐκ ἄλλως δύναται μεγαλοφυὴς εἶναι ἢ ἰδιότροπος ὢν καὶ μάλιστα ἔστιν ὅτε ἐν τοῖς μικροῖς πράγμασι τοῦ βίου γελοῖος.

»Ἄνθρωπός τις ὡσαύτως κατεχέσθω διηνεκῶς ὑπὸ πάθους διανοητικῆς ἐμμόνου ἰδέας, ἀκολουθείτω αὐτῇ διὰ πασῶν τῶν ἀτραπῶν τοῦ βίου, ἐν πάσκις ταῖς καταστάσεσιν αὐτοῦ τοσοῦτον ποικίλαις καὶ πολλάκις ἐναντίαις· ἐπιλανθανέσθω ἐνίοτε τηρεῖν τὰ τακτικὰ καθήκοντα τοῦ πολίτου, τοῦ πατρὸς καὶ αὐτοῦ τοῦ συζύγου· ἂν ἡ κρᾶσις αὐτοῦ ἰσχυρὰ ᾖ, ἢ αἱ περιστάσεις μὴ ὦσι λίαν ἐναντίαι, ἢ ὁ σκοπὸς κατορθώσιμος ᾖ ἢ ἐγγὺς τούτου, ὁ λόγος αὐτοῦ οὕπω ἐκάμφθη, οὐδ'ἔζιν ἰδεῖν ἐν ταύτῃ τῇ ἰδιοτροπίᾳ ἢ μᾶλλον ἐν ταύτῃ τῇ ἀλλοτρόπῳ διανοητικῇ συστροφῇ, πρὸς ὕψηλόν ἐνίοτε σκοπὸν ἀποβλεπούσῃ, οὐκ ἔστιν ἰδεῖν, λέγω, ἄλλο ἢ ἐπικίνδυνον ἔντασιν πνεύματος, ἥ γε ἀξία ἐστίν, εἰ μὴ πάντοτε θαυμασμοῦ, τοὐλάχιστον τοῦ διαφέροντος καὶ τῆς ἐπιεικείας ἡμῶν, οὐδέποτε δὲ ἄνευ παραλόγου ἀδικίας ὡς μανία λογισθήσεται. Προσφερόμενός τις τοιούτῳ ἀνευλαβεῖ τρόπῳ πρὸς πάσας τὰς ἐμμόνους καὶ ἀποκλειστικὰς ἰδέας (idées fixes et exclusives) καὶ τὰς ἰδιοτροπίας ἃς παράγουσι, κινδυνεύσει στερῆσαι τὸ ἀνθρώπινον γένος τὸν στέφανον αὐτοῦ, ἢ τὰ λαμπρότερα αὐτοῦ ἄνθη μιᾶναι, καὶ δοῦναι τοῖς μεγάλοις ἀνδράσι κατοικίαν οὐ τὸ Πάνθεον, ἀλλὰ τὸ ὄνειδος τῶν μικρῶν οἴκων· διότι οὐδεὶς ἀνὴρ ἄντως περιφανὴς ἐπὶ μεγαλοφυΐᾳ ἐν τέχνῃ τινὶ ἢ ἐν ἐπιστήμῃ, ὃς περί τινα εἰκόνα ἐπασχολεῖται ἢ ἰδέαν ἢ σειρὰν ἐμπνεύσεων, ἢ περὶ ἀνακαλύψεις, διὰ πασῶν τῶν δυσχερειῶν διερχόμενος, γευόμενος πασῶν τῶν ἀπογοητεύσεων βίου ἐπὶ μακρὸν χρόνον ἀσήμου καὶ παρεγνωρισμένου, κυμαινόμενος μεταξὺ τῶν φρικωδῶν ἀπενθαρρήσεων ψυχῆς διαπύρου, οὐδεὶς ἐζιν ὁ μὴ παρασχὼν τοῖς τῶν συγχρόνων ὄμμασι καὶ ἔστιν ὅτε τοῖς μεταγενεστέροις τὸ εἶδος τοῦτο τοῦ περισπασμοῦ, παραγόμενον ὑπὸ ἐπασχολήσεως μεγάλης ἰδέας, ὅπερ ὁ μὴ κατανοῶν πολλάκις εἰς πειρασμὸν ἔρχεται ὑπολαβεῖν αὐτὸ ἀνακολουθίαν τῆς παραφροσύνης ἢ εὐήθειαν τῆς ἠλιθιότητος· παραδείγματα πρὸς ἐμπέδωσιν τῆς ἀποφάνσεως ταύτης εἰσὶ πολλά· οἷον ὁ πρῶτος τῶν Βρούτων ὑπὸ τὸ πρόσχημα τῆς ἠλιθιότητος κρύπτων τὴν τιμωρίαν καὶ ἐκδίωξιν τῶν Ταρκυνίων· ὁ Ἀρχιμήδης κράζων ἐν ταῖς ὁδοῖς τῶν Συρακουσῶν κατὰ τὴν ἅλωσιν αὐτῶν, ὅτι ἔλυσε τὸ πρόβλημα, καὶ μὴ αἰσθανόμενος ὅτι Ῥωμαῖος στρατιώτης ζίφει διατρυπᾷ τὰ στήθη αὐτοῦ κτλ. . . . . .

»Ἀλλ' ὀφείλομεν μὴ ἀποκρύψαι, ὅτι μεγαλοφυΐα μέχρι τῶν ἐσχάτων ὁρίων προβᾶσα, καὶ ὄργανον λίαν ἐντεταμένον διαχειριζομένη, καὶ εἰς πᾶσαν βιαίαν ὁρμὴν παραδιδομένη ἢ εἰς τὸν πυθμένα εἰσδύουσα τῶν ἐμπνεύσεων αὐτῆς, ἐγγύς ἐστι τῆς ἀξιοθρηνήτου καταστάσεως, ἧς τὸ ὄνομα ἔστιν ὅτε ἐδόθη αὐτῇ.

»Ἓν ἔτι βῆμα πρὸς τὰ πρόσω καὶ τὸ ὅριον ἐγένετο ὑπερβατὸν καὶ ἀντὶ Γαλιλαίου ἔχετε Κάρδανον, ἀντὶ Μελάγχθονος Λούθηρον, ἀντὶ δὲ Πλάτωνος Σωκράτη· καὶ ὄντως τοῦτο τὸ βῆμα ἐποίησεν ὁ Σωκράτης ὑπερβαλὼν τὰ ὅρια τοῦ λόγου. Ἡ ἀποκλειστική, ζωηρά, διάπυρος

1) Ὅταν ὅμως μόνον περὶ τὴν παθολογικὴν ψυχολογίαν ἀσχολῆταί τις, κινδυνεύει πανταχοῦ ὁρᾶν σημεῖα μανίας, ὡς ἔστιν ἰδεῖν ἐν τῷ συγγράμματι τοῦ Moreau *La Folie et le Génie.*

καὶ ὑψηλὴ ἰδέα, ἡ πρὸ μικροῦ τάς τε ἰδιοτροπίας ἐκείνας παράγουσα, ἐξ ὧν αὔξει καὶ ὑξύνεται τὸ δηκτικὸν τῆς μεγαλοφυΐας, καὶ τὴν συστροφήν, ἥτις ἐπιβάλλει τὴν σιωπὴν τοῦ σεβασμοῦ, ἡ ἰδέα, λέγω, αὕτη ἤλλαξε φύσιν, τὸν χαρακτῆρα ὑποδυθεῖσα εἰκόνος, φωνῆς, πράγματος ἐνὶ λόγῳ ἐσωτερικοῦ. Ἐνεσωματώθη, *ὁ λόγος σὰρξ ἐγένετο*, verbum caro factum est, καὶ ἡ θυσία ἐτελέσθη· ἡ δὲ ἀνθρωπότης ἡ ἐπὶ τεραστίοις ἔργοις ὑψηλοῦ καὶ δημιουργοῦ λόγου σεμνυνομένη, οὐδὲν ἄλλο ἔχει νῦν πρᾶξαι ἢ καλύψαι τὸ ἐκυτῆς πρόσωπον καὶ θρηνῆσαι τὴν ἀνεπανόρθωτον ἀπώλειαν ἑνὸς τῶν ἐνδοξοτάτων αὐτῆς τέκνων.

«Τοιοῦτον τὸ συμβὰν τῷ Σωκράτει πάθημα· ὅ,τι τὸ κατ' ἀρχὰς ἦν αὐτῷ ἀκατάσχετος ὁρμή[1], βαθεῖα πεποίθησις, ἰδέα πάσης ὥρας, ἐγένετο, τοῦ χρόνου προϊόντος, καὶ μάλιστα ὑπὸ τὴν ἐπήρειαν δυνηκοῦς ἐνεργείας, ἐξωτερικὴ τῆς ἀκοῆς αἴσθησις, καὶ ἄνευ ἀμφιβολίας[1] καὶ τῆς ὁράσεως. Μετὰ τὰς ἐμπνεύσεις τῆς συνειδήσεως, ἐπῆλθον αἱ ἐμπνεύσεις τῆς Θεότητος· ὁ Σωκράτης ἤκουσε *τοῦ Θεοῦ, τοῦ δαιμονίου, τῆς φωνῆς*, καὶ ἐν παντὶ τῷ σώματι ἤσθετο τῶν βρυγμῶν τῶν παρορμήσεων. Ἐσκέψατο, ἐλάλησεν, ἔπραξε κατὰ ταῦτα· ἐποίησεν αὐτὰ τίτλον δόξης καὶ ὑπεροχῆς[2] αὐτοῦ ἐπὶ τῶν συγχρόνων, οἵτινες ἐπίστευσαν αὐτῷ, ἐθαύμασαν, ἐθεοποίησαν αὐτόν, καίπερ δόντες αὐτῷ πιεῖν τὸ κώνειον, καὶ ὡς κληρονομίαν τοῖς μεταγενεστέροις κατέλιπον τὴν θεοποίησιν ταύτην νοσούσης κεφαλῆς».

«Λείπεταί μοι νῦν, λέγει, διασαφῆσαι πῶς ταῦτα ἦν δυνατὸν γενέσθαι, πῶς ὁ Σωκράτης, ἡ πρώτη φιλοσοφικὴ κεφαλὴ τῆς ἀρχαιότητος, ἠδυνήθη ἐξολισθῆσαι εἰς τὸ γενέσθαι παράφρων, (il a pu se laisser devenir fou), πῶς οὐκ ἤσθετο ὅτι ἐγίνετο, πῶς τοὐλάχιστον οἱ σύγχρονοι, οἱ φίλοι, οἱ μαθηταὶ αὐτοῦ, ἄνδρες πεφωτισμένοι, ἐπιστήμονες, φιλόσοφοι, οὐκ εἶδον τί ἦν ὁ συμπολίτης καὶ διδάσκαλος αὐτῶν, οὐδ' ὅτι ἡ διφυὴς αὐτοῦ ψυχολογία, εἰ προύκάλει τὸν θαυμασμόν, προύκάλει ὡσαύτως τὴν ἔκπληξιν καὶ τὸν οἶκτον. Αἱ ἀποδείξεις αὗται ἔσονται λίαν εὔκολοι, διότι φυσικῶς ἐκ τῆς ἐξετάσεως ἐξάγονται τῶν γενικῶν λόγων τῆς ἐποχῆς καθ' ἣν ἔζη ὁ Σωκράτης, καὶ μάλιστα ἐκ τῆς τῶν θρησκευτικῶν ἰδεῶν».

Ὁ σοφὸς Lélut εἰσέρχεται εἰς τὴν ἀφήγησιν τῆς ἀρχῆς, συστάσεως καὶ ἀναπτύξεως τῆς πολυθείας ἐν Ἑλλάδι, συγχέων τὰς νέας Θεωρίας τῶν Νεοπλατωνικῶν μετὰ τῶν ἀρχαίων. Θεμέλιον τῆς πολυθείας, λέγει, ἐστὶν ἡ φυσικὴ διάθεσις τοῦ ἀνθρώπου, ἐν τῇ νηπιότητι μάλιστα τῆς ἀναπτύξεως αὐτοῦ, τοῦ ἀνάγειν πάντα εἰς ἔμψυχον αἰτίαν· πάντα οὕτως ἀπέβησαν θεοί· οἱ δὲ Ἕλληνες πᾶσαν τὴν φύσιν ἐπλήρωσαν θεοτήτων· ὁ οὐρανός, τὰ ἄστρα, ὁ ἀήρ, ἡ γῆ καὶ αἱ ῥίζαι αὐτῆς, ἡ θάλασσα, τὰ ὄρη, αἱ κοιλάδες, τὰ δάση, οἱ ποταμοί, αἱ πηγαὶ κτλ. ἦσαν μεστὰ θεῶν.

Ὅτε οἱ φιλόσοφοι Πυθαγόρας, Ἀναξαγόρας, Σωκράτης, Πλάτων[1] ἤρξαντο τοὺς θεοὺς πνευματικωτέρους ποιεῖν διαφόρους ἐποιήσαντο τάξεις τῶν θεοτήτων, διατάξαντες κατὰ τὸν ἐξῆς τρόπον· τὴν πρώτην τάξιν ἀπένειμαν Θεῷ τινι ἀπείρῳ, ὃν πολλάκις συνέχεον τῇ Εἱμαρμένῃ, οὐκ εἰδότες τί σχῆμα καὶ τί σῶμα ἀποδοῦναι αὐτῷ· τὴν δευτέραν τάξιν κατέλαβον τὰ ἄστρα, τὸ πῦρ, ὁ αἰθήρ, ὁ ἀήρ· τὴν δὲ τρίτην κατέλαβεν ὁ πολυμιγὴς ὄχλος τῶν ἀληθῶν καὶ ἀνθρωπομόρφων θεῶν μεγάλων τε καὶ μετρίων καὶ μικρῶν καὶ λίαν μικρῶν.

Ἐδέησεν εὑρεῖν τρόπον συγκοινωνίας τῶν θεῶν τούτων τοῖς ἀνθρώποις, ὅπως τὰς δεήσεις αὐτῶν καὶ τὰ σεβάσματα δέχωνται καὶ παρέχωσιν αὐτοῖς συμβουλὰς καὶ ἐπιταγάς. Ἐπὶ τούτῳ δὲ τῷ σκοπῷ οἱ φιλόσοφοι ἐπλήρωσαν τὸν ἀέρα δαιμόνων, οἵτινες νέον εἶδος ὄντων εἰσὶ γεννηθέντες ἐκ θεῶν καὶ γυναικῶν, ἀθάνατοι, ὡς οἱ θεοί, καὶ εἰς πάθη ὑποκείμενοι, ὡς οἱ ἄνθρωποι. Τῶν μεσιτῶν τούτων μεταξὺ θεῶν καὶ ἀνθρώπων ὁ ἀριθμὸς ἦν ἄπειρος· ἐξ αὐτῶν οἱ μὲν ἦταν ὡρισμένοι ἑκάστῳ ἀνθρώπῳ ὡς ἀγαθοὶ ἢ κακοὶ δαίμονες, οἱ δὲ εἶχον ἄλλας λειτουργίας· πλὴν τούτων ἦσαν καὶ ἄλλοι δαίμονες, αἱ ψυχαὶ τῶν ἀγαθῶν ἀνδρῶν, μετὰ θάνατον θεοποιηθεῖσαι.

Ὁ Lélut ἐπαινεῖ τοὺς φιλοσόφους δι' ἣν ἐποίησαν μεγάλην εὐεργεσίαν τῇ ἀρχαίᾳ κοινωνίᾳ, διότι ἀντὶ τῶν χυδαίων καὶ σωματοειδῶν θεῶν ἐπλήρωσαν καὶ αὐτὸν ὃν ἀνέπνεον ἀέρα ἡμιτελῶν πνευμάτων (demi-esprits), ἐξ ὧν τὰ μὲν ἦσαν ὁδηγοὶ καὶ φύλακες, τὰ δὲ πονηροὶ καὶ κακοὶ δαίμονες[1]. Τῆς δὲ Θεωρίας ταύτης τῆς περὶ δαιμόνων, τῶν ἀναγκαίων τούτων μεσιτῶν μεταξὺ Θεῶν καὶ ἀνθρώπων, τὸν Σωκράτη ἡγεῖται, εἰ μὴ πατέρα, τοὐλάχιστον ἀνάδοχον, ὡς πάντες σχεδὸν οἱ διάλογοι τοῦ Πλάτωνος μαρτυροῦσι· παρεκινήθη δέ, λέγει, ὑποστηρίξαι τὴν θεωρίαν ταύτην, διὰ τοῦ ἀξιώματος τῶν πεποιθήσεων αὐτοῦ, ἐκ τῶν ἔξῆς. Ἡ διάνοια αὐτοῦ ἀνατραφεῖσα ἐν τῇ εἰδωλολατρείᾳ καὶ ἐν τῇ πίστει εἰς ὄνειρα, εἰς χρησμούς, εἰς θαύματα, φύσει περίεργος καὶ ἐταστικὴ καὶ ἐφελκομένη ὑπὸ ἐμπνεύσεων ἐκ τῆς νεκυικῆς ἡλικίας ἀρξαμένων, ἐζήτησε λίαν πρωΐμως μαθεῖν πῶς οἱ θεοὶ κατεργάζονται τοὺς χρησμούς, τὰ ὄνειρα, τὰ θαύματα, καὶ πῶς ἐν αὐτῷ γεννῶσι τὰς ἐμπνεύσεις καὶ τὰς προμηνύσεις.

«Οἱ θεοί, οἵους ἐνόμιζεν ὁ Σωκράτης, οὐκ ἠδύναντο περὶ μικρὰ πράγματα τυρβάζειν, περιοριζόμενοι ἐν τῇ τοῦ κόσμου διοικήσει, μεταχειριζόμενοι δὲ διὰ τὰ ἄλλα μεσίτας, ἀοράτους ὡς ἐπὶ τὸ πλεῖστον, αἰσθητοὺς δὲ τῇ ἀκοῇ καὶ τῇ ἁφῇ, ἢ δυνάμει ἄλλων βαθυτέρων καὶ ἐνδομυχοτέρων ἐντυπώσεων. Κατ' αὐτὸν τὸν τρόπον πάντα σαφῆ γίνονται, τά τε γενικὰ τῶν χρησμῶν, τῶν θαυμάτων, τῶν ὀνείρων καὶ πασῶν τῶν ἄλλων τῆς θεότητος ἐπιρροῶν ἐπὶ τῆς γῆς καὶ τῶν κατοίκων αὐτῆς, καὶ τὰ μερικὰ τῶν ἐμπνεύσεων τοῦ Σωκράτους[2] περὶ τῶν ἀρχῶν καὶ τῶν καθηκόντων τῆς ἠθικῆς καὶ περὶ τῆς ἐκκαθάρσεως τῶν θρησκευτικῶν ἰδεῶν, ἅπερ ἄμφω μέλημα καὶ σκοπὸς τοῦ βίου αὐτοῦ ὑπῆρξαν.

Δυνάμεθα εἰπεῖν ὅτι ἐν τοιαύτῃ καταστάσει οὐκ ἦν δυνατὸν ἄλλως ἔχειν θρησκευτικὰς δοξασίας ἢ ἃς εἶχεν, οὐδ' εἰς ἄλλο ψυχολογικὸν τέλος καταλῆξαι ἢ εἰς ὃ ἀφίκετο· πολλῷ δὴ μᾶλλον οὐκ ἠδύνατο ἰδεῖν τί ἦν ὄντως καὶ τί λίαν πρωΐμως ἤρξατο εἶναι. Οὗτοι δὲ οἱ λόγοι ἦτοι αἱ περιστάσεις αὗται τοῦ τόπου, τῆς ἐποχῆς τῆς θρησκείας καθ.στᾶσιν ὡσαύτως καταληπτὸν διά τί οὐκ ἐφαίνετο οἷος ἦν, *παραισθητικὸς παράφρων* δῆλον ὅτι *(fou allucinè)*, καὶ τοῖς ὅμμασι τῶν λίαν πεφωτισμένων ἐκ τῶν συγχρόνων αὐτῷ· διότι τί ἔκτακτον ἦν ὅτι ὁ συμπολίτης, ὁ φίλος, ὁ διδάσκαλος αὐτῶν εἶχε κοινωνίαν τῇ Θεότητι, οὗ ἡ διαγωγὴ ἦν ἀγνοτάτη, φρονιμωτάτη, προνοιακὴ καὶ θεία;»

Τοιοῦτοι οἱ λόγοι, κατὰ Lélut, δι' οὓς ὁ Σωκράτης κατέληξεν εἰς παραφροσύνην καὶ οὔτε αὐτὸς ἤσθετο τούτου οὔτε οἱ σύγχρονοι καὶ φίλοι αὐτοῦ. Ἀνακεφαλαιούμενος δὲ τὰ περὶ Σωκράτους καὶ τοῦ δαιμονίου λέγει τὰ ἑξῆς· «Ὁ Σωκράτης ἀνεφάνη τοιοῦτος οἷον ἔπλασεν αὐτὸν ἡ φύσις καὶ οἷον αὐτὸς ἑαυτὸν ἀνέ-

---

1) Ἡ ψυχολογικὴ αὕτη κλίμαξ τῶν παραισθήσεων τοῦ Σωκράτους ὅλως φαντασιώδης ἐστίν, ὡς ἡ ἑτέρα, περὶ ἧς ἐγένετο λόγος ἐν σελ. 250· 255.

2) Τὰ ἐναντία λέγει ὁ Πλούταρχος καὶ ὁ Γρότιος (ἴδ. σελ. 230. 240).

1) Οὔτε οἱ φιλόσοφοι πρῶτοι ἐποιήσαντο διάταξιν τῶν θεῶν, διότι ὑπάρχει παρ' Ὁμήρῳ καὶ Ἡσιόδῳ (ἰδ. § § 16, 20—21), οὔτε πρῶτοι ἐσκέψαντο περὶ ἀγγέλων μεταξὺ θεῶν καὶ ἀνθρώπων, διότι ὁ Ἑρμῆς καὶ ἡ Ἶρις χρησιμεύουσιν ὡς ἄγγελοι παρ' Ὁμήρῳ μεταξὺ θεῶν καὶ ἀνθρώπων. Ὁ δὲ Ἡσίοδος λέγει ὅτι αἱ ψυχαὶ τῶν ἀγαθῶν ἀνδρῶν μετὰ θάνατον γίνονται ἀγαθοὶ δαίμονες, φύλακες τῶν ἀνθρώπων· οὐδὲ οἱ φιλόσοφοι σῶμα τῷ θεῷ δοῦναι ἐφρόντισαν, κηρυχθέντες κατὰ τῆς ἀνθρωποφυΐας τῶν θεῶν. (Ἰδ. § 28, σελ. 120).

1) Πρὸ τῶν φιλοσόφων οἱ ποιηταὶ ἐμνημόνευσαν ἀγαθῶν καὶ κακῶν δαιμόνων (ἴδε § 27, σελ. 120)· ἡ δὲ ἀρχαία κοινωνία οὐδέποτε παρεδέξατο οὐδὲ ἀνεγνώρισεν ὡς ἄρθρον πίστεως τὰς περὶ δαιμόνων θεωρίας τῶν φιλοσόφων.

2) Ὁ Lélut ἁμαρτάνει νομίζων ὅτι ὁ Σωκράτης τὴν μὲν γενικὴν πρόνοιαν τοῦ κόσμου ἀνατίθησι τοῖς μεγάλοις θεοῖς, τὴν δὲ μερικὴν ἑκάστου ἀνθρώπου τοῖς δαίμοσι. Κατὰ τὸν Σωκράτη καὶ ἡ γενικὴ καὶ ἡ μερικὴ πρόνοια ἦν ἔργον τοῦ Θεοῦ, ἢ τῶν Θεῶν, ὡς ἀρκούντως ἐν τοῖς ἔμπροσθεν ἀποδέδεικται (ἴδ. σελ. 194—195· 201—202· 226). Ἡ δὲ ἀπαντῶσα ἐν τοῖς Πλατωνικοῖς διαλόγοις θεωρία περὶ δαιμόνων Πλατωνικὴ ἐστιν οὐ Σωκρατική, ὡς ὁμολογοῦσιν οἱ καλῶς εἰδότες τὴν Σωκρατικὴν καὶ Πλατωνικὴν φιλοσοφίαν. Ἔχει δὲ ἡ θεωρία ὧδε, ἐν τῷ Συμποσ. σελ. 202· «Τί οὖν, ὦ Διοτίμα, (ὁ Ἔρως);

Δαίμων μέγας, ὦ Σώκρατες· καὶ γὰρ πᾶν τὸ δαιμόνιον μεταξύ ἐστι θεοῦ τε καὶ θνητοῦ. Τίνα, ἦν δ' ἐγώ, δύναμιν ἔχον; Ἑρμηνεῦον καὶ διαπορθμεῦον θεοῖς τὰ παρ' ἀνθρώπων καὶ ἀνθρώποις τὰ παὰ θεῶν, τῶν μὲν τὰς δεήσεις καὶ θυσίας, τῶν δὲ τὰς ἐπιτάξεις τε καὶ ἀμοιβὰς τῶν θυσιῶν, ἐν μέσῳ δὲ ὂν ἀμφοτέρων συμπληροῖ, ὥστε τὸ πᾶν αὐτὸ αὑτῷ ξυνδεδέσθαι· διὰ τούτου καὶ ἡ μαντικὴ πᾶσα χωρεῖ καὶ ἡ τῶν ἱερέων τέχνη τῶν τε περὶ τὰς θυσίας καὶ τὰς τελετὰς καὶ τὰς ἐπῳδὰς καὶ τὴν μαντείαν πᾶσαν καὶ γοητείαν· θεὸς δὲ ἀνθρώπῳ οὐ μίγνυται, ἀλλὰ διὰ τούτου ἐστὶ πᾶτα ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώπους καὶ ἐγρηγορόσι καὶ καθεύδουσι· καὶ ὁ μὲν περὶ τὰ τοιαῦτα σοφὸς δαιμόνιος ἀνήρ, ὁ δὲ ἄλλο τι σοφὸς ὢν ἢ περὶ τέχνας ἢ χειρουργίας τινὰς βάναυσος· οὗτοι δὴ οἱ δαίμονες πολλοὶ καὶ παντοδαποί εἰσιν, εἷς δὲ τούτων ἐστὶ καὶ ὁ Ἔρως».

Τοιαύτη ἡ ποιητικὴ θεωρία περὶ δαιμόνων τοῦ Πλάτωνος· καίτοι δὲ ἡ μεταγενεστέρα δαιμονολογία πολλὰ ἐξ αὐτῆς ἠρύσατο, οὐδὲν δείκνυσιν ὅτι ὁ Πλάτων ἐπίστευεν εἰς αὐτήν. Ἐν τῷ Τιμαίῳ (σελ. 90) τὸν νοῦν καλεῖ δαίμονα ξύνοικον, δαίμονα τοῦ ἀνθρώπου· «ὡς ἄρα αὐτὸ (τὸ κυριώτατον παρ' ἡμῖν εἶδος ψυχῆς, τὸν νοῦν) δαίμονα θεὸς ἑκάστῳ δέδωκε». (Ἰδ. Zeller *die Philosoph. der Griechen* II, 1, σελ. 791).

δειξεν ἐπασχολούμενος περὶ μίαν ἰδέαν, προσέχων τὸν νοῦν εἰς ἕνα σκοπόν, εἰς τὴν βελτίωσιν τοῦ ἀνθρωπίνου γένους διὰ τῆς μεταρρυθμίσεως τῆς λογικῆς, τῆς ἠθικῆς καὶ τῆς θρησκείας. Οἱ λόγοι, αἱ πράξεις, ἡ ἀφιλοκέρδεια, ἡ πενία, ἡ μεγαλοψυχία, ἡ ἐγκράτεια, ἡ πολιτικὴ σταθερότης, ἡ στρατιωτικὴ ἀνδρεία, ἡ ἐγρήγορσις καὶ ὁ ὕπνος αὐτοῦ, πάντα πρὸς τοῦτον ἀπέβλεπον τὸν σκοπὸν τὸν ἐπιβληθέντα μᾶλλον αὐτῷ ὑπὸ τῆς φύσεως αὐτοῦ ἢ παρ' αὐτοῦ ἐκλεχθέντα· οὐδενὸς τῶν καθηκόντων ὠλιγώρησεν, ὧν προεξήρχεν ἡ ἠθικὴ διδασκαλία, πρακτικὴ μᾶλλον ἢ θεωρητική, ἣν αὐτὸς ἑαυτῷ περιεποίησεν ὑπὲρ πάντων τῶν Ἀθηναίων, πάντα τὰ ἀγαθὰ καὶ τίμια μεταχειριζόμενος μέσα. Βίος τοιοῦτος, συνοχὴ τοιαύτη πνεύματος ἔμελλον παρασῦραι εἰς μεγάλας ἰδιοτροπίας λόγων, τρόπων, διαγωγῆς, διάνοιαν ἤδη ἰδιότροπον καθ' ἑαυτήν· ἔμελλον αὐξῆσαι τὴν καρτερίαν εἰς τὸ ψῦχος καὶ εἰς τὸ θάλπος, εἰς τὸ μύλυσμα τοῦ λοιμοῦ καὶ εἰς τὰς χρείας τῆς ζωῆς· ἔμελλον αὐξῆσαι τὴν ὁρμὴν τῶν ἐμπνεύσεων καὶ τῶν ἐσωτερικῶν ὡθήσεων, ὧν ἡ ἀρχὴ ἦν ἤδη ἐξ αὐτῆς τῆς γεννήσεως, καὶ ποιῆσαι αὐτὰς τὸν χαρακτῆρα ὑποδύσασθαι τῶν ἐξωτερικῶν αἰσθήσεων· καὶ τοῦτο συνέβη τῷ Σωκράτει· ἔσχεν ἐκστάσεις, σχεδὸν παροξυσμοὺς καταληπτικούς, ὡς ἐν Ποτιδαίᾳ καὶ ἀλλαχοῦ· ὕστερον αἱ ἐκστάσεις αὗται[1] ἔλαβον χαρακτῆρα παραισθήσεων μᾶλλον ὡρισμένων, συντομωτέρων καὶ θαμινωτέρων, παραισθήσεων τῆς γενικῆς ἀφῆς, ἐσωτερικῆς ἢ ἐξωτερικῆς, παραισθήσεων τῆς ἀκοῆς καὶ πιθανῶς τῆς ὄψεως. Ὁ Σωκράτης οὐκέτι ἐδίστασε περὶ τῆς τοῦ *δαίμονος* ἢ τοῦ Θεοῦ αὐτοῦ ἀρωγῆς, ἣν καταληπτὴν ἐποίουν αἱ ἐπικρατοῦσαι θρησκευτικαὶ δοξασίαι, καὶ ἥτις ποιοῦσα ὡσαύτως αὐτὰς καταληπτὰς προήγαγεν αὐτὸν τροποποιῆσαι αὐτάς. Ἐν καιρῷ τῆς τραπέζης, ἐν ταῖς ὁδοῖς τῶν Ἀθηναίων, ἐν ταῖς παιδιάσιν ἐπεῖχε ὁτὲ μὲν ἄνευ φανερᾶς αἰτίας, ὁτὲ δὲ ἔκ τινος πταρμοῦ ἐξ ἑαυτοῦ ἢ ἐξ ἄλλου προερχομένου, καὶ ἐποίει ἢ οὔ κατὰ τὴν διεύθυνσιν τοῦ πταρμοῦ ἢ ἐκ δεξιῶν ἢ ἐξ εὐωνύμων· ἀλλ' ἐπεῖχε μάλιστα, εἰ τὴν φωνὴν ἤκουε τοῦ Θεοῦ, ἀεὶ ἀποτρέπουσαν· αἱ γινόμεναι αὐτῷ ἀπαγορεύσεις ἀπέβλεπον εἰς αὐτόν, ἔστιν ὅμως ὅτε καὶ εἰς τοὺς φίλους, ὡς μαρτυροῦσι τὰ συμβάντα τῷ Χαρμίδῃ, τῷ Κρίτωνι, τῷ Τιμάρχῳ καὶ τῷ συνενόχῳ, τοῖς μαθηταῖς αὐτοῦ καταβορβορωθεῖσιν ὑπὸ τῶν χοίρων, καὶ ἄλλα τοιαῦτα· ἄλλοτε τέλος τὰ προμηνύματα ἀπέβλεπον εἰς τὰ κοινά, οἷά εἰσι τὰ περὶ τῆς κακῆς ἐκβάσεως τῆς ἐκστρατείας εἰς Σικελίαν.

»Αἱ ψευδεῖς αὗται ἀντιλήψεις ἢ παραισθήσεις τοῦ Σωκράτους, ὡς ἐμπνεύσεις τοῦ δαιμονίου παρ' αὐτοῦ ἐκλαμβανόμεναι, ηὔξησαν τῆς ἡλικίας προϊούσης καὶ τῆς πίστεως εἰς τὸν θεὸν ὃς παρεῖχεν αὐτὰς ἐπιτεινομένης. Τελευτῶν μάλιστα ἐπίστευσεν ὅτι, τῇ θείᾳ ταύτῃ ἀρωγῇ, ἠδύνατο καὶ μακρόθεν ἐπενεργεῖν ἐπωφελῶς ἐπὶ τοῖς μαθηταῖς αὐτοῦ καὶ ἄγειν αὐτοὺς διὰ τοῦ ἠθικοῦ τούτου μαγνητισμοῦ εἰς τὸν σκοπὸν τῶν ἀναμορφωτικῶν αὐτοῦ ἀγώνων. Αἱ ἀντιλήψεις αὗται καὶ ἡ πίστις αὕτη κατὰ τοὺς χρόνους τῆς εἰσαγωγῆς αὐτοῦ εἰς δίκην καὶ τῆς καταδίκης ἦσαν τοσοῦτον ἰσχυραί, ὥστε ἀπέτρεψαν αὐτὸν τὴν ἀπολογίαν αὐτοῦ παρασκευάσαι καὶ δεηθῆναι τῶν δικαστῶν ὑπὲρ ἑαυτοῦ, ἐνέπνευσαν δὲ εἰπεῖν πρὸς αὐτούς, ὅτι κινδύνῳ τῆς ζωῆς αὐτοῦ οὐ παύσεται φιλοσοφῶν.

Οὐδὲν παραδοξότερον, ἀλλὰ καὶ οὐδὲν βεβαιότερον ὡς κριτήριον τῆς μανίας, ἢ αἱ παραισθήσεις αὗται, αἵτινες, διὰ τὴν διεύθυνσιν αὐτῶν πρὸς ἕνα σκοπόν, διὰ τὴν πορείαν καὶ αἰτίαν καὶ διὰ τὴν περίστασιν, ὅτι καθ' ὅλον τὸν βίον διαρκοῦσιν ἄνευ περιπλοκῆς ἀληθοῦς μανιακοῦ παροξυσμοῦ, εἰδός τι συνιστῶσι παραφροσύνης, ὃ δυνάμεθα *αἰσθητικὴν* καλέσαι *παραφροσύνην* (*folie sensoriale* ou *perceptive*).

Τοιαῦται ἦσαν αἱ παραισθήσεις τοῦ Σωκράτους ὡς καὶ ἄλλων μεγάλων ἀνδρῶν, τῆς θρησκείας μάλιστα ἀναμορφωτῶν. Τρεῖς δέ εἰσιν οἱ λόγοι δι' οὓς ἔλαβον καὶ διετήρησαν τὸν χαρακτῆρα τοῦτον· α') εἶχοντο τῶν αἰσθήσεων τῆς παιδικῆς ἡλικίας οἱονεὶ συνέχεια οὖσαι αὐτῶν· β') παρεδόθη αὐταῖς ἀνέτως, τῶν συγχρόνων θρησκευτικῶν δοξασιῶν παντοιοτρόπως ἐπιτρεπουσῶν ταῦτο καὶ περιβαλλουσῶν ἐνθέῳ καὶ θείῳ χαρακτῆρι ἀξιώσεις καὶ αἰσθήσεις, αἷς νῦν ἄλλο δίδοται ὄνομα· γ') αἱ ἰατρικαὶ γνώσεις περὶ μανίας τῶν χρόνων ἐκείνων, τοῦ Ἱπποκράτους π. χ., ὃς ἦν σύγχρονος τῷ Σωκράτει, οὐκ ἠδύναντο γνωστὸν καταστῆσαι τὸ εἶδος τοῦτο τῆς αἰσθητικῆς μανίας, ἄλλως τε καὶ τῶν φιλοσόφων ἀποφηναμένων ὅτι ἡ ἀληθὴς μανία γένος ἐστὶ τῆς ἐξάλλου παραφορᾶς (*fureur*) διακρινομένη τῆς Πυθικῆς μανίας, ἤτοι τῆς ἐκ θείας ἐμπνεύσεως, πρὸς δὲ ἀξιούντων ὅτι σοφός τις παραφέρεται μέν, οὐδέποτε δὲ διὰ παντὸς μανικὸς ἀποβήσεται.

»Ἐκ τῆς βιογραφικῆς ὅμως περιλήψεως ἣν ἐποιησάμεθα κατεδείχθη, ὅτι ὁ Σωκράτης ἦν ἀληθῶς παράφρων· διότι ἂν ὑπάρχῃ ῥητὸς καὶ ἀναντίλεκτος χαρακτὴρ τῆς μανίας, εἰσὶν αἱ παραισθήσεις (hallucinations) τουτέστιν ἡ κατάστασις ἐκείνη, ἐν ᾗ ὁ ἄνθρωπος θορυβούμενος ὑπὸ τῶν διαταράξεων τοῦ πνεύματος αὐτοῦ τὰς ἰδίας αὐτοῦ ἰδέας ἐκλαμβάνει ὡς αἰσθήσεις ὑπὸ τῆς ἀμέσου ἐνεργείας τῶν ἐξωτερικῶν πραγμάτων προελθούσας. Ὁ Ἀθηναῖος λοιπὸν φιλόσοφος παρὰ τὴν ἐπίμονον αὐτοῦ μέριμναν πρὸς θριαμβον μιᾶς ἢ δύο ἰδεῶν, παρὰ τὰς παντοειδεῖς αὐτοῦ ἰδιοτροπίας, ἴσως τεσσαράκοντα ἔτη τὸν ἀναντίρρητον περιεβλήθη τῆς παραφροσύνης χαρακτῆρα. Εὐτυχῶς διὰ τὴν δόξαν τῶν Ἀθηνῶν καὶ τὴν τῆς φιλοσοφίας, διὰ τὸν θριαμβον τῆς ἠθικῆς καὶ τὸ ἀγαθὸν τῆς ἀνθρωποτητος ἡ παραφροσύνη αὐτοῦ ὡς ἐκ τῆς φύσεως αὐτῆς καὶ τῶν χρόνων, καθ' οὓς ἔζη ὁ Σωκράτης, διετήρησε τὸν αἰσθητικὸν αὐτῆς χαρακτῆρα, οὐδαμῶς εἰς τὴν κατάστασιν τῆς γενικῆς καὶ ἀληθῶς μανιακῆς παραφροσύνης μεταβᾶσα. Ὁ Σωκράτης ἠδυνήθη οὕτω καθ' ὅλον αὐτοῦ τὸν βίον διατελέσαι ὢν ὁ ἀντιπρόσωπος καὶ ἀναντιρρήτως ὁ μάρτυς, ἀλλὰ καὶ βεβαίως ἡ παραισθητικὴ τουλάχιστον ἔκφρασις τοῦ λόγου, τῆς φιλοσοφίας, τῆς ἀρετῆς».

Τοιοῦτον τὸ τελευταῖον συμπέρασμα τοῦ σοφοῦ Lélut, ὁ Σωκράτης καθ' ὅλον αὐτοῦ τὸν βίον διετέλεσεν ὢν ἡ πρώτη κεφαλὴ τοῦ ὀρθοῦ λόγου, τῆς φιλοσοφίας, τῆς ἀρετῆς, καὶ ἡ νοσοῦσα καὶ παράφρων κεφαλὴ τοῦ αὐτοῦ λόγου, τῆς φιλοσοφίας, τῆς ἀρετῆς. Ἀλλὰ πῶς ταῦτα συμβιβάζονται τὸν αὐτὸν εἶναι κορυφαῖον ἀντιπρόσωπον τοῦ λόγου, καὶ οἰκτρὰν παράφρονα ἔκφρασιν αὐτοῦ; Τοῦτο οὐκ ἔδει γεννῆσαι δισταγμόν τινα μήτοι ἡ παθολογικὴ αὐτοῦ ῥήτρα, ὅτι *πᾶς παραισθητικὸς καὶ παράφρων*, ἡμαρτημένη ἦ; διότι τὸ πεδίον τῶν ἀσυνειδήτων ἢ αὐτομάτων τῆς ψυχῆς ἐνεργειῶν λίαν εὐρύ ἐστιν. Ἡ συνείδησις, ἵνα χρήσωμαι τῇ φράσει τῶν φυσιολογούντων ψυχολόγων, ἔχει τὴν ὠχρὰν αὐτῆς κηλίδα (sa tache jaune) ὡς ὁ ἀμφιβληστροειδὴς χιτὼν τοῦ ὀφθαλμοῦ· ὡς ἡ διακεκριμένη ὄψις μικρόν ἐστι μόριον τῆς ὅλης ὄψεως, οὕτω καὶ ἡ σαφὴς συνείδησις μικρά τίς ἐστι μοῖρα τῆς ὅλης συνειδήσεως, ἐν ᾗ πολλὰ μένουσιν ἐν λανθανούσῃ καταστάσει ἀνεπαίσθητα, ἕως δοθῇ ἀφορμὴ καὶ γένωνται μέλημα τῆς σαφοῦς συνειδήσεως. Οὕτω λοιπὸν ἐνέργειαί τινες τῆς ψυχῆς γίνονται αὐτομάτως ἄνευ τῆς θελήσεως καὶ τῆς συνειδήσεως ἡμῶν, ἐξ ὧν ἐστι καὶ τὸ ἀξιομνημόνευτον ἐκεῖνο παράδειγμα τοῦ μαθηματικοῦ, περὶ οὗ ἐν τοῖς ἔμπροσθεν (σελ. 232—233) εἴπομεν, ὃς τὴν λύσιν γεωμετρικοῦ τινος προβλήματος ἀπέδωκεν ὑπερφυσικῷ τινι ὄντι. Εἰ δὲ ὁ μαθηματικὸς διετέλει πιστεύων ὅτι οὐκ αὐτὸς ἔλυσε τὸ πρόβλημα, ἀλλ' ὑπερφυσικόν τι ὂν ἐνέπνευσεν αὐτῷ τὴν λύσιν, ἦν ἂν αὕτη διὰ τοῦτο ἔλασσον ὀρθὴ καὶ ἀληθής; οὐχί. Τοιοῦτόν τι δυνάμεθα εἰπεῖν καὶ περὶ τῶν ἰδεῶν καὶ κρίσεων τοῦ Σωκράτους, αἵτινες, ὡς φωνὴ ἀποτρεπτική, αἴφνης καὶ αὐτομάτως ἐνεφανίζοντο τῷ λογικῷ αὐτοῦ· ἦσαν αὐτόματοι καὶ ἀσυνείδητοι ἐνέργειαι τῆς ψυχῆς, ὅπερ οὐδαμῶς ἐκώλυεν αὐτὰς εἶναι ὀρθὰς καὶ λογικὰς καὶ ἀληθεῖς, ἐξ ἀρχῆς ὀρθῆς καὶ ἰσχυρᾶς ὡρμημένης· ὥστε οὐκ ἀπεικότως ἐκάλεσάν τινες αὐτὰς ἔμπνευσιν ὀρθοτάτου καὶ φαεινοτάτου λόγου, ὡς προποδηγόν,

ἥ μάνη τοι πρόσθεν ἰοῦσα τίθει φάος,
ἐν πράγμασιν ἀδήλοις.

Ἴσως ἡμέραν τινὰ ἡ ἐπιστήμη εὑρήσει τὴν προσήκουσαν λύσιν τῶν ἀσυνειδήτων καὶ αὐτομάτων τῆς ψυχῆς ἐνεργειῶν, ὁρίζουσα τὴν φύσιν καὶ τὴν γένεσιν αὐτῶν. Ἤδη ἀπόπειρά τις ἐγένετο ὑπὸ τοῦ Ἐδουάρδου Hartmann ἐν τῷ πολυκράτῳ αὐτοῦ συγγράμματι *Das Unbewusste* (*Τὸ Ἀσυνείδητον*), ἐν ἰδίοις κεφαλαίοις πραγματευσαμένου περὶ τοῦ ἀσυνειδήτου ἐν τοῖς συναισθήμασιν, ἐν τῷ χαρακτῆρι καὶ ἐν τῇ ἠθικῇ, ἐν τῇ καλλιτεχνικῇ κρίσει καὶ παραγωγῇ, ἐν τῇ συστάσει τῆς γλώσσης, ἐν τῇ διανοίᾳ, ἐν τῇ συστάσει τῶν αἰσθητικῶν ἀντιλήψεων κτλ. Ἐν τούτοις πολλὰ μὲν δοκοῦσιν ὀρθὰ εἶναι, πολλὰ δὲ παρατετολμημένα καὶ συζητήσιμα.

Τὸ ἀσυνείδητον ἐν τῇ διανοίᾳ φαίνεται παράδοξον· διότι μέλημα τῆς διανοίας εἰσὶν αἱ ἰδέαι, αἱ δὲ ἰδέαι ἄνευ συνειδήσεως οὐ γεννῶνται· ἀλλ' ὅμως, ὡς εἴρηται (σελ. 232—234), ἡ διάνοια ἡμῶν πολλάκις ἐνεργεῖ ἀσυνειδήτως. Τὸ ἀσυνείδητον ἐν τῇ ποιητικῇ μάλιστα καὶ καλλιτεχνικῇ καταφαίνεται δημιουργίᾳ· ἡ φαντασία τῶν ποιητῶν καὶ καλλιτεχνῶν εὑρίσκει τῆς ἐξαισίας δυνάμεως, ἧς ἄνευ μεγαλοφυία οὐχ ὑπάρχει, πράττειν ζωὴν καὶ αἰσθητοποιεῖν τὰς ἰδέας. Ἡ δύναμις αὕτη ἀνεξαρτήτως ἐνεργεῖ τῆς θελήσεως καὶ τῆς συνειδήσεως, ὡς φησιν ὁ φιλόσοφος Schelling· ὡς ὁ τεχνίτης ἄκων παρὰ τὴν ἐσωτερικὴν αὐτοῦ ἀντίστασιν φέρεται εἰς παραγωγήν, οὕτω καὶ τὸ πραγματικὸν ἐν ταῖς καλλιτεχνικαῖς συλλήψεσι παρίσταται ἄνευ τῆς συνεργείας αὐτοῦ. Πραγματικόν ἐστι μόνον τὸ ἀσυνειδήτως γινόμενον ἐν πάσῃ νοερᾷ

1) Ἴδ. σελ. 258.

παραστάσει, τὸ κυρίως πραγματικὸν οὐκ ἔστι δυνατὸν ἐγγίγνεσθαι μετὰ συνειδήσεως».

Τὸ ἐν ἡμῖν ἄνευ συνειδήσεως γινόμενον ὑπολαμβάνεται ξένον, καὶ ἔξωθεν ἐπιβαλλόμενον. Τοῦτο οὐκ ἠγνόουν οἱ ἀρχαῖοι· διὸ τὰς ποιητικὰς καὶ μουσικὰς ἐμπνεύσεις ὑπελάμβανον θείας, θεοπνεύστους, τοὺς κατεχομένους καὶ ἐμπνεομένους καλοῦντες ἐνθουσιάζοντας, μουσολήπτους, νυμφολήπτους.

Ὁ δὲ Hartmann (I, σελ. 357), τελευτῶν παραβάλλει τὰς ἐνεργείας τοῦ ἀσυνειδήτου πρὸς τὰς τοῦ συνειδότος λέγων· «Ὁ ἄνθρωπος τὸ συνειδὸς μόνον γινώσκει ὡς ἴδιον αὐτοῦ χρῆμα, τὸ δὲ ἀσυνείδητον παρίσταται αὐτῷ ὡς ἀκατάληπτόν τι καὶ ξένον, ἐξ οὗ ἐξαρτᾶται. Τὸ μὲν συνειδὸς ἐν παντὶ χρόνῳ ἕτοιμός ἐστι θεράπων, οὗ τὴν εὐπείθειαν δύναται ἐκβιάσαι, τὸ δὲ ἀσυνείδητον προστατεύει ὡς νύμφη (Εὐα), ἔχον δαιμόνιόν τι ἀνησυχαστικόν. Ἐπὶ τῇ ἐνεργείᾳ τοῦ συνειδότος δύναμαι σεμύνεσθαι, διότι ἐμόν ἐστιν ἔργον, καρπὸς τῶν ἐμῶν ἰδιοτήτων· ἡ δὲ ἐνέργεια τοῦ ἀσυνειδήτου, ἧς ὁ ἄνθρωπος προσφιλὴς ἐστιν ἀγγελικαφόρος, ὡς δῶρον τῶν θεῶν, μόνον τὴν ταπεινοφροσύνην διδάσκειν αὐτὸν δύναται. Τὸ ἀσυνείδητον, καθ'ὅσον τοιοῦτόν ἐστι, μόνιμον ὑπάρχει καὶ τέλειον, οὐδεμίαν κρίσιν περὶ ἑαυτοῦ ἐκφέρον, ἐκλαμβανόμενον τοιοῦτον οἷον ὑπάρχει· τὸ δὲ συνειδὸς μέτρον ἐστὶν ἑαυτοῦ, κρίνει καὶ βελτιοῖ ἑαυτό, καθ' ὅσον νέαι γνώσεις ἢ μεταβολαὶ περιστάσεων ἀπαιτοῦσι τοῦτον· κτλ.

Κατὰ ταῦτα τὸ δαιμόνιον τοῦ Σωκράτους οὐ μόνον ἑρμηνεύεται, ἀλλὰ καὶ καταδείκνυται ὅτι ἡ ὀνομασία *δαιμόνιον* προσφορωτάτη ἐστὶ δηλοῦσα τὰς ἀσυνειδήτους ἐνεργείας τοῦ λογικοῦ, ἃς ἀγνοεῖ καὶ ἐκλαμβάνει ξένας.

Ὁ Σωκράτης τοσοῦτον τὴν κακίαν ἀπεστρέφετο καὶ ἐφοβεῖτο ἐκ παιδικῆς ἡλικίας μή τι κακὸν πράξῃ, ὥστε οὐδέποτε ἐπαύετο μετά τε τῶν ἑταίρων ἐξετάζων τί ἀγαθὸν ἢ κακόν, καὶ μόνος βαθέως περὶ τούτων μελετῶν καὶ διασκεπτόμενος κατὰ τὴν διαπορητικὴν καὶ σκεπτικὴν αὐτοῦ φύσιν, καὶ ἀποθησαυρίζων πολλὰς κρίσεις ἀποφατικὰς καὶ ἀποτρεπούσας τόδε ἢ τόδε πράττειν ὡς κακόν. Ἐν πάσῃ λοιπὸν εὐκαιρίᾳ, καθ' ἣν σκέψις προὔκειτο περὶ πράξεώς τινος ἀμφιβόλου, ἡ ἐν τῷ νῷ ἐνυπολανθάνουσα καὶ ἀντιστοιχοῦσα αὐτῇ κρίσις διὰ τοῦ συνειρμοῦ τῶν ἰδεῶν αὐτομάτως καὶ ἀσυνειδήτως μετ' ἀστραπιαίας ταχύτητος καὶ ζωηρότητος ἐκινεῖτο, καὶ ὡς φωνὴ πκρίσιατο τὴν μελετωμένην ἀπαγορεύουσα πρᾶξιν. Ἡ φωνὴ αὕτη ἤρξατο ἐκ παιδικῆς ἡλικίας καὶ διήρκεσε κατὰ πάντα τὸν βίον ὑπὲρ τὰ ἑξήκοντα ἔτη· ἡ αὐτὴ· ἡ ἐνέργεια αὐτῆς ἦν λίαν στενὴ περιοριζομένη ἀπαγορεύει ἀεὶ καὶ κωλύειν μελλούσας πράξεις μὴ ὀρθάς, μεγάλας ἢ μικράς. Ἡ φωνὴ ἦν φρουρὸς ἄγρυπνος τοῦ λογικοῦ, πρωρεὺς προορῶν καὶ προμηνύων αὐτῷ, ὅτε εἰς ὑφάλους ἐκινδύνευεν ὀλισθῆσειν, καὶ ἐκώλυεν αὐτὸ ἐξοκεῖλαι· πᾶσαι αἱ ἀπαγορεύσεις αὐτῆς ἦσαν ὀρθαὶ καὶ λογικαὶ ὡς μαρτυροῦσιν αἱ ἀποφάσεις, ἃς ὁ Σωκράτης ἐποίησε τῇ φωνῇ ὑπακούων[1]· διὰ τοῦτο οὐδὲν κώλυμα παρέσχε τῇ πνευματικῇ αὐτοῦ ἀναπτύξει, ἀλλὰ τοὐναντίον ἤρχετο αὐτῇ εὔνους ἀρωγός, προφυλάττουσα τὸν Σωκράτην ἀπὸ τῶν κακῶν πράξεων καὶ περισπασμῶν.

Ὁ Σωκράτης οὕτως ἠδυνήθη παιδευθῆναι[2] τὰ ἐγκύκλια μαθήματα, μελετῆσαι τὰ φιλοσοφικὰ συστήματα, εὑρεῖν τὰ τρωτὰ αὐτῶν μέρη, καὶ νέας φιλοσοφίας γενέσθαι ἱδρυτής, τῆς ἠθικῆς καὶ τῆς διδασκαλίας περὶ τῆς θείας προνοίας, ἐκκαθάραι τὰς θρησκευτικὰς δοξασίας ἀπὸ πολλῶν ῥύπων, ἀπολύσαι τὸ πνεῦμα τοῦ ἀνθρώπου ἀπὸ τῶν δεσμῶν τῶν Μοιρῶν, τῶν Ἐρινύων, τῆς Ἄτης, τῶν πονηρῶν δαιμόνων, καταστῆσαι τὸν βίον αὐτοῦ τύπον ἐνσεσαρκωμένον τῶν αἰωνίων ἀρχῶν τῆς ἀληθείας καὶ ἀρετῆς, μηδὲν ἄλλο πράττοντα ἢ ὅ,τι ὁ λόγος καὶ ἡ ἀλήθεια ὑπηγόρευον, ἀγαθός, σώφρων, ἐγκρατής, ἀφιλοκερδής, μεγαλόψυχος, φιλάνθρωπος, φιλοδίκαιος, φιλόπολις, φιλόνομος κτλ.

Ἐν πᾶσι τούτοις ἡ φωνὴ ἄλοιπητος ἦν ἐπιτηρητὴς προσέχουσα μὴ τυχὸν κακόν τι παραισφρήσῃ ἐν ταῖς σκέψεσιν, ἐν τοῖς λόγοις, ἐν ταῖς πράξεσι τοῦ Σωκράτους. Τοιοῦτος φύλαξ ἠδύνατο ὑποσκάπτειν καὶ ὑπονομεύειν τὰ θεμέλια τοῦ λόγου, ὥστε καταστῆσαι αὐτὸν παράφρονα, ὡς διατείνεται ὁ Löhr; Ὁ Σωκράτης κατὰ τοῦτο ἡμάρτανεν ἴσως, διότι, δι'ἔλλειψιν ἱκανῶν φυσιολογικῶν καὶ ψυχολογικῶν γνώσεων τῶν χρόνων αὐτοῦ, οὐκ ἠδυνήθη τὸν τρόπον τῶν ἀρχῆς καὶ γενέσεως τῆς φωνῆς ἑρμηνεῦσαι, ἥτις ἔργον ἦν τοῦ λόγου αὐτοῦ αὐτόματον καὶ ἀσυνείδητον, καὶ οἱονεὶ ξένον καὶ θεῖον. Τοῦτο ἐξαρκεῖ ὅπως ὁ Σωκράτης κηρυχθῇ παράφρων; Τότε καὶ πάντες οἱ μεγαλοφυεῖς ποιηταὶ τῆς ἀρχαιότητος κηρυχθήσονται παράφρονες, διότι αἰσθανόμενοι ἀκούσιόν τι καὶ ξένον ἐν ταῖς ἐμπνεύσεσιν αὐτῶν (σελ. 262) ἐπίστευον, ὅτι ὑπὸ τῶν θεῶν καὶ Μουσῶν ἐμπνέονται.

Ὁ Σωκράτης τὴν φωνὴν ταύτην ἐκάλεσε θεῖον καὶ δαιμόνιον σημεῖον ἅτε σημαῖνον αὐτῷ ἀεί τί χρὴ μὴ ποιεῖν, ἀπέδωκε δὲ τὴν ἀρχὴν καὶ γένεσιν αὐτῆς τῇ θείᾳ ἐπενεργείᾳ ὡς λογικωτέρᾳ αἰτίᾳ. Οὐδέποτε ὅμως τὴν φωνὴν ὠνόμασε θείαν ἢ δαιμονίαν, ὡς συνήθως λέγεται, (ἴδε σελ. 235· 248), οὐδ' ἀπεδέχετο ὅτι θεός τις ἢ δαίμων προσωπικῶς συνεκοινώνει αὐτῷ. Τοῦτο ταῖς θρησκευτικαῖς αὐτοῦ δοξασίαις ἀντέκειτο φρονοῦντος ὅτι οἱ θεοὶ ἐπιμέλονται τῶν ἀνθρώπων ἀόρατοι καὶ ἀοράτως ἐνεργοῦσιν. Οὐδὲ δαίμων ἀγαθὸς ἦν ἡ φωνὴ συγκοινωνῶν τῷ Σωκράτει, διότι ῥητῶς ἐν τῇ Ἀπολογίᾳ λέγεται ὅτι ἡ φωνὴ ἦν θεῖον καὶ δαιμόνιον σημεῖον. Οἱ ἀγαθοὶ δαίμονες εἴτε τῶν πόλεων εἴτε τῶν πολιτῶν ἑκάστου (ἰδ. § 33 σελ. 132) εὐμενῶς διέκειντο καὶ παρεῖχον ἀγαθά, μὴ πόνου τι ταῖς πράξεσι τῶν προστατευομένων προσέχοντες· ἡ δὲ φωνὴ τοῦ Σωκράτους αὐστηρῶς ἐπετήρει καὶ ἐκώλυε τὰς κακὰς πράξεις.

Ὥστε ὅσα λέγει ὁ Löhr περὶ θεῶν καὶ δαιμόνων οὐδὲν περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους ἀποδεικνύουσι, τὸ δὲ συμπέρασμα αὐτοῦ παράλογον· «Δυνάμεθα εἰπεῖν ὅτι ἐν τοιαύτῃ καταστάσει οὐκ ἦν δυνατὸν ἄλλως ἔχειν θρησκευτικὰς δοξασίας ἢ ἃς εἶχεν, οὐδ' εἰς ἄλλο ψυχολογικὸν τέλος καταλῆξαι ἢ εἰς ὃ ἀφίκετο» (τὸ τῆς παραφροσύνης δῆλον ὅτι).

Ὁ σοφὸς ἀνὴρ παραλογίζεται καὶ παραπαίει δι' οὓς ἐν τῇ ἀρχῇ (ἰδ. σελ. 230) εἴπομεν λόγους καὶ μάλιστα διότι πολὺν χρόνον ἐν τοῖς φρενοκομείοις κατατρίψας καὶ πολλῶν νοσούσας κεφαλὰς ἰδὼν οἱονεὶ ἄστεα καὶ νόον γνούς, καὶ μελετήσας τά τε ἄλλα στοιχεῖα τῶν φρενοβλαβειῶν καὶ τὰ παραισθητικά, πῶς ἕκαστον γεννᾶται, πῶς ἀνακτύσσεται καὶ ποῦ καταλήγει, γενικούς τινας τύπους καὶ εἴδη φρενοβλαβειῶν συνέλαβεν ἐν τῷ νῷ καὶ ἐν ταῖς δέλτοις κατέστρωσε. Τούτους λοιπόν, οὐχὶ τὰ κείμενα, ὡς λέγει, εἶχεν ὑπ' ὄψει, καὶ ὅτε τὴν περὶ τοῦ *Δαιμονίου τοῦ Σωκράτους* βίβλον συνέγραφε· διὸ προστίθησιν, ἀφαιρεῖ, παρερμηνεύει, παραμορφοῖ καὶ διαστρεβλοῖ, ὅπως φαντασιῶδες πλάσῃ καὶ ἀποφώλιον τέρας Σωκρατικῆς παραφροσύνης.

Κατὰ τὸν Löhr τὸ δαιμόνιον ἢ μᾶλλον τὸ μορμολύκειον τῆς Σωκρατικῆς παραφροσύνης τοιαύτην ἔλαβεν ἀρχὴν καὶ πρόοδον.

Ὁ Σωκράτης κατ' ἀρχὰς ἔσχεν ὁρμὰς ἀκατασχέτους, ἐμπνεύσεις, προαισθήματα· «ὅ,τι τὸ κατ' ἀρχὰς ἦν αὐτῷ ἀκατάσχετος ὁρμή, βαθεῖα πεποίθησις, ἰδέα πάσης ὥρας, ἐγένετο, τοῦ χρόνου προϊόντος, καὶ μάλιστα ὑπὸ τὴν ἐπήρειαν διηνεκοῦς ἐνεργείας, ἐξωτερικὴ τῆς ἀκοῆς αἴσθησις καὶ ἄνευ ἀμφιβολίας καὶ τῆς ὁράσεως. Μετὰ τὰς ἐμπνεύσεις τῆς συνειδήσεως, ἐπῆλθον αἱ ἐμπνεύσεις τῆς θεότητος· ὁ Σωκράτης ἤκουσε τοῦ *θεοῦ*, τοῦ *δαίμονος*, τῆς *φωνῆς*, καὶ ἐν παντὶ τῷ σώματι ἤσθετο τῶν βρυγμῶν τῶν παρορμήσεων». (Ἰδ. σελ. 258· 260).

Ἐκ τίνος κειμένου ταῦτα ἠρύσατο; ποῦ οἱ βρυγμοὶ τῶν παρορμήσεων ἐν παντὶ τῷ σώματι; Ταῦτα οὐκ εἰσιν ἀντιγεγραμμένα ἔκ τινων παθολογικῶν σημειώσεων τῶν φρενοκομείων; ἀλλὰ χωρῶμεν· «Ὁ Σωκράτης ἀγόμενος καὶ φερόμενος ὑπὸ τοῦ δαιμονίου αὐτοῦ ἐκ παιδικῆς ἡλικίας, ἣν διατεθειμένος τὰς ἐμπνεύσεις αὐτοῦ ἐκλαμβάνειν ὡς φωνὰς ὑπερφυσικῆς αἰτίας· οὕτω τὸ κακὸν ἐπὶ μᾶλλον καὶ μᾶλλον τὸν χαρακτῆρα τοῦτον ὑπεδύθη· ἡ λίαν ζωηρά, διάπυρος καὶ διατεθειμένη ἰδέα πρὸς τὰ ἔξω φέρεσθαι, ἐνσαρκοῦσθαι καὶ γίνεσθαι εἰκών, ἀκουστικὴ αἴσθησις, ἄντως τὴν τελευταίαν ταύτην ὑπεδύσατο μορφήν, καὶ τότε ἔλαβον ἀρχὴν αἱ παραισθήσεις τοῦ Σωκράτους, ἤτοι τὸ εἶδος τῆς μᾶλλον ἀναμφισβητήτου μανίας». Ὁ Löhr διατείνεται ὅτι ἡ φωνὴ ἦν ἡ ὑψίστη καὶ τελευταία ἔκφρασις τῆς ἐνεργείας τοῦ δαιμονίου· ἀλλ' ἐπειδὴ ἡ φωνὴ ἤρξατο ἐκ παιδικῆς ἡλικίας, ἕπεται ὅτι, εἰ ἡ παραίσθησις τῆς ἀκοῆς ἦν παραφροσύνη, ὁ Σωκράτης ἦν ἐκ παιδὸς παράφρων. Τοῦτο τερπτὸν τὰ κύκλα τοῦ Löhr, διότι πῶς παῖς παράφρων ἠδυνήθη τοιοῦτος γενέσθαι; διὸ οὐδαμῶς λαμβάνει ὑπ' ὄψει τὸ κείμενον τῆς Ἀπολογίας, ἀλλ' αὐθαιρέτως τὴν ἀρχὴν τῶν παραισθήσεων τίθησι κα-

1) Κατὰ τὸν Löhr «αἱ παραισθήσεις κατὰ τοὺς χρόνους τῆς εἰσαγωγῆς τοῦ Σωκράτους εἰς δίκην καὶ τῆς καταδίκης ἦσαν τοσοῦτον ἰσχυραί, ὥστε ἀπέτρεψαν αὐτὸν τὴν ἀπολογίαν αὐτοῦ παρασκευάσαι καὶ δεηθῆναι τῶν δικαστῶν ὑπὲρ ἑαυτοῦ, ἐνέπνευσαν δὲ εἰπεῖν πρὸς αὐτούς, ὅτι κινδύνῳ τῆς ζωῆς αὐτοῦ οὐ παύσεται φιλοτοφῶν». Ὁ Löhr νομίζει καὶ ταῦτα ἀποτελέσματα τῆς παραφροσύνης· ἀλλὰ τί ἄλλο ὑψηλότερον καὶ θειότερον τούτων; Ὁ Σωκράτης ἠδύνατο ἀπολογήσασθαι ἄλλως, ἢ δεηθῆναι τῶν δικαστῶν; παράφρων ἦν καὶ ὁ Περικλῆς τοιαύτην ὑπερήφανον ποιησάμενος ἀπολογίαν πρὸς τοὺς Ἀθηναίους; Διονύσιος ὁ Ἁλικαρνασεὺς κατακρίνει ταύτην, ὡς ὁ Löhr τὴν τοῦ Σωκράτους· ἀλλὰ τὸ μέγα καὶ ὑψηλὸν οὐ κρίνεται τῷ μέτρῳ τοιούτων ἀνδρῶν.

2) Οἱ Νόμοι λέγουσι πρὸς τὸν Σωκράτην ἐν τῷ Κρίτωνι, «ἐπειδὴ δὲ ἐγένου καὶ ἐξετράφης καὶ ἐπαιδεύθης».

τὰ τὸ τεσσαρακοστὸν ἔτος τοῦ Σωκράτους ἐν τῇ πολιορκίᾳ τῆς Ποτιδαίας· «Ἔσχε, λέγει, ἐκστάσεις καὶ παροξυσμοὺς καταληπτικούς, *ἀσκαρδαμυκτὶ πρὸς τὸν ἥλιον ἀτενίζων*, ὡς ποιοῦσι μανιακοί τινες πάσχοντες ἀνιάτως· αἱ ἐκστάσεις χαρακτῆρα ὑπεδύσαντο παραισθήσεων τῆς γενικῆς ἀφῆς ἐσωτερικῆς τε καὶ ἐξωτερικῆς, παραισθήσεων τῆς ἀκοῆς καὶ τῆς ὁράσεως. Τὸ δαιμόνιον τριάκοντα ἔτη ὑποσκάπτον καὶ ὑπονομεῦον τὰ θεμέλια τοῦ λογικοῦ τοῦ Σωκράτους διέσεισεν αὐτὰ καὶ παρήγαγε τὰς παραισθήσεις· αὗται δὲ προϊούσης τῆς ἡλικίας ηὔξησαν καὶ μεγάλας ἔλαβον ἐπιδόσεις. Ἐν καιρῷ τραπέζης, ἐν ταῖς ὁδοῖς τῶν Ἀθηνῶν, ἐν ταῖς πεδιάσιν ἐπεῖχεν, ὁτὲ μὲν ἄνευ φανερᾶς αἰτίας, ὁτὲ δὲ ἔκ τινος πταρμοῦ ἐξ ἑαυτοῦ ἢ ἐξ ἄλλου προερχομένου, καὶ ἐποίει ἡ οὗ κατὰ τὴν διεύθυνσιν τοῦ πταρμοῦ, εἰ ἐκ δεξιῶν ἢ ἐξ εὐωνύμων· ἀλλ' ἐπεῖχε μάλιστα, εἰ τὴν φωνὴν ἤκουε τοῦ θεοῦ, ἀεὶ ἀποτρέπουσαν... Αἱ παραισθήσεις αὗται τοῦ Σωκράτους, ὡς ἐμπνεύσεις τοῦ δαιμονίου παρ' αὐτοῦ ἐκλαμβανόμεναι ηὔξησαν, τῆς ἡλικίας προϊούσης καὶ τῆς πίστεως εἰς τὸν θεὸν τὸν παρέχοντα αὐτὰς ἐπιτεινομένης· τελευτῶν μάλιστα ἐπίστευσεν, ὅτι τῇ θείᾳ ταύτῃ ἀρωγῇ ἠδύνατο καὶ μακρόθεν ἐπενεργεῖν ἐπωφελῶς ἐπὶ τοὺς μαθητὰς αὐτοῦ καὶ διὰ τοῦ ἠθικοῦ τούτου μαγνητισμοῦ ἄγειν αὐτοὺς εἰς τὸν σκοπὸν τῶν ἀναμορφωτικῶν αὐτοῦ ἀγώνων».

Οὐδὲν τούτων ἀληθές· πάντα μῦθοι φαντασιώδεις, ἡ ἀρχή, ἡ γένεσις, ἡ ἀνάπτυξις, ἡ ἐπίδοσις τῶν παραισθήσεων, ἡ ὑπονόμευσις καὶ διάσεισις τοῦ λογικοῦ μέχρι παραφροσύνης. Ὁ Πλούταρχος ἢ τις τῶν διαλεγομένων ἐν τῷ περὶ δαιμονίου τοῦ Σωκράτους διαλόγῳ λέγει ὅτι τὸ δαιμόνιον τοῦ Σωκράτους ἦν πταρμὸς ἐξ αὐτοῦ ἢ ἐξ ἄλλου προερχόμενος· ἀλλὰ τὴν γελοίαν ταύτην γνώμην ἀποδοκιμάζει (ἰδ. σελ. 240)· ὁ δὲ Lélut εἰσάγει καὶ ταύτην ὡς στοιχεῖον τῆς παραφροσύνης τοῦ Σωκράτους. Πάντες οἱ μῦθοι, οὓς περισυνάγει, εἰσὶν εὐπρόσδεκτοι, ὅπως τὸ μορμολύκειον τῆς Σωκρατικῆς παραφροσύνης καταστήσῃ ἴσον ἀπαράλλακτον τῷ πρωτοτύπῳ τῶν φρενοβλαβῶν πελατῶν αὐτοῦ, ὡς δείκνυσι τὸ ἑξῆς χωρίον, μνημονευθὲν ἤδη (σελ. 254). «Ἰδοὺ ὁ Σωκράτης οὐ μόνον φαντάζόμενος θείας δέχεσθαι ἐπιρροὰς καὶ ἐμπνεύσεις καὶ θείαν ἀκούειν φωνήν, ἀλλὰ καί, ἐκ τούτων, οἰόμενος ὁμοίαν κατέχειν ἐπιρροὴν καὶ μακρόθεν ἐπί τε τῶν φίλων καὶ τῶν μαθητῶν καὶ σχεδὸν ἐπὶ τῶν ξένων, ἐπιρροὴν ἀνεξάρτητον καὶ αὐτοῦ τοῦ λόγου καὶ τοῦ βλέμματος, ἐπενεργοῦσαν δὲ διὰ τῶν τοίχων καὶ εἰς περιοχὴν κατὰ τὸ μᾶλλον ἢ ἧττον ἐκτενῆ. Οὐδὲν τούτων παραδοξότερον δύναταί τις ὁρᾶν οὐδ' ἀνοητότερον καὶ χαρακτηριστικώτερον σημεῖον μανίας· οὐδ' αὐτοὶ οἱ παραισθητικοὶ (*à la bonheur!*) οἱ ὑπὸ τὰ ὄμματα ἡρῶν πέμποντες καὶ λαμβάνοντες μακρόθεν φυσικάς τε καὶ μαγνητικὰς καὶ ἐλευθερατεκτονικὰς ἐπιρροάς, ἄλλως, ἢ ὡς ὁ Σωκράτης, ἐκφράζονται, οὐδ' εἰσὶ κατὰ τοῦτο παραφρονέστεροι αὐτοῦ. Ταῦτά εἰσιν ὀλίγον τι ζωηρὰ τῇ ἐκφράσει, ἀλλ' εἰρήσθω ἅπαξ ἔτι, ἡ ἔκφρασις αὕτη ἐστὶν ἡ τῆς ἀληθείας».

Ἐπὶ τοιούτων μύθων στηρίζει ὁ Lélut τὰς ἀληθείας αὐτοῦ. Τοῦτο καὶ μόνον ἀρκεῖ πρὸς ἀνασκευήν· ἀλλαχοῦ δὲ δαιμονολογικῶς ἐξετάζει τὴν ψυχολογικὴν ἀνάπτυξιν τῆς παραφροσύνης τοῦ Σωκράτους (ἰδ. σελ. 250) ἐκφέρων ἀζεῖα καὶ πρωτότυπα. «Ἐρῶ δὲ κατὰ τίνα ψυχολογικὴν κλίμακα ὁ Σωκράτης τὴν ἔκφρασιν τῶν παθολογικῶν αὐτοῦ αἰσθήσεων παρήλλαξεν. Ὅτε μὲν αἱ ψευδεῖς αὗται αἰσθήσεις ἦσαν ἁπλῶς ἀόριζόν τι αἴσθημα, ἀρωγὴ πόρρωθεν τοῦ μεγάλου θεοῦ ἢ τῶν θεῶν, ὁ Σωκράτης ἔλεγε *θεός, θεοί, dieu, les dieux, le dieu des Delphes*. Ὅτε δὲ ἡ αἴσθησις μερικωτέρα καθίστατο καὶ ὁ θεὸς προσήγγιζεν, ὁ Σωκράτης ἔλεγεν *ὁ θεός, le dieu*. Τοῦ θεοῦ ἔτι μᾶλλον προσεγγίζοντος, ὁ Σωκράτης ἔλεγε, *τὸ δαιμόνιον, δαίμων*· ἐνίοτε ἡ αἴσθησις καίπερ μᾶλλον ὡρισμένη, ἦν ἀπάτη (illusion) σχέσιν ἔχουσα πρὸς ἐξωτερικήν τινα κίνησιν· ταύτην ὁ Σωκράτης κατὰ τὸν εἰωθότα αὐτῷ τρόπον ἡρμήνευε, μεταχειριζόμενος τὰς φράσεις, *τὸ δαιμόνιον σημεῖον, le signe de démon(!), τὸ εἰωθὸς σημεῖον τοῦ δαιμονίου(!), δαιμόνιον ἐναντίωμα*. Τέλος, ὅτε ἡ αἴσθησις ὅλως εἰδικὴ καθίστατο, ὁ Σωκράτης τότε ἤκουε *τὴν φωνήν*, καὶ τοῦτο ἦν ὁ ὕψιστος βαθμὸς τῶν παραισθήσεων». Ἐνταῦθα ἁρμόζει ἡ παρατήρησις τοῦ φιλοσόφου Λαρομιγιέρου πρὸς τὸν Lélut· «Est-ce que vous ne vous êtes pas demandé quelquefois le quel était l'halluciné, de vous ou du maître de Platon, du maître de tout philosophe».

Κατ' ἀνάγκην πολλάκις ἐπανερχόμεθα εἰς τὰ αὐτά, διότι καὶ ὁ Lélut τὰ αὐτὰ πολλάκις ἐπανέλαβεν. Εἶτα ἐπιθυμοῦμεν σαφὲς καὶ ψηλαφητόν, οὕτως εἰπεῖν, παντὶ καταστῆσαι τὸ σαθρὸν τῶν ἀποδείξεων αὐτοῦ, μάλιστα δὲ τοῦτο, ὅπερ ὡς κορωνίδα ἐπέθηκε τῶν παραλογισμῶν αὐτοῦ, διατεινόμενος ὅτι ὁ Σωκράτης ἐποίησεν αὐτὰ τίτλων δόξης καὶ ὑπεροχῆς ἐπὶ τῶν συγχρόνων! ἀλλὰ παρὰ πάντων ὁμολογεῖται ὅτι ὁ Σωκράτης ἦν ἄτυφος καὶ μετριόφρων, οὐδ' ὕριος Ἐμπεδοκλεῖ τῷ Ἀκραγαντίνῳ, ὃς ἔλεγε πρὸς τοὺς πολίτας αὐτοῦ·

> Ὦ φίλοι, οἳ μέγ' ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
> ναίετ' ἄν' ἄκραν πόλεως, ἀγαθῶν μελήδονες ἔργων,
> χαίρετ'· ἐγὼ γ' ὔμμιν θεὸς ἄμβροτος, οὐκ ἔτι θνητὸς
> πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικα,
> ταινίαις τε περίσεπτος στέφεσίν τε θαλείης.

Ὁ δὲ Σωκράτης περὶ τοῦ δαιμονίου σημείου λαλεῖ μετὰ ταπεινοφροσύνης, διότι μόνῳ αὐτῷ ἐδόθη· «τὸ δ' ἡμέτερον οὐκ ἄξιον λέγειν, τὸ δαιμόνιον σημεῖον». (Πλάτ. Πολιτ. ς', 466)· καὶ ἐν τῷ Φαίδρῳ (242) λέγων πρὸς τὸν Φαῖδρον ὅτι τὸ δαιμόνιόν τε καὶ εἰωθὸς σημεῖον ἐγένετο αὐτῷ προστίθησιν, «εἰρὶ δή οὖν μάντις μέν, οὐ πάνυ δὲ σπουδαῖος, ἀλλ' ὥσπερ οἱ τὰ γράμματα φαῦλοι, ὅσον μὲν ἐμαυτῷ μόνον ἱκανός». Ταῦτα οὐδὲν ἴχνος κομπασμοῦ καὶ ἀλαζονείας ἐνέχουσιν εἰσί τε ἱκανὰ διδάξαι τοὺς ὀρθῶς σκεπτομένους ὅτι τὸ δαιμόνιον σημεῖον, ἢ ἡ φωνή, λίαν στενὸν εἶχε κύκλον ἐνεργείας. Ἐξ οὗ καταῤῥέουσι πάντες οἱ μῦθοι περὶ τῆς τεραστίας δυνάμεως τοῦ δαιμονίου καὶ περὶ τῆς ἐπενεργείας αὐτοῦ καὶ μακρόθεν.

Τούτων οὖν οὕτως ἐχόντων ἡ ἀνθρωπότης οὐδεμίαν ἔχει ἀφορμὴν καλύψαι τὸ πρόσωπον αὐτῆς καὶ θρηνῆσαι τὴν ἀνεπανόρθωτον ἀπώλειαν ἑνὸς τῶν ἐνδοξοτάτων αὐτῆς τέκνων, ἀλλὰ τοὐναντίον διατελέσει ἑσαεὶ τιμῶσα καὶ γεραίρουσα τὸν Σωκράτην καὶ σεμνυνομένη ἐπ' αὐτῷ ὡς τῷ ὑψίστῳ ἀντιπροσώπῳ τοῦ λόγου, τῆς φιλοσοφίας, τῆς ἀρετῆς, εὐχομένη ἵνα οἱ αἰῶνες ὡς πλείονας παράγωσι τοιούτους ἄνδρας, τοὺς δὲ πέμποντας τὸν Σωκράτην εἰς τὸ φρενακομεῖον πέμπουσα εἰς ἐλλεβόρου ῥιζοτομίαν, οὗ χρείαν ἔχουσιν.

Κρίσεις Brierre de Boismont καὶ ἄλλων ἰατρῶν.

§ 59. Τοσαῦτα μὲν περὶ τοῦ συγγράμματος τοῦ Lélut. Τούτῳ συμφωνεῖ καὶ ὁ Bourdin διατεινόμενος ὅτι ἡ παραίσθησις οὐδέποτε φυσιολογική ἐστι, διότι ἀεὶ ταραχὴν προϋποτίθησι νοερὰν, σύλληψις οὖσα τοῦ πνεύματος, ἐκλαμβανομένη δὲ ὡς ἀληθὴς αἴσθησις, καὶ ὡς τοιαύτη ὑπὸ τοῦ παραισθητικοῦ θεωρουμένη. Ἡ παραίσθησις κατ' αὐτὸν παθολογική ἐστιν ἐργασία, οὐδέποτε φυσιολογικὴ· ὀρθὸς λόγος καὶ παραίσθησις εἰς ἄκρον εἰσὶν ἀντίθετα. Ἡ παραίσθησις συμβιβάζεται τῇ τακτικῇ ἐνεργείᾳ τῶν πλείστων τῆς ψυχῆς δυνάμεων, ἀλλ' οὐδαμῶς τῇ τοῦ λογικοῦ (*de la raison*) ἀκεραιότητι.

Περὶ ἑτέρου ἐπισήμου ἰατροῦ, τοῦ Moreau (de Tours), οὐδὲν λέγομεν· διότι ἐν τῷ διαβοήτῳ αὐτοῦ συγγράμματι *(le Génie et la Folie)* εἰς γενικώτερον ἀποβλέπει ζήτημα, ἐπιχειρήσας ἀποδεῖξαι ὅτι μεγαλοφυΐα καὶ μανία πλησιέστατά εἰσι συγγενεῖς, ἀδελφαὶ ὁμαίμονες, ὁριζ ἀνὰ μέσον αὐτῶν, ὥστε ῥᾳδίως ταὐτίζονται.

Ἐκ δὲ τῶν ἄλλων ἰατρῶν οἱ πλεῖστοι τὸ πρῶτον μέρος τῆς γνώμης τοῦ Lélut ἀσπάζονται, ὅτι ὁ Σωκράτης εἰς παραισθήσεις τῆς ἀκοῆς ἦν ὑποκείμενος, οὐχὶ δὲ καὶ τὸ δεύτερον, ὅτι, ὡς παραισθητικός, ἦν παράφρων· διότι οὐ πάντες οἱ παραισθητικοὶ παράφρονες. Τῶν ἰατρῶν τούτων προεξέρχει ὁ Brierre de Boismont, ὃς πρῶτος ἀνέλαβε διὰ παραδειγμάτων ἐμπεδῶσαι τὴν γνώμην, ὅτι εἰσὶ καὶ παραισθήσεις δυνάμεναι συνυπάρχειν καὶ συμβιοῦν, οὕτως εἰπεῖν, τῷ λογικῷ, καὶ ἀνασκευάσαι τὴν ἀξίωσιν τοῦ Lélut καὶ τῶν σὺν αὐτῷ, ὅτι Σωκράτης, Λούθηρος, Πασχάλης καὶ ἄλλοι μεγάλοι ἄνδρες ἦσαν παράφρονες, διότι εἰς παραισθήσεις ἦσαν ὑποκείμενοι.

Τὸ δεύτερον κεφάλαιον τοῦ σπουδαίου αὐτοῦ συγγράμματος, *Les Hallucinations*, φέρει ἐπιγραφήν, des Hallucinations compatibles avec la raison· «Μυρίαι ὅσαι, λέγει, φυσικαὶ καὶ ἠθικαὶ πράξεις μαρτυροῦσιν ὅτι ἡ παραίσθησις οὐκ ἔστιν ἀεὶ σύμπτωμα παραφροσύνης· διότι ἐνίοτε ὑπὸ ὀπτικῆς προκαλεῖται ἀπάτης ἢ ἰσχυρᾶς τοῦ πνεύματος ἀσχολίας, ἢ νοσηρᾶς τοῦ σώματος διαθέσεως, τοῦ λογικοῦ μένοντος ὑγιοῦς καὶ ἀκεραίου. Χαρακτηριστικὴ δὲ διαφορὰ τῶν παραισθήσεων τούτων ἀπὸ τῶν ἄλλων ἐστίν, ὅτι οἱ εἰς αὐτὰς ὑποκείμενοι δύνανται τὰς ἰδέας αὐτῶν ἐξελέγχειν, τὴν πορείαν αὐτῶν μεταβάλλειν, παραβάλλειν τε αὐτὰς καὶ ἀναγνωρίζειν τὴν ἑαυτῶν ἀπάτην· ἢ ὅταν μὴ ἀναγνωρίζωνται ὑπ' αὐτῶν ὡς ψευδεῖς αἰσθήσεις, ἐκλαμβάνονται ὡς ἔκτακτόν τι γινόμενον, ὅπερ ὅμως οὐδεμίαν ἔχει ροπὴν εἰς τὴν διαγωγὴν αὐτῶν.

«Ἐξ σφόδρα περί τινα ἰδέαν ἀσχολούμενοι δύνανται, διὰ τῆς ἐπὶ μακρὸν παρατεινομένης μελέτης, τοῖς ὀφθαλμοῖς τοῦ πνεύματος τὴν ἰδέαν ταύτην ὁρᾶν διυλαζομένην (Materialisée)· ὅτῳ δὲ ἡ ὁρμὴ ἐλάσσων γίνεται, τοσούτῳ αἱ ἰδέαι τὴν φυσικὴν αὐτῶν ἀναλαμβάνουσι πορείαν. Ἡ εἰκὼν (l'image) ἐγένετο τὸ

κορυφαίον τῆς μελέτης σημεῖον. Ἐνόμισαν βλέπειν, ἴσως δὲ καὶ εἶδον ὅ,τι ὑποκείμενον ἦν τῆς μελέτης αὐτῶν· ἀλλ' οὐδὲν ἀσύνηθες, οὐδὲν ἀνώμαλον ἐπηκολούθησε· τοῦτο δὲ ἐκτὸς πάσης ἀμφιβολίας τίθεται, διότι αἱ ἀποφάσεις, αἱ πράξεις, ἀποτελέσματα τῆς ἰδέας ταύτης, ἥτις πᾶσαν τὴν προσοχὴν καὶ τὸν νοῦν αὐτῶν εἰς ἑαυτὴν ἐφείλκυσε, πρότυπον ἔσονται λογικῆς καὶ μαρτύριον τῶν εὐγενεστάτων τῆς νοήσεως δυνάμεων.

»Καθ' ἡμᾶς λοιπὸν ἡ παραίσθησις ὑπάρχει ἐν ὅτι πλείσταις καὶ διαφόροις περιστάσεσιν· ἔστι μὲν ἀποτέλεσμα ἐγκεφαλικῆς ἐξάψεως, οὐχὶ δὲ καὶ σταθερὸν πάντοτε σύμπτωμα παραφροσύνης, πολλοῦ γε καὶ δεῖ· διότι ἐν πολλοῖς ἀνθρώποις προδιάθεσίς ἐστι σχεδὸν κανονική.

»Ἡ παραίσθησίς ἐστιν αἴσθησις (sensation) ἀναντιλέκτως διάφορος, ὡς ἐκ τῆς ἀφετηρίας αὐτῆς, τῆς ἀληθοῦς αἰσθήσεως, ἀλλὰ τὰ στοιχεῖα αὐτῆς εἰσι παρόμοια αὐτῇ.

»Ἡ ἀνάμνησις τῆς αἰσθήσεως καὶ ἡ νοερὰ αὐτῆς σύλληψις δύνανται, κατὰ τὴν εὐαισθησίαν τῶν φυλῶν καὶ τῶν ἀνθρώπων, δυνάμει ἐξισωθῆναι τῇ πραγματικῇ αἰσθήσει· μόνον δὲ διαφορὰν βαθμοῦ ἐν τοῖς τρισὶ τούτοις ὅροις δύναταί τις εὑρεῖν.

»Ἡ σύλληψις τῆς αἰσθήσεως ἐν τῷ νῷ ἐστιν ἡ φυσιολογικὴ παραίσθησις ἐν σπέρματι· ἔστι κοινὴ πᾶσι τοῖς ἀνθρώποις καὶ ἱκανή, διὰ τῆς προσοχῆς καὶ τῆς βουλήσεως, μέχρι τῆς ἐναργείας τῆς ἐντυπώσεως ὑψωθῆναι.

»Παρὰ τοῖς μεγαλοφυέσι τὸ ἰδανικόν, ὅπερ ἡ σύλληψίς ἐστιν ἐν τῷ ὑψίστῳ αὐτῆς βαθμῷ, ἐν αἰσθητῇ μορφῇ ἐνσαρκοῦται, καὶ ἀπεργάζεται τὴν φυσιολογικὴν παραίσθησιν».

Ὁ Brierre de Boismont πρὸς τοῖς ἄλλοις παραδείγμασι παρακισθήσεων τῷ λογικῷ συμβιβαζομένων ἀναφέρει καὶ τὸ τοῦ βιβλιοπώλου Νικολαΐ, μέλους τῆς Ἀκαδημίας τῶν Ἐπιστημῶν τοῦ Βερολίνου, καθ' ἣν αὐτὸς ὁ Νικολαΐ ἐποίησε περιγραφὴν ἔχουσαν ὧδε. «Κατὰ τοὺς τελευταίους μῆνας τοῦ 1791 εἶχον ὀλίψεις βαθέως συνταραξάσας με. Ὁ ἰατρός Selles εἰωθὼς δὶς τοῦ ἔτους ποιεῖν μοι ἀφαιμάξεις, ἔκρινε καλὸν τοῦτο τὸ ἔτος μίαν ποιῆσαί μοι. Τῇ 24 φεβρουαρίου μετά τινα ζωηρὰν διένεξιν αἴφνης δέκα βήματα μακρὰν ἐμοῦ εἶδον μορφὴν νεκροῦ· ἠρώτησα τὴν γυναικά μου, ἂν βλέπῃ αὐτήν· ἡ δὲ θορυβηθεῖσα μετεπέμψατο ἰατρόν τινα. Τὸ φάσμα διήρκεσεν ὀκτὼ λεπτά. Τῇ τετάρτῃ ὥρᾳ μ. μ. τὸ αὐτὸ φάσμα ἐπανεφάνη· ἤμην τότε μόνος· ταραττόμενος ἐπὶ τῷ συμβάντι τούτῳ ἐπορεύθην εἰς τὸν κοιτῶνα τῆς συζύγου μου. Τὸ φάσμα ἠκολούθησέ μοι. Κατὰ τὰς ἓξ ὥρας εἶδον πολλὰς μορφὰς οὐδεμίαν ἐχούσας σχέσιν πρὸς τὴν πρώτην.

»Τῆς πρώτης συγκινήσεως παρελθούσης, περιεργαζόμην τὰ φάσματα, ἐκλαμβάνων αὐτὰ οἷα πραγματικῶς ἦσαν, ἀποτελέσματα τῆς ἀρρωστίας μου. Ταύτης τῆς ἰδέας ἐμπεφορημένος μετὰ μεγίστης προσοχῆς παρετήρουν αὐτά, ζητῶν διὰ τίνος συνειρμοῦ ἰδεῶν αἱ μορφαὶ αὗται εἰς τὴν φαντασίαν μου παρίσταντο· ἀλλ' οὐκ ἠδυνήθην σχέσιν τινὰ εὑρεῖν αὐτῶν πρὸς τὰς ἐμὰς ἀσχολίας τε καὶ ἰδέας καὶ ἐργασίας. Τῇ ἐπιούσῃ ἡ νεκρὰ μορφὴ ἠφανίσθη, ἀλλ' ἐνεφανίσθησαν ἄλλαι πολυάριθμοι μορφαὶ φίλων ἔστιν ὅτε, οὐδέποτε τῶν οἰκείων, ξένων ὡς ἐπὶ τὸ πλεῖστον, οἰκούντων κατὰ τὸ μᾶλλον ἢ ἧττον μακράν. Ἐπειράθην ἑκουσίως τὴν μορφὴν γνωστῶν μοι ἀνθρώπων ἀναπαραστῆσαι διὰ ζωηρᾶς ἐναργείας (objectivité) τῆς εἰκόνος αὐτῶν· ἀλλὰ καίπερ ἰδών διακεκριμένος δύο μορφὰς ἐν τῷ ἐμῷ πνεύματι, οὐκ ἠδυνήθην τὴν ἐσωτερικὴν εἰκόνα καταστῆσαι ἐξωτερικήν, καίτοι ἄλλοτε ἀκουσίως εἶδον αὐτὰς οὕτω, καὶ ὕστερον ὡσαύτως, ὅτε οὐδεμίαν παρεῖχον προσοχήν. Ἡ κατάστασις τοῦ πνεύματός μου ἐπέτρεπέ μοι τὰς ψευδεῖς ταύτας ἀντιλήψεις μὴ συγχέειν ταῖς πραγματικαῖς.

»Τὰ φάσματα ταῦτα ἦσαν σαφῆ καὶ διακεκριμένα εἴτε μόνος ἤμην εἴτε μετ' ἄλλων νύκτωρ τε καὶ μεθ' ἡμέραν, ἐν τῇ ὁδῷ καὶ ἐν τῷ οἴκῳ· ἦσαν δὲ σπανιώτερα, ὅτε παρ' ἄλλοις διέτριβον· ὅτε τοὺς ὀφθαλμοὺς ἔκλειον, ἐξηφανίζοντο, ἐνίοτε ἔμενον ὁρατά· ἀλλ' ὅτε ἤνοιγον τοὺς ὀφθαλμοὺς εὐθὺς ἀνεφαίνοντο· καθόλου εἰπεῖν τὰ φάσματα ταῦτα, καὶ τοῖς δυσὶ φύλοις ἀνήκοντα, οὐδεμίαν ἐφαίνοντο παρέχειν προσοχὴν εἰς ἄλληλα καὶ ἐβάδιζον ἐπησχολημένα ὡς ἐν ἀγορᾷ. Πολλάκις εἶδον ἐφίππους, κύνας, πτηνά· τὰ φάσματα οὐδὲν εἶχον τὸ ἰδιάζον οὔτε ἐν τοῖς βλέμμασιν οὔτε ἐν τοῖς ἀναστήμασιν, οὔτε ἐν τῷ ἱματισμῷ, ἀλλὰ μόνον ὀλίγον ἦσαν ὠχρά.

»Μετὰ τέσσαρας περίπου ἑβδομάδας ὁ ἀριθμὸς τῶν φασμάτων ηὔξησεν· ἠρξάμην δὲ ἀκούειν αὐτῶν λαλούντων· καὶ ἐνίοτε μὲν ἀλλήλοις διελέγοντο, ὡς ἐπὶ τὸ πλεῖστον δὲ ἐλάλουν πρός ἐμέ. Οἱ λόγοι αὐτῶν ἦσαν σύντομοι καὶ ὡς ἐπὶ τὸ πλεῖστον εὐχάριστοι· ὥςε πολλάκις ἐξέλαβον αὐτοὺς ὡς φίλους τρυφερούς καὶ εὐαισθήτους, ζητοῦντας τὰς ὀλίψεις μου καταπραΰναι.

»Καίτοι τὸ πνεῦμά μου ἦν τότε ἐν ἀρκούντως καλῇ καταστάσει, καὶ τὰ φάσματα τοσοῦτον οἰκεῖα ἀπέβησάν μοι, ὥστε οὐδὲ τὴν ἐλαχίστην προὔξένουν μοι ἀνησυχίαν, ἐζήτησα διὰ καταλλήλων φαρμάκων ἀπαλλαγῆναι αὐτῶν. Τῇ 20 Ἀπριλίου 1791 ἐγένετο ἐπίθεσις βδελλῶν· ὁ χειρουργὸς ἦν μόνος μετ' ἐμοῦ· διαρκούσης τῆς ἐπιθέσεως ὁ κοιτὼν ἦν πλήρης παντοειδῶν ἀνθρωπίνων μορφῶν. Ἡ παραίσθησις αὕτη ἄνευ διακοπῆς τινος μέχρι τῆς τετάρτης καὶ ἡμισείας διήρκεσε, καθ' ἣν ὥραν ἡ πέψις ἤρξατο γίγνεσθαι. Εἶδον τὰς κινήσεις τῶν φασμάτων βραδυτέρας γινομένας· ὕστερον τὰ φάσματα ἤρξαντο γίνεσθαι ὠχρὰ καὶ κατὰ τὴν ἑβδόμην ὥραν λευκά· αἱ κινήσεις αὐτῶν ἦσαν βραδεῖαι καίτοι αἱ μορφαὶ αὐτῶν, ὡς πρότερον, διεκρίνοντο· κατὰ μικρὸν ἐγένοντο αἰθέρια, ἐφαίνησαν συγχεόμενα τῷ ἀέρι, καὶ μόνον μέχρι τινὰ αὐτῶν ἦσαν χρόνον τινὰ ὁρατά· περὶ δὲ τὰς ὀκτὼ ὥρας τὸ δῶμα ἀπηλλάγη τῶν φαντασιωδῶν τούτων ἐπισκεπτῶν.

»Ἔκτοτε δὶς ἢ τρὶς ἐνόμισα ὅτι τὰ φάσματα ταῦτα ἔμελλον καὶ πάλιν ἐπισκέψεσθαι με· ἀλλ' οὐδὲν ἐγένετο».

Τοιαύτη διπλῆ παραίσθησις τῆς ὁράσεως καὶ τῆς ἀκοῆς ἦν καὶ τὸ φάσμα τοῦ Βρούτου, περὶ οὗ ὁ Πλούταρχος λέγει, «ὡς οὖν ἔμελλεν ἐξ Ἀσίας διαβιβάζειν τὸ στράτευμα, νὺξ μὲν ἦν βαθυτάτη, φῶς δ' εἶχεν οὐ πάνυ λαμπρὸν ἡ σκηνή, πᾶν δὲ τὸ στρατόπεδον σιωπὴ κατεῖχεν· ὁ δὲ συλλογιζόμενός τι καὶ σκοπῶν πρός ἑαυτὸν ἔδοξεν αἰσθέσθαι τινὸς εἰσιόντος· ἀποβλέψας δὲ πρὸς τὴν εἴσοδον ὁρᾷ δεινὴν καὶ ἀλλόκοτον ὄψιν ἐκφύλου σώματος καὶ φοβεροῦ σιωπῇ παρεστῶτος αὐτῷ. Τολμήσας δ' ἐρέσθαι «τίς ποτ' ὢν, εἶπεν, ἀνθρώπων ἢ θεῶν ἢ τί βουλόμενος ἥκεις ὡς ἡμᾶς;» Ὑποφθέγγεται δ' αὐτῷ τὸ φάσμα, «ὁ σός, ὦ Βροῦτε, δαίμων κακός, ὄψει δέ με περὶ Φιλίππους». Καὶ ὁ Βροῦτος οὐ διαταραχθεὶς «ὄψομαι», εἶπεν.

«Ἀφανισθέντος δ' αὐτοῦ τοὺς παῖδας ἐκάλει· μήτε δ' ἀκοῦσαί τινα φωνὴν μήτ' ἰδεῖν ὄψιν φασκόντων, τότε μὲν ἐπηγρύπνησεν· ἅμα δ' ἡμέρᾳ τραπόμενος πρὸς Κάσσιον ἔρραζε τὴν ὄψιν. Ὁ δὲ τοῖς Ἐπικούρου λόγοις χρώμενος καὶ περὶ τούτων ἔθος ἔχων διαφέρεσθαι πρὸς τὸν Βροῦτον «ἡμέτερος οὗτος, εἶπεν, ὦ Βροῦτε, λόγος ὡς οὐ πάντα πάσχομεν ἀληθῶς οὐδ' ὁρῶμεν, ἀλλ' ὑγρὸν μέν τι χρῆμα καὶ ἀπατηλὸν ἡ αἴσθησις, ἔτι δ' ὀξυτέρα ἡ διάνοια κινεῖν αὐτὸ καὶ μεταβάλλειν ἀπ' οὐδενὸς ὑπάρχοντος ἐπὶ πᾶσαν ἰδέαν· κηρῷ μὲν γὰρ ἔοικεν ἡ τύπωσις, ψυχῇ δ' ἀνθρώπου τὸ πλαττόμενον καὶ τὸ πλάττον ἐχούσῃ τὸ αὐτό, ῥᾷστα ποικίλλειν αὐτὴν καὶ σχηματίζειν δι' ἑαυτῆς ὑπάρχει· δηλοῦσι δ' αἱ κατὰ τοὺς ὕπνους[1] τροπαὶ τῶν ὀνείρων, ἃς τρέπεται τὸ φανταστικὸν ἐξ ἀρχῆς βραχείας παντοδαπὰ καὶ πάθη καὶ εἴδωλα γιγνόμενα· κινεῖσθαι δ' ἀεὶ πέφυκε· κίνησις δ' αὐτῷ φαντασία τις ἢ νόησις. Σοὶ δὲ καὶ τὸ σῶμα ταλαιπωρούμενον φύσει τὴν διάνοιαν αἰωρεῖ καὶ παρατρέπει. Δαίμονας δ' οὔτ' εἶναι πιθανὸν οὔτ' ὄντας ἀνθρώπων ἔχειν εἶδος ἢ φωνὴν ἢ δύναμιν εἰς ἡμᾶς ἥκουσαν. Τοιούτοις μὲν ὁ Κάσσιος ἐπῴδει λόγοις τὸν Βροῦτον».

Τοιαῦται ἦσαν καὶ αἱ παραισθήσεις τοῦ Λουθήρου, ὃς ἔβλεπε τὸν διάβολον καὶ πολλὰς πρὸς αὐτὸν εἶχε διαλέξεις καὶ συζητήσεις. «Συνέβη μοι ἅπαξ, λέγει, ἐξεγερθῆναι τοῦ ὕπνου κατὰ τὴν μέσην νύκτα καὶ ἐλθεῖν εἰς ἔριν καὶ ἀντιλογίαν πρὸς τὸν σατανᾶν».

Ὁ Λουθηρος οὐδεμίαν εἶχεν ὑποψίαν ὅτι ἃ ἤκουε καὶ ἔβλεπε ἦσαν ψευδεῖς καὶ φαντασιώδεις αἰσθήσεις, διότι ἡ ἐποχὴ αὐτοῦ οὐδεμίαν εἶχε γνῶσιν τῶν παραισθήσεων· «Κατὰ τὴν ἐπιστήμην, λέγει ὁ Brierre de Boismont, οὐδεὶς διστάγμως ὅτι ὁ Λουθηρος εἰς παραισθήσεις ὑπέκειτο· ἀλλ' ἦν καὶ παράφρων; οὐδαμῶς. Κατὰ τοὺς χρόνους τῆς Ἀναμορφώσεως ὁ σατανᾶς ἀπέραντον εἶχε δύναμιν, ἣν πανταχοῦ παρῴκει, ἐν ταῖς δοξασίαις, ἐν τοῖς βιβλίοις, ἐν ταῖς εἰκόσι τῆς ζωγραφικῆς, ἐν τοῖς ἔργοις τῆς γλυπτικῆς, ἐν ταῖς συνανστροφαῖς, ἐν ταῖς πανυχίσι. Πᾶν τὸ κακὸν αὐτῷ ἀπενέμετο· ἦγε μεθ' ἑαυτοῦ ἀνάριθμον πλῆθος μάγων καὶ γοήτων, ἐπώλει δημοσίᾳ τὰς ψυχάς, καὶ ἀπ' ἄκρου εἰς ἄκρον τῆς Εὐρώπης διεξετραχώδουντο ἁρπαγαὶ καὶ βίαιοι θάνατοι, ἀποτελέσματα συμφωνιῶν μετὰ τοῦ τρομεροῦ τούτου ἄρχοντος τοῦ κόσμου· αἱ σκέψεις τοῦ Λουθήρου ἐξαπτόμεναι ὑπὸ διηνεκῶν ἀντιλογιῶν, καὶ ὑπὸ τῶν κινδύνων τῶν περιστάσεων καὶ ὑπὸ τῶν κεραυνῶν τῆς παπικῆς Ἐκκλησίας, καὶ περιστρεφόμεναι ἀεὶ περὶ τὰ θρησκευτικά, ἔμελλον, ὡς εἰκός, τὴν ἐπιφορὴν ὑποστῆναι τῆς ἰδέας

1) Οἱ νεώτεροι παρετήρησαν, ὅτι ἡ μεταξὺ ὕπνου καὶ ἀϋπνίας κατάστασις λίαν ἐστὶν ἐπιρρεπὴς εἰς παραισθήσεις καὶ παρ' αὐτοῖς τοῖς ὑγιῶς ἔχουσι τὴν ψυχήν. Οἱ δὲ Ἐπικούρειοι, καίπερ ὀλίγον φρονεῖν, ὡς πρώτην αἰτίαν τῶν παραισθήσεων θεωροῦσι τὰς νοερὰς δυνάμεις τῆς ψυχῆς καὶ μάλιστα τὸ φαντασικόν.

τοῦ διαβόλου, ὃν παντα χοῦ ἔβλεπεν, εἰς ὃν πάσας τὰς δυσχερείας ἀπένεμεν, εἰς ὃς προσέκοπτε, καὶ ἐνόμιζεν, ὡς οἱ σύγχρονοι αὐτῷ, ὅτι ὁ σατανᾶς ἐν πᾶσι τοῖς τοῦ βίου πράγμασιν ἀνεμιγνύετο».

Περὶ δὲ τοῦ Σωκράτους ὁ σοφὸς συγγραφεὺς τῶν *Παραισθήσεων* λέγει· «Εἰ τὰ ἡμέτερα ἐπιχειρήματα, ἅπερ ἀσθενῆς εἰσιν ἔκφρασις τῶν πεποιθήσεων ἡμῶν, πιθανὰ τοῖς ἀναγνοῦσι τὴν ἡμετέραν βίβλον ἔδοξαν, αὐτοὶ τὴν ἐφαρμογὴν αὐτῶν ποιήσουσιν ἐπὶ τοῦ ἕλληνος φιλοσόφου, ὃς ἦν ἡ ἀρίστη μεγαλοφυΐα τῶν ἀρχαίων χρόνων καὶ ἔσται, οἱαδήποτε ἂν ὦσιν αἱ ἰατρικαὶ θεωρίαι, ἡ αἰωνία δόξα τοῦ ἀνθρωπίνου λόγου καὶ ὁ διδάσκαλος τοῦ Πλάτωνος· οὐδέποτε ὁ ὀρθὸς λόγος στέρξει ὑπολαβεῖν ὡς παράφρονα ἄνδρα, οὗ ἡ διαγωγὴ ἦν οὕτως ἁγνή, οὕτω φρονίμη, καὶ τρόπαν τινὰ οὕτω θεόπεμπτος· τὸ δαιμόνιον αὐτοῦ ἦν ἡ προσωποποίησις ἑαυτοῦ (la personnification de son moi), οὗ ἡ αἰσθητὴ μορφὴ ἦν ἀποτέλεσμα τῶν χρόνων. Ἡ πίστις εἰς τὰ ὄνειρα ἦν αὐτῷ κοινὴ καὶ παντὶ τῷ ἀρχαίῳ κόσμῳ.

«Τί δὲ τάχα ὅτι ὁ Σωκράτης εἰς παραισθήσεις ὑπέκειτο; μὴ αἱ ἀλήθειαι ἃς ἐδίδασκεν ἀπ' αὐτῶν ἐξηρτῶντο; Αὗται ἦσαν τοιαῦται ὕστερον, ὡς καὶ πρὸ αὐτοῦ· οὐδὲ δυνάμεθα τὸ τῆς παραισθήσεως ὄνομα μεταχειρίσασθαι, ὅταν ὁ λόγος περὶ ἁπλῶν συλλήψεων ᾖ ἢ περὶ τῶν κυρίως λεγομένων ἰδεῶν.

«Ἀλλὰ τί ἐστιν ἡ ὀλιβερὰ αὕτη μανία τοῦ ἀνθρωπίνου πνεύματος, ἡ ἐναμενίζουσα ἀρνεῖσθαι τὰ ἀπὸ ἀμνημονεύτων χρόνων ὑπάρχοντα, ἐκμηδενίζειν τὰς μᾶλλον ἐγκύρους νομιμότητας, ποιεῖν περιφρονητὸν τὸ πρότερον σεβαστόν, ἀνατρέπειν τὰ πράγματα καὶ μεταβάλλειν, ὡς διὰ μαγικῆς ῥάβδου, πάντα τὰ πρόσωπα; ὁ ἐπιστήμων ὀφείλει πάντα εἰς τὰς ταξινομήσεις αὐτοῦ ὑπάγειν; οὐ δύναται ὑπ' ὄψει λαμβάνειν τοὺς καιροὺς καὶ τὰς δοξασίας; βλέποντες δὲ ὅτι πᾶν τὸ παρ' ἡμῶν μετ' εὐλαβείας λατρευόμενον ἀνατρέπει, οὐκ ἔχομεν τὸ δικαίωμα ἐρωτῆσαι αὐτόν, ὁρά γε κατενόησας, ἔκρωνας ὀρθῶς τὰς μεγάλας ταύτας ἐπιχειρήσεις, τὰς ἀμαυρουμένας, κακολογουμένας, σμικρυνομένας, τὰς μεγάλας ταύτας δύξας, ὧν ἀποκαλύπτεις τὰς ταπεινότητας, τὰ τρωτὰ μέρη, ἃ ἐξουδενοῖς διὰ τὸ ἡμαρτημένον ἢ ἀναποφάσιστον τῆς ἀφετηρίας αὐτῶν; Τὸ μικροσκόπιον, δι' οὗ ταῦτα παρετήρησας, οὐκ ὄρά γε ἀπεπλάνησέ σε; Ἑκάστη ἐποχὴ ἔχει τὸν ἀποχρῶντα λόγον τῆς ὑπάρξεως αὐτῆς ἐν ἑαυτῇ, ἐν ἔργοις, ἐν ἰδέαις· αἱ δὲ ἀνθρώπιναι πράξεις, ἃς σὺ διὰ τῆς παραφροσύνης ἑρμηνεύεις, ἴσως φυσικὰ εἰσιν ἀποτελέσματα».

Τὴν γνώμην τοῦ Brierre de Boismont, ὅτι εἰσὶ παραισθήσεις συμβαδίζουσαι τῷ λογικῷ, ἀσπάζεται καὶ ὁ καθηγητὴς τῆς ἰατρικῆς τῶν Παρισίων σχολῆς Ball, *Maladies Mentales*, οὐχ ὁμογνωμονεῖ ὅμως ὅτι αἱ παραισθήσεις αὗται εἰσι φυσιολογικαί. «Λείπεται ἡμῖν, λέγει, ἐξετάσαι νῦν ζήτημα πολὺν χρόνον συζητηθέν, καὶ περὶ οὗ φαίνεται ὅτι δι' ἀμοιβαίων ὑποχωρήσεων εἰς συμφωνίαν τινὰ ἦλθον.

«*Οἱ παραισθητικοὶ εἰσιν ἀεὶ παράφρονες;* Τοιοῦτον τὸ ζήτημα, ὅπερ ἀπὸ τῆς πολυκρότου συγγραφῆς τοῦ Lélut ἐκινήθη μετὰ πολλῆς ἐξάψεως, δός δ' εἰπεῖν καὶ πάθους, καὶ διαφόρως ὑπὸ τῶν ἰατρῶν τῆς φρενοβλαβείας καὶ τῶν ψυχολόγων ἐλύθη. Ἡ ἔρις ἔλασσον ἂν ἦν ζωηρά, εἰ περὶ κοινῶν ἀρρώστων ὁ λόγος ἦν· ἀλλὰ τὸ ζήτημα μετηνέχθη εἰς τὸ τῆς ἱστορίας ἔδαφος, αἱ δὲ συζητήσεις ἐγένοντο ζωηρότεραι, ὅσῳ ἔλασσον τῇ ἐπιστήμῃ ἔμελλε περὶ αὐτῶν.

«Ὁ λόγος ἐνταῦθα οὐκ ἂν εἴη περὶ τῶν πασχόντων ἁπλῆν αἰσθητικὴν ταραχὴν (délire sensoriel), ἐν οἷς ὁ λόγος ἕδραῖος μένει καὶ κρίνει εὐθὺς τὴν ἀταξίαν ταύτην, ἁπλῶς φυσικὴν οὖσαν, τῆς νοήσεως οὐδὲν μετεχούσης· ὁ λόγος περὶ παραισθητικῶν μετὰ πεποιθήσεως ὑποστηριζόντων τὴν πραγματικότητα τῶν ἀπατῶν αὐτῶν καὶ συμφώνως αὐταῖς ἐνεργούντων· εἰ πάντες οὗτοι παράφρονες κρίνονται, πολλοὶ τῶν διασημοτάτων ἀνδρῶν τῆς ἱστορίας καταταχτέοι ἐν τοῖς παράφροσιν.

«Ὁ Λούθηρος καὶ ὁ Σωκράτης ἦσαν παράφρονες, διότι ὁ μὲν ἔβλεπε τὸν διάβολον, ὁ δὲ ἤκουε τὸ δαιμόνιον; αἱ ἄλλαι πράξεις τῶν μεγάλων τούτων ἀνδρῶν οὐκ ἐπιτρέπουσιν ἡμῖν ὑπολαβεῖν αὐτοὺς παράφρονας· ὅ,τι δυνάμεθα εἰπεῖν, ἐστὶ τοῦτο, ὅτι εἶχον παραισθήσεις· ἀλλὰ παραισθήσεις τοιαύτης ἐντάσεως ἐγγύς εἰσι τῆς μανίας, ἀλλ' οὐ καὶ κατ' ἀνάγκην παράγουσιν αὐτήν.

«Ἐν τούτοις, ὡς βλέπει τις, συμφωνοῦμεν τῇ γνώμῃ, ἣν μετὰ σταθερότητος καὶ δεινότητος ὁ Brierre de Boismont ὑπεστήριξε, καὶ ἥτις νῦν σχεδὸν γενικῶς παραδεκτὴ ἐγένετο· ἀλλ' οὐ δυνάμεθα συμφωνῆσαι αὐτῷ ὅτι καὶ παραισθήσεις εἰσὶ φυσιολογικαί· ἀδύνατόν ἐστιν ἡμῖν ἀποδέξασθαι, ὅτι παραισθήσεις, καὶ αὗται αἱ συνυπάρχουσαι τῇ τελείᾳ ἀκεραιότητι τῆς κρίσεως, τακτικαί εἰσι τῆς νοήσεως ἐνέργειαι. Ἐν ταῖς τοιαύταις παραισθήσεσι μετὰ προσοχῆς ἐξέτασις ἀνακαλύπτει ἀεὶ ἀλλοίωσίν τινα τῆς ὑγείας κατὰ τὸ μᾶλλον ἢ ἧττον φανερόν.

«Αἱ ἠθικαὶ ἀσχολίαι, αἱ ζωηραὶ συγκινήσεις, ἡ χαρά, ὁ φόβος, ἡ τύψις τῆς συνειδήσεως, τέλος ἡ ἔντασις τοῦ πνεύματος, δύνανται, φασί, παραισθήσεις παρέχειν. Καθ' ἡμᾶς αἱ αἰτίαι αὗται, ἁπλῶς ψυχικαί, προδιάθεσίν τινα μόνον παράγουσιν, οὐχὶ δὲ καὶ παράισθησιν ἄνευ παρεμβάσεως ξένου τινὸς στοιχείου».

Ἐκ τῶν παραισθήσεων αἱ μὲν καλοῦνται *ψυχαισθητικαὶ* (Psycho-sensorielles) ἀποτέλεσμα οὖσαι τῆς ἐνεργείας τῆς φαντασίας καὶ τῶν αἰσθητηρίων ὀργάνων· οἱ δὲ παραισθητικοὶ πιστεύουσιν εἰς τὴν ἐξωτερικὴν αὐτῶν πραγματικότητα· αἱ δὲ καλοῦνται *ψυχικαί*· διότι οἱ ὑφιστάμενοι αὐτὰς νομίζουσιν ἀκούειν φωνήν τινα ἐσωτερικήν, ἣν καλοῦσι φωνὴν τῆς νοήσεως, καὶ ἥτις οὐδέποτε ἀκούεται ὡς ἐξωτερική· αἱ τοιαῦται παραισθήσεις σπανιώτεραί εἰσιν.

Ἐκ δὲ τῶν προταθεισῶν θεωριῶν πρὸς ἑρμηνείαν τῶν παραισθήσεων τρεῖς εἰσιν αἱ κυριώτεραι· α'. Ἡ *ψυχολογική*, καθ' ἣν ἡ παράισθησις ἁπλοῦν ἐστι ψυχολογικὸν φαινόμενον, ἰδέα ἐκφερομένη πρὸς τὰ ἔξω κατὰ τὴν ἔκφρασιν τοῦ Lélut (une idée qui se projette au dehors), μεταμόρφωσις τῆς ἰδέας εἰς αἴσθησιν, ἤτοι τὸ ἀντίστροφον τῆς τακτικῆς ἐνεργείας τῆς ψυχῆς, καθ' ἣν ἡ αἴσθησις μεταμορφοῦται εἰς ἰδέαν· β'. Ἡ *ὀργανική*, καθ' ἣν ἡ παράισθησίς ἐστιν ἀποτέλεσμα παθήσεώς τινος τῶν αἰσθητηρίων ὀργάνων ἢ τοῦ κοινοῦ αἰσθητηρίου, ἐν ᾧ συνέρχονται καὶ συμπυκνοῦνται αἱ αἰσθήσεις καὶ εἰς ἰδέας μετατρέπονται· γ'. Ἡ *ψυχαισθητικὴ* ἢ *μικτή*, καθ' ἣν ἡ παράισθησις πάθημά ἐστι τοῦ συναμφοτέρου, τῶν νοερῶν τῆς ψυχῆς δυνάμεων καὶ τῶν αἰσθητηρίων ὀργάνων.

Ἀνακεφαλαίωσις τῶν περὶ δαιμονίου.

§ 60. Τοσαῦτα μὲν καὶ περὶ τῶν ἰατρικῶν θεωριῶν περὶ παραισθήσεων, ἐν αἷς κατατάσσουσι καὶ τὴν φωνὴν τοῦ Σωκράτους. Ἂν δὲ νῦν τὰς ἐν τοῖς ἔμπροσθεν ἐκτεθείσας περὶ δαιμονίου γνώμας ἀνακεφαλαιωσώμεθα, εὑρίσκομεν τάδε·

α'. Τὸ δαιμόνιον οὐδὲν ἄλλο ἦν ἢ τὸ θεῖον, ὁ θεὸς ἢ οἱ θεοὶ ἀποκαλύπτοντες τὰ μέλλοντα τῷ Σωκράτει (Ξενοφῶν, Πλούτ.).

β'. Τὸ δαιμόνιον ἦν ὁ ἀγαθὸς δαίμων τοῦ Σωκράτους (Πλούταρχος, Ἀπουλήϊος).

γ'. Κατά τινας πατέρας τῆς Ἐκκλησίας τὸ δαιμόνιον ἦν ὁ διάβολος, κατὰ δὲ τὸν Leclerc πεπτωκὼς ἄγγελος.

δ'. Κατὰ Σχλεϊερμάχερον καὶ Γρότιον ὁ Σωκράτης ὑπελάμβανε τὸ δαιμόνιον θείαν ἑαυτῷ ἀποκάλυψιν.

ε'. Τὸ δαιμόνιον ἦν ἡ φωνὴ τῆς συνειδήσεως (Brandiss, Breitenbarh).

ς'. Τὸ δαιμόνιον οὐδὲν ἄλλο ἦν ἢ ἁπλῆ εἰρωνικὴ τοῦ Σωκράτους ἔκφρασις (Fraguier).

ζ'. Τὸ δαιμόνιον ἦν ἐσωτερικὴ αἴσθησις ἐνεργειῶν τινων τῆς ψυχῆς ἄνευ συνειδήσεως (Zeller).

η'. Τὸ δαιμόνιον ἦν ἐσωτερικὴ φωνὴ τῆς συνέσεως τοῦ Σωκράτους (K. Hermann).

θ'. Τὸ δαιμόνιον ἦν ἐσωτερικὸν χρηστήριον ἄνευ συνειδήσεως (Hegel).

ι'. Τὸ δαιμόνιον ἦν αἴσθησις φωνῆς, ἢ λόγου νόησις, συνάπτοντος ἀτόπῳ τινὶ τρόπῳ πρὸς αὐτόν. (Σιμμίας παρὰ Πλουτάρχῳ).

ια'. Τὸ δαιμόνιον ἦν ψυχολογικὴ ὀπτικὴ ἀπάτη (Stapfer).

ιβ'. Τὸ δαιμόνιον ἦν παραίσθησις (Hallucination) συνεπάγουσα παραφροσύνην (Lélut).

ιγ'. Τὸ δαιμόνιον ἦν παραίσθησις φυσιολογικὴ ἄνευ βλάβης τινὸς δῆλον ὅτι τοῦ σώματος ἢ τῆς ψυχῆς (Brierre de Boismont).

ιδ'. Τὸ δαιμόνιον ἦν παραίσθησις ψυχολογική, οὐ φυσιολογική[1] (Fouillée).

Πολλαὶ τούτων τῶν γνωμῶν οὐ πολὺ ἀπ' ἀλλήλων ἀπέχουσι καὶ εὐκόλως συμβιβάζονται, ὀρθοτέρα δὲ ἀναντιρρήτως ἐστὶν ἡ στηριζομένη ἐπὶ τῆς ὁμολογίας τοῦ Σωκράτους περὶ δαιμονίου. Ἀλλὰ τίς ἡ ὁμολογία αὕτη, καὶ ἐν τίνι συγγράμματι ἐκπεφασμένη ἐστί; Τελείαν εἴχομεν ἂν βεβαιότητα, εἰ γνήσιόν τι σύγγραμμα ἐσώζετο τοῦ Σωκράτους, ἐν ᾧ λόγαν περὶ δαιμονίου ἐποιεῖτο· ἀλλ' ὁ Σωκράτης οὐδὲν ἔγραψεν· εὐτυχῶς ὅμως τοιοῦτόν τι σύγγραμμα ὑπάρχει, διότι κατὰ Σχλεϊερμάχερον καὶ ἄλλους τοιαύτη ἐστὶν ἡ Πλατωνικὴ Ἀπολογία, συνταχθεῖσα καὶ οἱονεὶ στενογραφηθεῖσα ὑπὸ Πλάτωνος, ὡς εἶπεν αὐτὴν ὁ Σωκράτης ἐν τῷ δικαστηρίῳ, διατηρήσασα οὐ μόνον τὰς ἐννοίας, ἀλλὰ καὶ τὸν τρόπον τοῦ σκέπτεσθαι καὶ λέγειν τοῦ Σωκράτους· «Ἀσπάζομαι τὴν τοῦ Σχλεϊερμαχέρου γνώμην, λέγει ὁ ἱστορικὸς Γρότιος, ἀποφαινομένου ὅτι οὐκ ἄνευ λόγου

1) Τί σημαίνουσι κατὰ τοὺς ἰατροὺς καὶ τί κατὰ τοὺς φιλοσόφους οἱ ὅροι ψυχική, ψυχολογική, φυσιολογικὴ παραίσθησις ἴδε σελ. 235 καὶ 447.

δύναταί τις ἀποδέξασθαι τὴν Ἀπολογίαν ὡς ἀντιγραφὴν αὐτῆς τῆς ὑπὸ Σωκράτους γενομένης ἐν τῷ δικαστηρίῳ πρὸς ὑπεράσπισιν αὐτοῦ».

Διὰ ταῦτα καὶ ἡμεῖς ἀνασκευάζοντες τὴν ὑπὸ Lélut πλασθεῖσαν φαντασιώδη εἰκόνα τῶν Σωκρατικῶν παραισθήσεων καὶ τῆς παραφροσύνης, τὰς κρίσεις ἡμῶν ἐπὶ τῶν χωρίων τῆς Ἀπολογίας ἐστηρίξαμεν. Ταῦτα χρησιμεύσουσιν ὡς κριτὴς καὶ τῶν ῥηθησομένων νῦν εἴτε πρὸς συμπλήρωσιν καὶ ἐπικύρωσιν τῶν κρίσεων ἡμῶν εἴτε πρὸς ἐξέτασιν ἄλλων τινῶν ζητημάτων ἀθίκτων ἔτι καὶ ἀβασανίστων διαμεινάντων. Τὰ χωρία εἰσὶ δύο· καὶ ἐν μὲν τῷ πρώτῳ (σελ. 31) ὁ Σωκράτης λέγων ὅτι τὸ δαιμόνιόν ἐστιν ἡ αἰτία δι' ἣν τῶν πολιτικῶν ἀπέσχε, διασκήψεις τινὰς παρέχει περὶ τοῦ δαιμονίου τί ἐστι καὶ τί πράττει, ὅταν γίγνηται αὐτῷ. «Τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται, ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλητος ἐγράψατο· ἐμοὶ δὲ τοῦτ' ἔστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἣ ὅταν γένηται ἀεὶ ἀποτρέπει με τούτου, ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε· τοῦτ' ἔστιν ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν· καὶ παγκάλως γέ μοι δοκεῖ ἐναντιοῦσθαι».

Ἐν δὲ τῷ δευτέρῳ (σελ. 40) μετὰ τὴν καταδίκην αὐτοῦ λέγει πρὸς τοὺς ὑπὲρ αὐτοῦ ψηφισαμένους διά τί τὴν καταδίκην ὑπολαμβάνει εἶναι ἀγαθόν. «Ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, — ὑμᾶς γὰρ δικαστὰς καλῶν ὀρθῶς ἂν καλοίην — θαυμάσιόν τι γέγονεν· ἡ γὰρ εἰωθυῖά μοι μαντικὴ (ἡ τοῦ δαιμονίου) ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἦν καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν· νυνὶ δὲ ξυμβέβηκέ μοι, ἅπερ ὁρᾶτε καὶ αὐτοί, ταυτί ἄ γε οἰηθείη ἂν τις καὶ νομίζεται ἔσχατα κακῶν εἶναι· ἐμοὶ δὲ οὔτε ἐξιόντι ἕωθεν οἴκοθεν ἐναντιώθη τὸ τοῦ θεοῦ σημεῖον, οὔτε ἐνίκα ἀνέβαινον ἐνταυθοῖ ἐπὶ τὸ δικαστήριον, οὔτ' ἐν τῷ λόγῳ οὐδαμοῦ μέλλοντί τι ἐρεῖν, καίτοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή με ἐπέσχε λέγοντα μεταξύ· νυνὶ δὲ οὐδαμοῦ περὶ ταύτην τὴν πρᾶξιν οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἐναντίωταί μοι. Τί οὖν αἴτιον εἶναι ὑπολαμβάνω; ἐγὼ ὑμῖν ἐρῶ· κινδυνεύει γάρ μοι τὸ ξυμβεβηκὸς τοῦτο ἀγαθὸν γεγονέναι, καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα κακόν εἶναι τὸ τεθνάναι· μέγα μοι τεκμήριον τούτου γέγονεν· οὐ γὰρ ἔσθ' ὅπως οὐκ ἐναντιώθη ἄν μοι τὸ εἰωθὸς σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ ἀγαθὸν πράξειν».

Ἐκ τῶν χωρίων τούτων πολλὰ διδασκόμεθα·

α'. Ἐκ παιδικῆς ἡλικίας ἐγίγνετό φωνή τις τῷ Σωκράτει. Ἡ λέξις ἄρα φωνὴ λαμβάνεται κυριολεκτικῶς.

β'. Τὴν φωνὴν ταύτην ὑπελάμβανεν ὁ Σωκράτης εἶδός τι μαντικῆς ὑπὸ τοῦ θεοῦ δοθῆναι αὐτῷ, ὡς φησιν ἐν τῇ Πολιτείᾳ (σελ. 496)· «τὸ δὲ ἡμέτερον οὐκ ἄξιον λέγειν τὸ δαιμόνιον σημεῖον· ἢ γάρ πού τινι ἢ οὐδενὶ τῶν ἔμπροσθεν γέγονεν».

γ'. Τούτου ἕνεκα τὴν φωνὴν ἐκάλει τὸ σημεῖον τοῦ θεοῦ, τὸ θεῖον σημεῖον, τὸ δαιμόνιον σημεῖον, τὸ δαιμόνιον κτλ., ἅτε σημαίνον αὐτῷ καὶ ἀγγέλλον τί χρὴ μὴ ποιεῖν ὡς κακόν.

δ'. Ἡ φωνὴ ἀεὶ ἀπέτρεπεν αὐτόν, οὐδέποτε δὲ προὔτρεπεν.

ε'. Ἡ φωνὴ ἐν παντὶ τῷ βίῳ ἦν πάνυ πυκνὴ καὶ ἐν πάνυ σμικροῖς, ἐναντιουμένη αὐτῷ πολλάκις λέγοντι ἢ πράττοντι μεταξύ, εἴ τι ἔμελλε πράξειν ἢ ἐρεῖν μὴ ὀρθόν· ἡ φωνὴ ἄρα ἔμεινε μέχρι τέλους τοιαύτη, οἵα ἦν ἐξ ἀρχῆς.

ς'. Ἡ φωνὴ περιωρίζετο ἐν τοῖς ἰδίοις τοῦ Σωκράτους πράγμασιν· ἐπειδὴ δὲ καὶ τὰ τῶν μαθητῶν ὑπελάμβανεν ἴδια πράγματα, τὸ δαιμόνιον καὶ περὶ τούτων ἐδήλου τῷ Σωκράτει ἀποτροπήν, ὅτε τὰ μελετώμενα ὑπ' αὐτῶν ἦσαν κακά.

ζ'. Αὕτη ἐκώλυε τὸν Σωκράτην καὶ τὰ πολιτικὰ πράττειν.

η'. Ἡ φωνὴ οὐδεμίαν εἶχεν ὑπερφυσικὴν δύναμιν πόρρωθεν ἐνεργεῖν. Ταῦτά εἰσι μῦθοι μεταγενέστεροι.

θ'. Ἐκ τῆς ὁμολογίας τοῦ Σωκράτους ἐν τῇ Ἀπολογίᾳ οὐδὲν μανθάνομεν, εἰ ἡ φωνὴ ἦν ἔναρθρος, λέξις μονοσύλλαβος, οἷον τὸ ἀπαγορευτικὸν *μή*, ἢ ἄλλο τι τοιοῦτον ἐπιφώνημα, ἢ ὅλως ἄναρθρος.

Ἄξιον δὲ σημειώσεως ὅτι ἐν τοῖς χωρίοις τῆς Ἀπολογίας καὶ ἐν ᾧ μέρει περὶ τῆς φωνῆς ἐστι λόγος, γίνεται χρῆσις τοῦ ῥήματος γίγνεσθαι, οὐ τοῦ ἀκούειν· «ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται—φωνή τις γιγνομένη, ἣ ὅταν γένηται». Ἐν δὲ τῷ χωρίῳ τοῦ Φαίδρου ἔνθα ὡσαύτως λόγος ἐστὶ περὶ τῆς φωνῆς, γίνεται χρῆσις τοῦ ἀκούειν, ἀλλὰ μετὰ τοῦ ἔδοξα. «Ἠνίκ' ἔμελλον, ὦ ἠθαῖε, τὸν ποταμὸν διαβαίνειν, τὸ δαιμόνιόν τε καὶ εἰωθὸς σημεῖόν μοι γίγνεσθαι ἐγένετο—ἀεὶ δέ με ἐπίσχει, ὃ ἂν μέλλω πράττειν—καί τινα φωνὴν ἔδοξα αὐτόθεν ἀκοῦσαι, ἣ με οὐκ ἐᾷ ἀπιέναι, πρὶν ἀνάφροσιώσωμαι, ὡς τι ἡμαρτηκότα εἰς τὸ θεῖον».

Ἐν πᾶσι δὲ τοῖς ἄλλοις οὐδαμοῦ γίνεται χρῆσις τοῦ *ἀκούειν*, ἀλλὰ τοῦ *γίγνεσθαι*, οὐδὲ τῆς λέξεως *φωνῆς*, ἀλλὰ τῶν φράσεων, τὸ σημεῖον τοῦ θεοῦ, τὸ δαιμόνιον σημεῖον, τὸ εἰωθὸς σημεῖον κτλ.

Ἀπό τίνος δὲ χρόνου ἐγένετο ἡ ὑποκατάστασις αὕτη; Ὁ Σωκράτης, ὡς ἔστιν ἡμῖν εἰκάσαι κρίνουσιν ἐκ τῆς φυσικῆς τοῦ ἀνθρωπίνου πνεύματος ἀναπτύξεως, οὐκ εὐθύς, ἐκ παιδικῆς ἡλικίας, τὴν γιγνομένην αὐτῷ φωνὴν ἐξέλαβεν ὡς θεῖον καὶ δαιμόνιον σημεῖον· ἴσως χρόνον οὐ μικρὸν διηπόρει τίποτε σημαίνει ἡ φωνὴ αὕτη ἴσως ἡ φωνὴ ἐγίνετο καὶ ἀφορμὴ εὐφυῶν σκωμμάτων τῶν ὁμηλίκων· ἀλλὰ περὶ τούτων, ὡς καὶ περὶ τῶν φράσεων αἷς κατὰ τὴν νεανικὴν ἡλικίαν ἐχρῆτο, οὐδεμίαν ἔχομεν μαρτυρίαν. Ὁ Πλούταρχος μνημονεύει χρησμοῦ τινος τῷ πατρὶ τοῦ Σωκράτους δοθέντος· «Ἢν γὰρ αὐτὸν ἐκέλευσεν ὅ,τι ἂν ἐπὶ τὸν νοῦν ἴῃ πράττειν, καὶ μηδὲ βιάζεσθαι μηδὲ παράγειν, ἀλλ' ἐφιέναι τὴν ὁρμὴν τοῦ παιδός, εὐχόμενον ὑπὲρ αὐτοῦ Διὶ ἀγοραίῳ καὶ Μούσαις, τὰ δ' ἄλλα μὴ πολυπραγμονεῖν περὶ Σωκράτους, ὡς κρείττονα δήπουθεν ἔχοντος ἐν αὐτῷ μυρίων διδασκάλων καὶ παιδαγωγῶν ἡγεμόνα πρὸς τὸν βίον».

Ὁ χρησμὸς οὗτος κἂν ἀληθὴς ὑποτεθῇ, οὐδὲν εἰς τὴν δικασφήνισιν συμβάλλεται τοῦ περὶ οὗ ὁ λόγος ζητήματος. Ἵκτὸς ὅμως πάσης ἀμφιβολίας κεῖται, ὅτι ἐξ οὗ χρόνου ἤρξατο ὁ Σωκράτης φιλοσοφεῖν καὶ περὶ τῆς θείας προνοίας μελετᾶν καὶ τὰ διάφορα τῆς μαντικῆς εἴδη ἀναγνωρίζειν ὡς δῶρα ὑπὸ τοῦ θεοῦ τοῖς ἀνθρώποις δοθέντα, ἡ λέξις φωνὴ ὑπεχώρησε ταῖς φράσεσι, τὸ σημεῖον τοῦ θεοῦ, τὸ θεῖον σημεῖον, τὸ δαιμόνιον σημεῖον κτλ. Διὰ τί δὲ ἡ μεταβολὴ αὕτη; διότι ὁ Σωκράτης οὐκ ἠδύνατο καλέσαι τὴν φωνὴν *θείαν, δαιμονίαν*, καίπερ καλῶν αὐτὴν *θεῖον σημεῖον, δαιμόνιον σημεῖον*· διότι οὐδεὶς *τὸ θεῖον σημεῖον* δύναται τῷ θεῷ συγχέειν καὶ νομίζειν ὅτι τοῦτο καὶ ὁ θεὸς ἐν· τὴν θείαν ὅμως φωνὴν δύναται συγχέαι τῷ θεῷ καὶ ὑπολαβεῖν ὅτι ἡ φωνὴ αὐτοῦ τοῦ θεοῦ ἐστιν, αὐτὸς ὁ θεὸς λαλεῖ, ὡς διετείνετο ὁ Lélut ὅτι ὁ Σωκράτης τοῦτο ἐνόμιζεν, ὅπερ οὐκ ἀληθές· διότι ὁ Σωκράτης ὑπελάμβανεν, ὅτι ἡ γιγνομένη αὐτῷ φωνὴ θείᾳ ἐνεργείᾳ ἐγίγνετο, οὐκ ἦν ὅμως φωνὴ τοῦ θεοῦ· διότι ἄλλως οὐκ ἂν ἔλεγε *φωνή τις γιγνομένη*, ὡς ἐν τῇ Ἀπολογίᾳ, *καί τινα φωνὴν* ἔδοξα ἀκοῦσαι, ὡς ἐν τῷ Φαίδρῳ, ἐν τοῖς δυσὶ δῆλον ὅτι γνησίοις διαλόγοις τοῦ Πλάτωνος, ἐν οἷς γίνεται μνεία τῆς φωνῆς· οὐδεὶς λαλῶν περὶ φωνῆς τοῦ θεοῦ, λέγει *φωνή τις*.

Ἐκ τούτων γίνεται κατάδηλον ὅτι ἡ ἱστορικὴ κλίμαξ τῶν φράσεων οὐκ ἀνεπτύχθη καθ' ὃν τρόπον ᾤετο ὁ Lélut, διατεινόμενος ὅτι ἡ *φωνὴ* ἦν ἡ ὑψίστη ἔκφρασις, τὸ τελευταῖον ἐπιγέννημα τοῦ δαιμονίου (ἴδ. σελ. 250), ὡς εἰ φωνὴ καὶ δαιμόνιον ἦσαν δύο χωριστὰ πράγματα· ἡ φωνὴ ἦν ἡ ἀρχὴ καὶ τὸ τέλος. Ταύτην ὅμως ὡς λέξιν διεδέξαντο αἱ φράσεις, *τὸ σημεῖον τοῦ θεοῦ, τὸ θεῖον σημεῖον, ἡ μαντικὴ ἡ τοῦ θεοῦ*. Ἐπειδὴ δὲ τὸ εἶδος τοῦτο τῆς μαντικῆς ἦν νέον, ἐδέησε καὶ ἐκφράσεως νέας, καὶ προσελήφθη ἡ λέξις *δαιμόνιον*[1] συνώνυμος οὖσα τῷ θείῳ· οὕτω παρήχθησαν αἱ φράσεις, τὸ θεῖον καὶ δαιμόνιον σημεῖον, τὸ δαιμόνιον σημεῖον, τὸ δαιμόνιον· πρὸς ἔνδειξιν δὲ τῆς πυκνῆς ἐνεργείας τοῦ δαιμονίου σημείου, προσελήφθη καὶ ἡ λέξις εἰωθός· τὸ δαιμόνιον καὶ εἰωθὸς σημεῖόν μοι γίγνεσθαι ἐγένετο, τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον, τὸ εἰωθὸς σημεῖον, καὶ ἁπλῶς τὸ σημεῖον, ἡ εἰωθυῖά μοι μαντικὴ (ἡ τοῦ δαιμονίου[2]).

Ἐν ταύταις ταῖς φράσεσιν οὐδεμία ἐπίτασις, οὐδ' ἔστιν ἴχνος εὑρεῖν τῶν ἐπὶ μᾶλλον καὶ μᾶλλον, προϊούσης τῆς ἡλικίας, ἐπιτεινομένων παραισθήσεων τοῦ Σωκράτους, ὡς ὠνειροπόλει ὁ Lélut· τοὐναντίον ἡ πυκνὴ τριβὴ ἐποίησεν αὐτὰς ἀπολέσαι τι τῆς προτέρας αὐτῶν ἐπιτάσεως· τὸ θεῖον καὶ δαιμόνιον σημεῖον ἐγένετο τὸ δαιμόνιον σημεῖον, τοῦτο δὲ ἁπλῶς τὸ δαιμόνιον ἢ τὸ σημεῖον· τὸ δὲ δαιμόνιον καὶ εἰωθὸς σημεῖον ἐγένετο τὸ εἰωθὸς σημεῖον κτλ.

Ὁ Πλάτων πλέον ἢ πεντήκοντα ἔτη διατελέσας συγγράφων, οὐδαμῶς οὐδαμοῦ τῶν διαλόγων αὐτοῦ παρήλλαξέ τι τῶν ὑπὸ Σωκράτους περὶ δαιμονίου ῥηθέντων ἐν τῇ Ἀπολογίᾳ, ἀεὶ χρώμενος αὐταῖς ταῖς φράσεσι τοῦ διδασκάλου αὐτοῦ· ἐξ ὧν καταδείκνυται τοῦ-

---

1) Ἐν σελίδι 235 ἐσημειωσάμην ὅτι ἡ λέξις δαιμόνιον κατὰ τὴν γνώμην τοῦ σοφοῦ Αἴσχυλ οὐκ ἦν ἐν χρήσει πρὸ τοῦ Σωκράτους· ἀλλ' ἐν τῷ μεταξὺ εὗρον δύο φράσεις παρ' Αἰσχύλῳ *δαιμόνιαι ἀραί* (Ἑπτὰ ἐπὶ Θήβ. στίχ. 891) καὶ *δαιμόνι' ἀχώ* (Περσ. στίχ. 584) δεικνυούσας ὅτι ἡ λέξις δαιμόνιον ἦν ἐν χρήσει πρὸ τοῦ Σωκράτους, ὡς ἐπίθετον.

2) Ὅτι ἡ φράσις, *ἡ τοῦ δαιμονίου*, γλώσσημά ἐστιν, εἴρηται (σελ. 251)· κατὰ δὲ τὴν φράσιν *μαντικὴ ἡ τοῦ δαιμονίου* ἐπλάσθη καὶ ἡ ἑτέρα ἡ ἐν Θεάγει ἀπαντῶσα, *φωνὴ ἡ τοῦ δαιμονίου*, καὶ ἡ ἐν τῇ ἀποκρύφῳ Ἀπολογίᾳ τοῦ Ξενοφῶντος, ἡ *φωνὴ τοῦ θεοῦ*.

το μὲν ὅτι ἡ περὶ δαιμονίου ὁμολογία τοῦ Σωκράτους ἀληθῶς ἐστιν ἐκπεφρασμένη ἐν τῇ Ἀπολογίᾳ, τοῦτο δὲ ὅτι ὁ Πλάτων παντὸς ἄλλου πιστότερον τὴν περὶ δαιμονίου ἔννοιαν καὶ αὐτὰς τὰς φράσεις τοῦ Σωκράτους διετήρησε καὶ ἐν τοῖς ἄλλοις διαλόγοις ἐν οἷς ἢ αὐτὸν τὸν Σωκράτην ἢ ἄλλον τινὰ εἰσάγει περὶ δαιμονίου λαλοῦντα, ἐν τῷ Εὐθύφρονι (σελ. 3), ἐν τῷ Θεαιτήτῳ (151), ἐν τῷ Εὐθυδήμῳ (272), ἐν τῷ Φαίδρῳ (242), ἐν τῇ Πολιτείᾳ (ς', 496). Τίς ἄλλη αἰτία ἠνάγκασε τὸν Πλάτωνα περὶ δαιμονίου οἱονεὶ στερεοτύπως χρῆσθαι ἀεὶ ταῖς αὐταῖς φράσεσι; διὰ τί οὐκ εἰπέ που, *τὸ δαιμόνιον σημαίνει, τὸ δαιμόνιον προσημαίνει*, ὡς ὁ Ξενοφῶν; διότι οὐδεμίαν εἶχεν ἀφορμὴν τροποποιῆσαι τὰς φράσεις αἷς ὁ Σωκράτης ἐχρῆτο· ὁ Ξενοφῶν ὅμως εἶχε χρείαν τοιούτων τροποποιήσεων, διότι ἐν τοῖς πρώτοις κεφαλαίοις τοῦ πρώτου βιβλίου τῶν Ἀπομνημονευμάτων ἀνέλαβε γράψαι ἀπολογίαν ὑπὲρ Σωκράτους οὐκ ἀπηλλαγμένην δικανικῶν τινων ἐπιχειρημάτων καὶ πεῖσαι τοὺς Ἀθηναίους ὅτι ὁ Σωκράτης ἐνόμιζεν οὓς ἡ πόλις θεούς, οὐδ' εἰσέφερε καινὰ δαιμόνια, πρὸς ἀπόδειξιν φέρων αὐτὸ τὸ δαιμόνιον. Ἐπειδὴ κοιναὶ καὶ συνήθεις φράσεις ἦσαν *ὁ θεὸς σημαίνει, οἱ θεοὶ σημαίνουσι, τὸ θεῖον σημαίνει*, ὁ Ξενοφῶν κατὰ ταύτας ἐκ τοῦ δαιμονίου σημείου ἐποίησε τὸ δαιμόνιον σημαίνει, ὅ ἐστιν ἡ Θεότης, ὁ Θεός, οἱ Θεοὶ σημαίνουσι· διότι τὸ δαιμόνιον περιεκτικὸν ὄν, ὡς τὸ Θεῖον, σημαίνει ὁτὲ μὲν τὴν Θεότητα, τὸν Θεόν, ὁτὲ δὲ τοὺς Θεούς. Κατ' αὐτὸν τὸν δικανικὸν τρόπον ἐπειράθη τοὺς Ἀθηναίους ἀποδεῖξαι ὅτι ὁ Σωκράτης λέγων, ὅτι τὸ δαιμόνιον σημαίνει αὐτῷ, οὐδὲν ἄλλο ἔλεγεν ἢ ὅ,τι πάντες οἱ Ἀθηναῖοι, ὅτι τὸ Θεῖον, οἱ Θεοὶ σημαίνουσιν αὐτῷ τί χρὴ ποιεῖν καὶ τί μή. Ταῦτα δὲ λέγων καὶ φρονῶν ὁ Σωκράτης πῶς οὐκ ἐπίστευεν εἰς οὓς καὶ ἡ πόλις θεούς;

Καίτοι ὅμως ὁ Ξενοφῶν τὰς Σωκρατικὰς ἤλλαξε φράσεις καὶ πολλὰ ἀπεσιώπησε, διότι περὶ φωνῆς οὐδὲν λέγει, οὐδαμῶς ὃ ἐβούλετο κατώρθωσεν, ἀποδεῖξαι δηλαδὴ ὅτι τὸ Σωκρατικὸν δαιμόνιον καὶ οἱ Θεοὶ τῆς πόλεως ἦσαν ἓν καὶ τὸ αὐτό· διότι οἱ μὲν Θεοὶ οὐ κατ' εὐθεῖαν προὔλεγον τὸ μέλλον τοῖς ἀνθρώποις, ἀλλὰ διά τινων μαντικῶν σημείων, τὸ δὲ δαιμόνιον προὔλεγε τῷ Σωκράτει κατ' εὐθεῖαν ἄνευ σημείου τινός, τῆς φωνῆς ἐκποδὼν ποιηθείσης ὑπὸ Ξενοφῶντος. Ἔπειτα οἱ μὲν ἄλλοι ἄνθρωποι αὐτοὶ πρὸς τοὺς θεοὺς προστρέχουσι καὶ ἐξαιτοῦνται διὰ τῆς μαντικῆς τὸ μέλλον μαθεῖν, τῷ δὲ Σωκράτει ἄνευ ἐπικλήσεων καὶ δεήσεων αὐτοῦ τὸ δαιμόνιον αὐτόματον ἐδήλου αὐτῷ τί χρὴ ποιεῖν καὶ τί μή.

Ὁ Ξενοφῶν λέγει προσέτι ὅτι τὸ δαιμόνιον ἐκώλυσε τὸν Σωκράτη παρασκευάσαι τὴν ἑαυτοῦ ἀπολογίαν· οὐ λέγει δὲ καὶ διά τίνος σημείου ἀπηγόρευσε τοῦτο. Τὸ σημεῖον ἦν ἡ φωνή· ἀλλ' ἡ φωνὴ ἀναμιγνυμένη ἀνέτρεπε τὸ δικανικὸν αὐτοῦ οἰκοδόμημα· διὸ ἐν σιγῇ αὐτὴν παείρχεται, οὐχ ὑπ' ἀγνοίας, ἀλλ' ἐπὶ σκοπῷ· τὸ δὲ χωρίον τῆς Ἀπολογίας τοῦ Ξενοφῶντος *ἡ φωνὴ τοῦ θεοῦ*, οὐδὲν ἰσχύει, ἀποκρύφου αὐτῆς οὔσης.

Ὑπὲρ τῆς ἑρμηνείας τοῦ Ξενοφῶντος, ὅτι ἡ λέξις *δαιμόνιον* τὴν θεότητα μόνον σημαίνει, τὴν προνοητικὴν δῆλαν ὅτι Θεότητα τοῦ Σωκράτους, τὴν πανταχοῦ παροῦσαν καὶ πάντα γινώσκουσαν, κατὰ τοὺς νεωτέρους χρόνους, ὡς εἴρηται (σελ. 229), θερμῶς ὑπερμάχησεν ὁ σοφὸς φίλος ἡμῶν καὶ φιλέλλην Γ. Ἐκθάλ, διατεινόμενος ὅτι μόνον τὸ παρὰ Ξενοφῶντι δαιμόνιον ἀκριβῶς τὸ Σωκρατικὸν παρίστησι δαιμόνιον. Κατ' ἔννοιαν ἡ ἑρμηνεία αὕτη ἔχει ὀρθῶς· διότι ὁ Σωκράτης λέγων ὅτι τὸ δαιμόνιον σημεῖον ἐγίγνετο αὐτῷ, ἐφρόνει ὅτι τὸ σημεῖον τοῦτο ἐγίγνετο τῇ Θείᾳ ἐνεργείᾳ, ὥστε ἡ πρώτη καὶ κυρία αἰτία ἦν τὸ Θεῖον. Ἀλλ' ἔχει τοῦτο τὸ κακὸν ὅτι πολλὰ καταλείπει ἀνερμήνευτα καὶ μάλιστα τὴν φωνὴν τὴν ἀεὶ ἀποτρέπουσαν καὶ μηδέποτε προτρέπουσαν. Διὰ τὰ πλατωνικὰ χωρία καὶ δὴ τὰ τῆς Ἀπολογίας εἰσὶ καθ' ἡμᾶς τὰ ἀκράδαντα θεμέλια τῆς περὶ δαιμονίου ὁμολογίας τοῦ Σωκράτους.

Τί λοιπὸν ἦν ἡ φωνὴ αὕτη; ἦν παραίσθησις τῆς ἀκοῆς; ἐνόμιζε δῆλον ὅτι ὁ Σωκράτης ὅτι φωνήν τινα ἤκουεν ἔξωθεν τὰ ὦτα αὐτοῦ προσβάλλουσαν;

Πρὸς ταύτην τὴν γνώμην ἀντιμάχονται τὰ ἑξῆς·

α'. Λυτὸς ὁ Σωκράτης ἀποκρούει τὴν ἐξωτερικὴν ὕπαρξιν τῆς φωνῆς, ἢ τοὐλάχιστον ἐδίσταζε περὶ τούτου· διότι ἐν τοῖς δυσὶ χωρίοις ἐν οἷς τὴν λέξιν *φωνὴ* μεταχειρίζεται, ἐν μὲν τῷ τοῦ Φαίδρου λέγει, *καί τινα φωνὴν ἔδοξα αὐτόθεν ἀκοῦσαι* (ἐφάνη μοι ὅτι φωνήν τινα αὐτόθεν ἤκουσα). Τὸ ῥῆμα δοκεῖν τίθεται ὁσάκις λόγος ἐστὶ περὶ πραγμάτων τῆς φαντασίας, ἢ καθ' ὑπόθεσιν, πραγματικὴν δὲ μὴ ἐχόντων ὕπαρξιν· διὰ τοῦτο συνήθως ἐν χρήσει ἐστὶν ἐν τῇ ἀφηγήσει τῶν ὀνείρων· *ἔδοξα ἰδεῖν* κτλ. καὶ ἐν τῇ προσωποποιίᾳ τῶν νόμων (ἰδ. σελ. 247) ὁ Σωκράτης λέγει, *δοκῶ ἀκούειν*, διότι καθ' ὑπόθεσιν οἱ λόγοι τῶν νόμων ἐρρήθησαν, ἐν δὲ τῷ Φαίδρῳ ἡ ποιητικὴ μεγαλοφυία τοῦ Πλάτωνος πᾶσι τοῖς πράγμασι παρέχει ζωήν, τῷ τόπῳ μεστῷ μυθολογικῶν ἀναμνήσεων, τῇ βαθυσκίῳ πλατάνῳ, ἀφ' ἧς οἱ τέττιγες τὸ μεσημβρινὸν ᾄδουσι, τῇ ὑπ' αὐτὴν πηγῇ, ἐξ ἧς διαγεύστατον ῥέει ὕδωρ, τῇ χλόῃ· τὸν δὲ Σωκράτη ποιεῖ μυσόληπτον, ἐνθουσιῶντα καὶ ἐκβεβακχευμένον, ὅτε τὸν πρῶτον περὶ ἔρωτος ἀπαγγέλλει λόγον· ὥστε οὐκ ἀπεικότως, ἐν τοιαύτῃ ἐξάλλῳ τοῦ Σωκράτους καταστάσει, ἠδύνατο τὴν ἐντὸς φωνὴν αὐτοῦ ἐξωτερικῷ καὶ εἰκονικῷ περιβαλεῖν σχήματι· ἀλλ' ὅμως οὐ πραγματικὴν ἀλλὰ φαινομένην δίδωσιν αὐτῇ ὕπαρξιν, οἵαν διδόασι καὶ ταῖς ἐν τοῖς ὀνείροις ἀκουομέναις φωναῖς· *καί τινα φωνὴν ἔδοξα αὐτόθεν ἀκοῦσαι*· ὁ Σωκράτης ὤφειλε πάντως εἰπεῖν, *καί τινα φωνὴν αὐτόθεν ἠκουσα*, εἴπερ ὄντως ἐπίστευεν ὅτι ἐξωτερικὴν ἤκουε φωνήν.

Ἐν δὲ τῇ Ἀπολογίᾳ λέγει, *φωνή τις γιγνομένη μοι*. Τὸ ῥῆμα γίγνεσθαι οὐδαμῶς δείκνυσιν ἐξωτερικὴν τῆς φωνῆς γένεσιν· ἐπειδὴ ἡ φωνὴ θείᾳ καὶ ἀοράτῳ ἐνεργείᾳ ἐγίγνετο τῷ Σωκράτει, φυσικώτερον ἦν αὐτῷ καὶ λογικώτερον ἀποδέχεσθαι ὅτι ἡ φωνὴ ἐντὸς αὐτοῦ ἐγεννᾶτο.

β'. Ἡ φωνή, εἴτε ἄναρθρος, εἴτε ἔναρθρος, μονοσύλλαβος, μένει ἑξήκοντα ἔτη ἡ αὐτή, οἱονεὶ στερεότυπος ἄνευ μεταβολῆς, ὅπερ ἐν ταῖς παραισθήσεσιν οὐ συμβαίνει, ὅτε μάλιστα ἐπὶ πολὺ παρατείνονται. Τούτου ἕνεκα ὁ σοφὸς Λάπλας γῆν καὶ οὐρανὸν ἀνακυκᾷ, ὅπως πολλαπλᾶς παραστήσῃ τὰς παραισθήσεις τοῦ Σωκράτους· κατ' ἀρχὰς ἦσαν ὁρμαὶ ἁπλαῖ, λέγει, καὶ προαισθήματα, εἶτα ἐγένοντο ἐκστάσεις, εἶτα παραισθητικαὶ ἐκστάσεις, εἶτα παραισθήσεις τῆς γενικῆς ἁφῆς, ἐξωτερικῆς τε καὶ ἐσωτερικῆς· εἶτα παραισθήσεις τῆς ἀκοῆς καὶ ὁράσεως, καὶ τελευταῖον πᾶσαι κατέληξαν εἰς τὸ μοιραῖον τέλος τὸ τῆς παραφροσύνης.

Τὸ λαμπρὸν τοῦτο οἰκοδόμημα ἀνατρέπεται ἄρδην ὑπὸ τοῦ χωρίου τῆς Ἀπολογίας ῥητῶς λέγοντος ὅτι ἡ φωνὴ ἐκ παιδὸς ἀρξαμένη ἔμεινεν ἡ αὐτὴ ἐν παντὶ τῷ χρόνῳ οὐδεμίαν φέρουσα μεθ' ἑαυτῆς ἀκολουθίαν (*conluge*).

γ'. Ὡς ἡ φωνὴ ἔμενεν ἀεὶ ἡ αὐτή, οὕτω καὶ τὸ ἔργον, περὶ ὃ ἠσχολεῖτο, ἔμενεν ἀεὶ τὸ αὐτό, διηνεκὴς μέριμνα καὶ ἄγρυπνος φροντίς, ὅπως κωλύῃ τὸν Σωκράτην, εἴ τι ἔμελλε κακὸν πράξειν.

δ'. Ἡ ἐν παντὶ τῷ βίῳ ἀμετάπτωτος ὀρθότης τῶν ἀπαγορεύσεων τῆς φωνῆς. Ἡ φωνὴ

ἔχει τὸ ἀναμάρτητον ὅπερ συνήθως ἐν τοῖς ὁρμεμφύτοις παρατηρεῖται· ὁ Lélut εὑρίσκει μομφῆς ἄξια ὅτι τὸ δαιμόνιον ἐκώλυσε τὸν Σωκράτη παρασκευάσαι τὴν ἑαυτοῦ ἀπολογίαν, καὶ ὅτι ἐνέπνευσεν αὐτὸν τοιαύτην ποιήσασθαι ἀπολογίαν, μηδὲ δεηθῆναι τῶν δικαστῶν· ἀλλά τίς ἐρεῖ ὅτι ὁ Σωκράτης ἠδύνατο ἄλλως ἀπολογήσασθαι, ἢ δεηθῆναι τῶν δικαστῶν;

ε'. Ἡ διηνεκὴς τῆς φωνῆς συμφωνία καὶ ἁρμονία μετὰ τοῦ ὀρθοῦ λόγου. Ἡ φωνὴ ἦν ἡ λυδία λίθος, οὕτως εἰπεῖν, τῶν πράξεων τοῦ Σωκράτους· σιωπᾷ, αἱ πράξεις ὀρθαί· ἐγείρεται φωνοῦσα ἴσως μή, αἱ μελετώμεναι πράξεις κακαί· οὐδέποτε παρέσυρε τὸ λογικὸν εἰς ἀτόπους πράξεις, ἀλλ' ἀεὶ ἀγαθὴ ἦν σύντροφος καὶ συνεργός. Ὁ Κρίτων προτρέπει τὸν Σωκράτη κρύφα ἐκ τοῦ δεσμωτηρίου ἀποδρᾶναι καὶ σωθῆναι, ὁ δὲ μένει ἐν τῇ εἱρκτῇ προτιμῶν τὸν θάνατον τῆς αἰσχρᾶς φυγῆς, διασώζων τὰς ἀρχὰς αὐτοῦ, περὶ ὧν λέγει ἐν τῷ Κριτωνι· «ἐγὼ οὐ μόνον νῦν ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἂν μοι λογιζομένῳ βέλτιστος φαίνηται». Τὸ δαιμόνιον σιωπᾷ σύμφωνον ὂν τῷ λόγῳ. Τὸ δαιμόνιον ὅμως ἀπηγόρευσε τῷ Σωκράτει πράττειν τὰ πολιτικά· ἀλλ' ἐκ τῆς προθυμίας μεθ' ἧς ὁ Σωκράτης ἀναλαμβάνει ἐν τῇ Ἀπολογίᾳ ἀποδεῖξαι ὅτι τὸ δαιμόνιον ὀρθῶς τοῦτο ἐποίησε, γίνεται φανερόν, ὅτι ἀπὸ πολλοῦ καὶ πολλάκις ἐσκέψατο εἰ χρὴ πράττειν τὰ πολιτικὰ ἢ μή· καὶ τὸ συμπέρασμα τῶν σκέψεων αὐτοῦ ἦν ἀποφατικόν, σύμφωνον τῇ ἀπαγορεύσει τοῦ δαιμονίου. Τὸ δαιμόνιον ὡσαύτως ἀπηγόρευσε τῷ Σωκράτει παρασκευάσαι τὴν ἑαυτοῦ ἀπολογίαν· ἀλλὰ τοιαύτην ἀπόφασιν εἶχε λαβὼν καθ' ἑαυτὸν ὁ Σωκράτης· διότι πρὸς τὸν Ἑρμογένη προτρέποντα αὐτὸν τὴν ἑαυτοῦ ἀπολογίαν μελετῆσαι, πρὸ τοῦ εἰπεῖν αὐτῷ ὅτι τὸ δαιμόνιον ἐναντιοῦται, λέγει· «οὐ γάρ δοκῶ σοι τοῦτο μελετῶν διαβεβιωκέναι; ἐπεὶ δὲ αὐτὸν ἤρετο ὅπως, εἰπεῖν αὐτόν, ὅτι οὐδὲν ἄλλο ποιῶν διαγεγένηται ἢ διασκοπῶν μέν τά τε δίκαια καὶ τὰ ἄδικα, πράττων δὲ τὰ δίκαια καὶ τῶν ἀδίκων ἀπεχόμενος, ἥπερ νομίζοι καλλίστην μελέτην ἀπολογίας εἶναι». (Ξενοφ. Ἀπομν. Δ, η', 4).

Οὕτω πλήρης ἁρμονία ὑπῆρχε τοῦ λόγου καὶ τῆς φωνῆς· διότι καὶ αὕτη τὴν ἀρχὴν καὶ γένεσιν ἐλάμβανεν ἐκ τοῦ λόγου, ὡς μαρτυρεῖ καὶ ὁ ἀπαγορευτικὸς αὐτῆς χαρακτήρ, ἀποτέλεσμα ὂν φυσικὸν τῆς διασκεπτικῆς καὶ διαπορητικῆς φύσεως τοῦ Σωκράτους· ὁ ἔχων ἀρχὴν τὸ *ἓν οἶδα ὅτι οὐδὲν οἶδα* ἠδύνατο ἔχειν

φωνήν, οἱονεὶ ἠχὼ τοῦ λογικοῦ, πρόθυμον εἰς παροτρύνσεις καὶ προτροπάς; ὁ Σωκράτης ζῶν ἐν μεγάλῃ πόλει καὶ καθ' ἑκάστην πρὸς πολλοὺς καὶ διαφόρους ἀναστρεφόμενος, δικαιοκῶς προσέκοπτεν εἰς πράγματα ταῖς ἀρχαίς αὐτοῦ ἀντιμαχόμενα· διὸ πρὸς ταῦτα μᾶλλον τὸν νοῦν προσεῖχε, πρὸς τὰ φευκτέα καὶ μὴ πρακτέα, ἐκ παιδικῆς ἡλικίας· ἴσως ὁ Σωκράτης παῖς ὢν ἐμελέτησε πρᾶξαί τι, ὅπερ κακὸν ἦν· ἡ δ' ἐντὸς ἀποδοκιμασία ἀπροσδοκήτως ἐξεγερθεῖσα παρέστη τῇ παιδικῇ φαντασίᾳ, ὡς ζωηρὰ εἰκών, ὡς φωνὴ ἀπαγορεύουσα τὴν πρᾶξιν. Τοιαύτη ἴσως ἡ ἀρχὴ τοῦ δαιμονίου, ἔνδειξις τῆς ἁγνῆς τοῦ Σωκράτους ψυχῆς ἐκ παιδικῆς ἡλικίας ἀποσφεφομένης τὰ κακόν, οὐδὲ πιστευτέος ὁ Ζώπυρος τἀναντία λέγων· ἡ φωνὴ ἐφάνη ἀλλοτρία, (ἴδ. σελ. 233—236· καὶ 261—262) διότι αἴφνης, ὡς κεραυνός, καὶ αὐτομάτως ἐξηγέρθη ἀπαγορεύουσα τὸ πρακτέον· καὶ ἔκτοτε οὐκ ἐπαύσατο ἀναφαινομένη ἐν ὁμοίαις περιπτώσεσιν.

Ὅτι ὁ Σωκράτης αἰτίαν τῆς φωνῆς ἀνεγνώριζε τὸν προνοητὴν θεόν, τοῦτο φυσικώτατον ἦν καὶ λογικώτατον, οὐδ' ἐμφαίνει ἴχνος τι *θεοσοφίας* καὶ *φαντασιοπληξίας* καὶ *παραισθητικῆς παραφροσύνης*. Ἡ φωνὴ ἦν καθαρά, ἁγνή, ἀγαθή, ἀποτροπιαζομένη τὸ κακόν, ὡς ἡ θεία πρόνοια, ἧς ὄργανον καὶ σημεῖον ὑπελήφθη ὑπὸ Σωκράτους, *θεῖον καὶ δαιμόνιον σημεῖον*. Ὁ Σωκράτης οὐκ ἄνευ λόγου ἐπίστευεν ὅτι ὁ θεὸς ὁ προνοῶν περὶ τοῦ κόσμου καὶ τῶν ἀνθρωπίνων καθόλου, προνοεῖ καὶ περὶ αὐτοῦ, ἀπαγορεύων διὰ τῆς φωνῆς τὸ κακόν, ἐπιτρέπων δὲ τῷ λόγῳ αἱρεῖσθαι καὶ πράττειν τὸ καλόν, ὅπερ ἦν ὁ διηνεκὴς πόθος αὐτοῦ καὶ ἡ προσευχὴ πρὸς τοὺς θεούς· «Δοίητέ μοι καλῷ γενέσθαι τἄνδοθεν· ἔξωθεν δὲ ὅσα ἔχω, τοῖς ἐντὸς εἶναί μοι φίλια».

Ὁ Σωκράτης καθ' ὅλον αὐτοῦ τὸν βίον τὴν ἁρμονίαν ταύτην οὐκ ἐπαύσατο ἐπιζητῶν καὶ ἐξεργαζόμενος· ὡς γὰρ ἡ γυμναστικὴ καὶ ἡ γλυπτικὴ τῶν ἀρχαίων ἐθήρευον ἑκατέρα τὴν ἐξεργασίαν τῆς οἰκείας ἁρμονίας, ἡ μὲν τῆς τῶν σωμάτων, ἡ δὲ τῆς τῶν ἀγαλμάτων, οὕτω καὶ ἡ ἠθικὴ τοῦ Σωκράτους φιλοσοφία σκοπὸν προὐτίθετο τὴν ἐξεργασίαν τῆς ψυχικῆς ἁρμονίας, τῆς ἁρμονίας τοῦ ἠθικοῦ κόσμου. Ὁ Σωκράτης πρὸ τοῦ ἐπιδοθῆναι εἰς τὴν φιλοσοφίαν ἦν λιθοξόος, ἐργαζόμενος ἐν τῷ ἐργαστηρίῳ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐγίνωσκε πῶς ἐν τῷ λίθῳ ἐνσαρκοῦται ἡ ἁρμονία τῶν σωμάτων, ποιήσας, ὡς λέγεται, τὰς ἐν Ἀκροπόλει Χάριτας· ὕστερον δὲ στρέψας τὴν προσοχὴν αὐτοῦ πρὸς τὰ ἔνδον, ἔμαθε τὰς ἐν τῇ ψυχῇ Χάριτας ποιεῖν καὶ κατασκευάζειν θεῖα ἀγάλματα. Ὁ Σωκράτης καὶ πρὸς ἑαυτὸν καὶ πρὸς τοὺς ἄλλους ἔπραττεν ὅ,τι λέγει ὁ Πλωτῖνος, κατὰ Πλάτωνα· «Ἐθιστέον τὴν ψυχὴν αὐτὴν πρῶτον μὲν τὰ καλὰ βλέπειν ἐπιτηδεύματα· εἶτα ἔργα καλά, οὐχ ὅσα αἱ τέχναι ἐργάζονται, ἀλλ' ὅσα οἱ ἄνδρες οἱ λεγόμενοι ἀγαθοί· εἶτα ψυχὴν ἰδὲ τῶν τὰ ἔργα τὰ καλὰ ἐργαζομένων. Πῶς ἂν οὖν ἴδοις ψυχὴν ἀγαθὴν οἷον τὸ κάλλος ἔχει; ἄναγε ἐπὶ σαυτὸν καὶ ἰδέ· κἂν μήπω σαυτὸν ἴδῃς καλόν, οἷα ποιητὴς ἀγάλματος, ὃ δεῖ καλὸν γενέσθαι, τὸ μὲν ἀφαιρεῖ, τὸ δὲ ἀπέξεσε, τὸ δὲ λεῖον, τὸ δὲ καθαρὸν ἐποίησεν, ἕως ἔδειξε καλὸν ἐπὶ τῷ ἀγάλματι πρόσωπον, οὕτω καὶ σὺ ἀφαίρει ὅσα περιττὰ καὶ ἀπεύθυνε ὅσα σκολιά, ὅσα σκοτεινὰ καθαίρων ἐργάζου εἶναι λαμπρὰ καὶ μὴ παύσῃ τεκταίνων τὸ σὸν ἄγαλμα, ἕως ἂν ἐκλάμψειέ σοι τῆς ἀρετῆς ἡ θεοειδὴς ἀγλαΐα».

Τὰ ἀποτελέσματα τῆς φιλοσοφίας τοῦ θαυμασίου τούτου γλύπτου ἦσαν μέγιστα καὶ κάλλιστα· διότι ἐκ τοῦ ἐργαστηρίου αὐτοῦ ἐξῆλθεν ὁ Πλάτων καὶ ἡ Ἀκαδημία, ὁ Ἀριστοτέλης καὶ τὸ Λύκειον, ὁ Ζήνων καὶ ἡ Στοά.

Δάμων, Μέτων, Ἱππόδαμος, Ἱπποκράτης.

§ 61. Καὶ ἄλλοι δὲ ἄνδρες ἔνδοξοι ἦσαν ὀτηροὶ τοῦ νοῦ καὶ τοῦ λόγου θεράποντες, ὧν ἕκαστος διὰ τῶν γνώσεων αὐτοῦ καὶ ἐφευρέσεων διέπρεπε καὶ ἐλάμπρυνε τὸν αἰῶνα τοῦ Περικλέους· οἷον ἐν μὲν τῇ μουσικῇ ὁ Ἀγαθοκλῆς, ὁ Πυθοκλείδης, ὁ Λάμπρος, ὁ Δάμων, περιώνυμοι γενόμενοι διδάσκαλοι τῆς θεωρητικῆς καὶ τῆς πρακτικῆς μουσικῆς, οὐκ ἄμοιροι δὲ καὶ τῶν ἄλλων γνώσεων, μάλιστα δὲ ὁ Δάμων ὁ φίλος τοῦ Ἀναξαγόρου[1] καὶ ὀπαδὸς τῆς φιλοσοφίας αὐτοῦ, φίλος δὲ καὶ διδάσκαλος τοῦ Περικλέους· οὗτος τοσαύτην ὑψηλὴν εἶχεν ἰδέαν περὶ τῆς δυνάμεως τῆς μουσικῆς, ὥστε ἔλεγεν, ὅτι οὐδαμοῦ κινοῦνται μουσικῆς νόμοι ἄνευ διαταράξεως τῶν μεγίστων πολιτικῶν νόμων (Πλάτ. Πολιτ. σελ. 424). Τοῦτον ἐτίμα ὁ Σωκράτης καὶ αὐτῷ συνίστη τοὺς ἐπιθυμοῦντας τῶν νέων μαθεῖν τὴν μουσικήν. Νικίας ὁ στρατηγὸς λέγει ἐν τῷ Λάχητι τοῦ Πλάτωνος (σελ. 180) ὅτι ὁ Σωκράτης συνέστησεν αὐτῷ τὸν Δάμωνα ὡς διδάσκαλον τῆς μουσικῆς τοῦ υἱοῦ αὐτοῦ· «καὶ γὰρ αὐτῷ μοι ἔναγχος ἄνδρα προὐξένησε τῷ υἱεῖ διδάσκαλον μουσικῆς Ἀγαθοκλέους μαθητὴν Δάμωνα ἄνδρα χαριέστατον οὐ μόνον τὴν μουσικὴν ἀλλὰ καὶ τἆλλα ὁπόσα βούλει ἄξιον συνδιατρίβειν τηλικούτοις νεανίσκοις».

Ἐν δὲ τῇ ἀστρονομίᾳ Μέτων ὁ Ἀθηναῖος ἦν διάσημος, γεωμέτρης ὢν ὡσαύτως καὶ ἀρχιτέκτων καὶ ἄλλων γνώσεων κάτοχος, καὶ τιμώμενος ὑπὸ Περικλέους διά τε τὰς ἄλλας αὐτοῦ ἀστρονομικὰς ἀνακαλύψεις, καὶ διὰ τὴν διόρθωσιν τοῦ ἡμερολογίου, εἰσαγαγὼν τὸν ἐννεακαιδεκαετῆ κύκλον τὸν Μετώνειον καλούμενον, καὶ διὰ τὴν ἐφεύρεσιν τοῦ Ἡλιοτροπίου σταθέντος τῷ 433 π. Χρ. ἐν Πυκνί. Ἡ ἀστρονομία καὶ μετεωρολογία ἐπὶ Περικλέους ἦσαν σπουδαῖον μέλημα,[1] διότι ὀλίγοι τῶν πεπαιδευμένων τὴν γνώμην τοῦ Σωκράτους ἠσπάζοντο, ὅτι αἱ ἐπιστῆμαι αὗται ἀνέφικτοι ἦσαν τῷ ἀνθρώπῳ, εἰ δέ τις ἤθελε μαθεῖν τι περὶ τῶν ἀστρονομικῶν φαινομένων, ὤφειλε τὴν γνῶσιν τούτου ζητῆται διὰ τῆς μαντικῆς· ὁ Γρότιος (IB, 254· 279) δικαιολογεῖ τὸν Σωκράτη, διότι ἡ ἀστρονομία καὶ ἡ φυσικὴ ἦσαν κατ' ἐκείνους τοὺς χρόνους ἄθροισμα ἐπιπολαίων παρατηρήσεων καὶ συμπερασμάτων φαντασιωδῶν, ὡς ἡ νῦν ἐπιστήμη ἀπέδειξεν· ἀλλὰ διὰ τοῦτο ἦν ἀνάγκη τὰ ἀστρονομικὰ φαινόμενα μανθάνειν διὰ τῆς μαντικῆς, ὡς συνεβούλευεν ὁ Σωκράτης; Ἡ ἀστρονομία προώδευσε καὶ ἡ τελειοτάτη καὶ ἀκριβεστάτη τῶν ἐπιστημῶν ἐγένετο διὰ τῶν συνεχῶν παρατηρήσεων τῶν αἰώνων· ὁ δὲ Μέτων μετὰ τοῦ Εὐκτήμονος καὶ Φιλίππου συνεργαζόμενος οὐ μόνον ἐν Ἀθήναις ἀστρονομικὰς παρατηρήσεις ἐποιήσατο, ἀλλὰ καὶ ἐν ταῖς Κυκλάσι καὶ ἐν Μακεδονίᾳ καὶ ἐν Θρᾴκῃ.

Ἐκ δὲ τῶν μετοίκων διάσημος ἦν Ἱππόδαμος ὁ Μιλήσιος, ἀρχιτέκτων καὶ σοφιστὴς ἄκρος, οἰόμενος τέλεον κατέχειν[2] τὴν γνῶσιν τῆς φύσεως καὶ τοῦ κόσμου. Τοσαύτην δὲ πίστιν εἶχεν εἰς τὸν λόγον καὶ εἰς τὴν ἐπιστήμην, ὥστε πάντα κατὰ νέας ἀρχὰς ἐπεχείρησε ῥυθμίσαι, ἀρξάμενος ἀπὸ τῆς ἀρχιτεκτονικῆς, σηρίζων αὐτὴν ἐπὶ γενικῶν ἀρχῶν, οὐχὶ ἐπὶ τῆς αὐθαιρεσίας οὐδ' ἐπὶ τῆς τοιᾶσδε ἢ τοιᾶσδε καταστάσεως τοῦ ἐδάφους. Κατὰ ταύτας τὰς νέας ἀρχὰς ἔκτισε τὸν Πειραιᾶ καλῶς ῥυμοτομήσας, ἐφ' ᾧ καὶ μία τῶν ἀγορῶν ἐκλήθη Ἱπποδάμεια· ὁ δὲ Ἱππόδαμος καὶ τὴν πόλιν τῶν Θουρίων ἔκτισε, τὴν νέαν ἀποικίαν τῶν Ἀθηναίων[1]. Ἀλλὰ καὶ εἰς τὸ πολίτευμα ἠθέλησεν εἰσαγαγεῖν μεταρρυθμίσεις περὶ *Πολιτείας* πρὸ τοῦ Πλάτωνος συγγράψας. Ἐκ τῶν πολλῶν καὶ ποικίλων ἐπιχειρήσεων τοῦ Ἱπποδάμου γίνεται φανερὸν ὅτι τὸ πνεῦμα τῆς νέας φιλοσοφίας ἐγένετο δύναμις ζωογόνος παντοχοῦ εἰσδύουσα καὶ εἰς πάντα φέρουσα φῶς· ἀμετὰ τἀμηλικὰ φρονηματισθέντες, λέγει περὶ Ἀθηναίων ὁ Ἀριστοτέλης, πάσης ἥπτοντο μαθήσεως».

Φαεινὸς ἀστὴρ τοῦ λόγου καὶ τῆς ἐπιστήμης ἐγένετο κατ' ἐκείνους τοὺς χρόνους καὶ Ἱπποκράτης ὁ Κῷος ὁ ἐπικληθεὶς πατὴρ τῆς Ἰατρικῆς, πολλάκις, ὡς εἰκός, ἐπισκεψάμενος τὰς Ἀθήνας, ὡς ἑστίαν τῶν φώτων καὶ κοινὸν συνευκτήριον πάντων τῶν σοφῶν.

Ὁ Ἱπποκράτης τὴν τέχνην αὐτοῦ ἐπὶ τῆς πείρας καὶ τῆς παρατηρήσεως ἐρειδομένην ἐγονιμοποίησεν καὶ εἰς ἐπιστήμην προήγαγε τῷ λόγῳ χρώμενος ὡς ποδηγέτῃ. Ἡ πεῖρα καὶ ἡ παρατήρησις εὗρον πολλὰ καὶ ἴδρυσαν τὴν Ἰατρικήν. «Ἰατρικῇ δὲ πάντα πάλαι ὑπάρχει, καὶ ἀρχὴ καὶ ὁδὸς εὑρημένη, καθ' ἣν καὶ τὰ εὑρημένα πολλά τε καὶ καλῶς ἔχοντα εὑρηται ἐν πολλῷ χρόνῳ, καὶ τὰ λοιπὰ εὑρεθήσεται ἢν τις ἱκανός τε ἐὼν καὶ τὰ εὑρημένα εἰδώς, ἐκ τουτέων ὁρμώμενος ζητέῃ.» (Περὶ ἀρχ. Ἰατρ. § 2).

Ἄνευ ὅμως τοῦ λόγου ἡ πεῖρα μένει ἄγονος, διότι καὶ οἱ πρῶτοι ζητήσαντες εὗρον πολλὰ καὶ καλὰ τῷ λόγῳ χρησάμενοι· «ὥστε καλῶς καὶ λογισμῷ προσήκοντι ζητήσαντες πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν εὗρον αὐτὰ οἱ πρῶτοι εὑρόντες καὶ ὡρίσαντο ἀξίην τὴν τέχνην θεῷ προσθεῖναι». Ὁ Ἱπποκράτης ἀποδοκιμάζων τοὺς ἀποβάλλοντας τὴν ἰατρικὴν τέχνην, διότι οὐ περὶ πάντα ἀκριβές ἐστιν, ἀναγωρίζει τὴν ἀξίαν αὐτῆς, διότι τῷ λογισμῷ χρωμένη δύναται ἐγγὺς τοῦ ἀκριβεστάτου ἐλθεῖν· «οὗ φημι δὴ διὰ τοῦ-

---

1) Damon, Périclès, Anaxagore, Archélaus, Enripide, Socrate—Entre tous ses personnages il y avait un lieu plus ou moins étroit· Fouillée *Philos. de Socrate* I, 7 13.

1) Β. E. Curtius Griechische Geschichte II, 273.

2) «Ὁ Ἱππόδαμος γεννηθεὶς ἐν Μιλήτῳ καθ' οὓς χρόνους οἱ Ἀθηναῖοι τὴν ναυτικὴν ἡγεμονίαν τῶν Ἑλλήνων ἀνελάμβανον, μετὰ τοσούτου ζήλου ἐνέκυψεν εἰς πᾶσαν γνῶσιν ἐν τῇ πατρίδι αὐτοῦ, ὥστε λίαν πρωΐμως ἐκαυχᾶτο κατέχειν τὴν τελείαν γνῶσιν τῆς φύσεως καὶ τοῦ κόσμου, καὶ ἐθήρευεν, ἐν πάσῃ τάξει γνώσεων, τὴν φήμην ἀνδρὸς γινώσκοντος τὰ πράγματα κάλλιον τῶν ἄλλων». Curtius αὐτ., σελ. 198.

1) Grote Histoire de la Grèce. Tom. VIII, pag. 26.

το δεῖν τὴν τέχνην ὡς οὐκ ἐοῦσαν οὐδὲ καλῶς ζητουμένην τὴν ἀρχαίην ἀποβλέσθαι, ἀλλὰ πολὺ μᾶλλον διὰ τὸ ἐγγύς, οἶμαι, τοῦ ἀτρεκεστάτου ὁμοῦ δύνασθαι ἥκειν λογισμῷ, προσίεσθαι, καὶ ἐκ πολλῆς ἀγνωσίης θωμάζειν τὰ ἐξευρημένα ὡς καλῶς καὶ ὀρθῶς ἐξεύρηται, καὶ οὐκ ἀπὸ τύχης».

«Ὁ Ἱπποκράτης ἄξιοι, λέγει ὁ Littré (*Oeuvres d'Hippocrate* I, 560), ἵνα ἡ ἰατρικὴ ἐπὶ τῶν παρατηρήσεων, ἐπὶ τῶν πραγμάτων καὶ τῆς πραγματικότητος στηρίζηται· ἀλλὰ τοῦτο οὐκ ἔστι τὸ πᾶν, οὐδ' ὁ μόνος κανὼν ὃν ἐπιβάλλει· αἱ παρατηρήσεις, τὰ πράγματα, ἡ πραγματικότης εἰσὶν ἀναντιρρήτως ὅ,τι ἕκαστος βλέπει καὶ δοκιμάζει, ἀλλ' ἡ περιοχὴ ἐκτενεστέρα ἐστί, διότι ἡ παράδοσις παρέχει ὡσαύτως παρατηρήσεις, πράγματα, πραγματικότητα, ἅπερ προσήκει ὑπ' ὄψει λαβεῖν καὶ γονιμοποιῆσαι τῇ συνετῇ χρήσει τοῦ λογισμοῦ· ἀδύνατόν ἐστι σαφεστέραν καὶ ἐκτενεστέραν ἔχειν θεωρίαν περὶ Ἰατρικῆς».

Τοιαύτη ἐστὶν ἡ ἰατρικὴ μέθοδος τοῦ Ἱπποκράτους, πεῖρα, παρατήρησις καὶ ὁ δικαιοτίζων καὶ εἰς γενικὰς ἀρχὰς ἀνάγων αὐτὰς λόγος. Τούτου ἕνεκα ἀπέρριπτε τὰς ἰατρικὰς θεωρίας τῶν ἰατρῶν καὶ φιλοσόφων, οἵτινες ἐξ ὑποθέσεων ὁρμώμενοι ἐφιλοσόφουν περὶ τῆς γενέσεως τοῦ ἀνθρώπου, τῶν νόσων καὶ τῶν θεραπειῶν αὐτῶν, ὡς ἐφιλοσόφουν περὶ τῆς γενέσεως τοῦ κόσμου, ἀξιῶν ὅτι ὁ ἰατρὸς κάλλιον γινώσκει τὴν φύσιν τοῦ ἀνθρώπου ἐξετάζων τὴν ἐπιρροὴν ἐπ' αὐτοῦ τῶν ἐσθιομένων, τῶν πινομένων, τῶν ἐπιτηδευμάτων καὶ λοιπῶν. «Λέγουσι δέ τινες καὶ ἰητροὶ καὶ σοφισταὶ ὡς οὐκ ἔνι δυνατὸν ἰητρικὴν εἰδέναι ὅστις μὴ οἶδεν ὅτι ἐστὶν ἄνθρωπος, ἀλλὰ τοῦτο δεῖ καταμαθάνειν τὸν μέλλοντα ὀρθῶς θεραπεύσειν τοὺς ἀνθρώπους. Τείνει δὲ αὐτέοισιν ὁ λόγος ἐς φιλοσοφίην, καθάπερ Ἐμπεδοκλῆς ἢ ἄλλοι οἱ περὶ φύσιος γεγράφκασιν ἐξ ἀρχῆς ὅτι ἐστὶν ἄνθρωπος καὶ ὅπως ἐγένετο πρῶτον καὶ ὅπως ξυνεπάγη. Ἐγὼ δὲ τουτέων μὲν ὅσα τινὶ εἴρηται σοφιστῇ ἢ ἰητρῷ, ἢ γέγραπται περὶ φύσιος, ἧσσον νομίζω τῇ ἰητρικῇ τέχνῃ προσήκειν ἢ τῇ γραφικῇ. Νομίζω δὲ περὶ φύσιος γνῶναί τι σαφὲς οὐδαμόθεν ἄλλοθεν εἶναι ἢ ἐξ ἰητρικῆς. Τοῦτο δὲ οἷόν τε καταμαθεῖν, ὅταν αὐτέην τις τὴν ἰητρικὴν ὀρθῶς πᾶσαν περιλάβῃ· μέχρι δὲ τούτου πολλοῦ μοι δοκέει δεῖν λέγω δὲ τὴν ἱστορίην ταύτην εἰδέναι ἄνθρωπος τί ἐστι, καὶ δ.' οἵας αἰτίας γίνεται, καὶ τἄλλα ἀκριβέως. Ἐπεί τοί γέ μοι δοκέει ἀναγκαῖον εἶναι παντὶ ἰητρῷ περὶ φύσιος εἰδέναι, καὶ πάνυ σπουδάσαι ὡς εἴσεται, εἴπερ τι μέλλει τῶν δεόντων ποιήσειν, ὅ τι ἐστὶν ἄνθρωπος πρὸς τὰ ἐσθιόμενα καὶ πινόμενα καὶ ὅ τι πρὸς τὰ ἄλλα ἐπιτηδεύματα, καὶ ὅ τι ἀφ' ἑκάστου ἑκάστῳ ξυμβήσεται».

Τὸ πνεῦμα καθ' ὃ ὁ Ἱπποκράτης ἐξετάζει ἐνταῦθα τὴν ἰατρικήν, λέγει ὁ Γρότιος (IB, 264), ὅμοιόν ἐστι τῷ πνεύματι τῷ ὑπαγορεύσαντι τῷ Σωκράτει τὸν νεωτερισμὸν ἐν τῇ ἠθικῇ φιλοσοφίᾳ· διότι ἑκάτεροι τὰς γενικὰς θεωρίας τῶν φυσιολόγων ἐγκαταλιμπάνουσι, περιοριζόμενοι ὁ μὲν ἐν τῷ ἠθικῷ ἀνθρώπῳ, ὁ δὲ ἐν τῷ φυσικῷ[1], ἐξετάζων τὰς σχέσεις αὐτοῦ πρὸς τὰ τρόφιμα, τὰ ποτά, τὰ ἐπιτηδεύματα καὶ λοιπά· ἔχουσι δὲ καὶ ἑτέραν ὁμοιότητα ὅτι ἄμφω τὸν ὅλον ἄνθρωπον ἐν τῇ μελέτῃ αὐτῶν περιλαμβάνουσιν, ὁ μὲν τὸν ἠθικόν, ὁ δὲ τὸν φυσικόν, διότι πάντα τὰ μόρια τοῦ ἀνθρωπίνου σώματος συνέχονται καὶ οὐδὲν αὐτῶν γίνεται γνωστὸν ἄνευ τῶν ἄλλων. Τὴν μέθοδον ταύτην τοῦ Ἱπποκράτους ἐκθειάζει ὁ Πλάτων ἐν τῷ *Φαίδρῳ* (σελ. 270). «*Σωκρ.* Ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως; *Φαίδ.* Εἰ μὲν Ἱπποκράτει γε τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πιθέσθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης. *Σωκ.* καλῶς γάρ, ὦ ἑταῖρε, λέγει· χρὴ μέν τοι πρὸς τῷ Ἱπποκράτει τὸν λόγον ἐξετάζοντα σκοπεῖν, εἰ συμφωνεῖ. *Φαίδ.* φημί. *Σωκ.* Τὸ τοίνυν περὶ φύσεως σκόπει τίποτε λέγει Ἱπποκράτης καὶ ὁ ἀληθὴς λόγος».

Ἡ μέθοδος λοιπὸν τοῦ Ἱπποκράτους καὶ ὁ ἀληθὴς λόγος, κατὰ Πλάτωνα, συμφωνοῦσιν· ἐξ οὗ τρανώτατα καταδείκνυται ὅτι ὁ λόγος ἦν ποδηγέτης τῶν ἰατρικῶν θεωριῶν τοῦ Ἱπποκράτους ἔν τε τοῖς ἄλλοις γνησίοις συγγράμμασιν αὐτοῦ καὶ ἐν τῷ *περὶ ἀέρων, ὑδάτων, τόπων*. Ἐν τούτῳ γίνεται μνεία νόσου τινὸς τῶν Σκυθῶν, ἣν ὁ Ἡρόδοτος (Δ, 105) καλεῖ *θήλειαν νοῦσον* ἐνομίσθησαν διὰ μῆνιν τῆς Ἀφροδίτης, διότι οἱ Σκύθαι τὸν ἐν Ἀσκάλωνι νεὼν αὐτῆς ἐσύλησαν. Ταύτης καὶ οἱ Σκύθαι τὸν θεὸν αἰτίαν ὑπελάμβανον· ὁ δὲ Ἱπποκράτης ἀποκρούει τὴν κοινὴν πρόληψιν, ὅτι νόσοι τινές εἰσι θεῖαι, διότι πᾶσαι ὅμοιαί εἰσιν. «Ἱδρῶνουχίαι γίγνονται οἱ πλεῖστοι ἐν Σκύθῃσι, καὶ

1) Ἡ γνώμη αὕτη τοῦ Γροτίου ἐν μέρει φαίνεται ὀρθή· ὄντως ὁ Ἱπποκράτης συμφώνως τῇ φιλοσοφίᾳ τοῦ Ἀναξαγόρου φυσικὰς αἰτίας ἐδέχετο· Ὅε σελ. 277.

γυναικεῖα ἐργάζονται καὶ ὡς αἱ γυναῖκες διαλέγονται ὁμοίως· καλεῦνταί τε οἱ τοιοῦτοι ἀνανδρίαι· οἱ μὲν ἐπιχώριοι τὴν αἰτίην προστιθέασι θεῷ, καὶ σέβονται τουτέους τοὺς ἀνθρώπους καὶ προσκυνέουσι, δεδοικότες περὶ ἑωυτέων ἕκαστοι· ἐμοὶ δὲ καὶ αὐτῷ δοκέει ταῦτα τὰ πάθεα θεῖα εἶναι καὶ τἆλλα πάντα καὶ οὐδὲν ἕτερον ἑτέρου θειότερον οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάντα ὅμοια καὶ πάντα θεῖα· ἕκαστον δὲ ἔχει φύσιν τῶν τοιουτέων, καὶ οὐδὲν ἄνευ φύσιος γίγνεται».

Ἐν τούτοις προφανῶς τὴν γνώμην τοῦ Ἀναξαγόρου ἀσπάζεται πάντα τὰ γιγνόμενα εἰς φυσικὰς αἰτίας ἀνάγοντος (ἰδ. σελ. 197), καίπερ λέγοντος ὅτι ὁ νοῦς διακοσμητὴς τοῦ παντός· οὕτω καὶ ὁ Ἱπποκράτης καίπερ πάντα τὰ νοσήματα θεῖα καλῶν ὑπολαμβάνει ὅτι πάντα φυσικὰς ἔχουσιν αἰτίας ὧν ἄνευ οὐδὲν γίγνεται· ἔχομεν χρείαν ἄλλης μαρτυρίας ὅπως καὶ τὸν πατέρα τῆς ἰατρικῆς κατατάξωμεν ἐν τῷ ἀστερισμῷ τῆς φιλοσοφίας τοῦ Νοῦ;

Καὶ ὁ Ἱπποκρατικὸς δὲ συγγραφεὺς τοῦ περὶ *Ἱερῆς Νούσου* ἀποδοκιμάζει τὴν κλῆσιν ταύτην. «Περὶ μὲν τῆς Ἱερῆς νούσου καλεομένης ὧδ' ἔχει· οὐδέν τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων οὐδὲ ἱερωτέρη, ἀλλὰ φύσιν μὲν ἔχει ἣν καὶ τὰ λοιπὰ νουσήματα, ὅθεν γίνεται».

Περὶ Παιδείας.

§ 62. Τοιοῦτος ὁ χρυσοῦς αἰὼν τοῦ Περικλέους, αἰὼν τῆς ἐλευθερίας τοῦ πνεύματος καὶ τοῦ λόγου, τοῦ μὲν ἀνθρωπίνου γένους ἡλικία νεαρὰ καὶ ἀνθηρὰ καὶ χρηστῶν ἐλπίδων μεστή, τοῦ δ' ἑλληνικοῦ ἀνδρικὴ καὶ τελεία καὶ γονιμωτάτη· διότι οἱ μὲν ἄλλοι προγενέστεροι τῆς Ἑλλάδος χρόνοι ὅμοιοί εἰσιν ἡλίῳ ἀνατέλλοντι τῆς ῥοδοδακτύλου ἠοῦς πρυπορευομένης, οἱ δὲ χρόνοι τοῦ Περικλέους μεσουρανῶν καὶ ὑπέρλαμπρος ἥλιος, (ἰδ. σελ. 162) πανταχόσε τὰς φαεινὰς αὐτοῦ ἐκπέμπων ἀκτῖνας, πάντα ἁπλέτῳ περιβάλλων φωτὶ καὶ διαφωτίζων τοὺς γενικοὺς καὶ αἰωνίους νόμους τοῦ ἀληθοῦς, τοῦ ἀγαθοῦ, τοῦ καλοῦ, ἐν τῇ θρησκείᾳ, ἐν τῇ ποιήσει, ἐν τῇ ἱστορίᾳ, ἐν τῇ τέχνῃ, ἐν τῷ ἠθικῷ καὶ πολιτικῷ βίῳ· ὅθεν δὲ ἐννοεῖται ὅτι τὸ νέον πνεῦμα καὶ εἰς τὴν παιδείαν εἰσέδυσε· διὸ προσήκει ὀλίγα τινὰ καὶ περὶ αὐτῆς εἰπεῖν, ὅπως τὸ ὅλον τῆς λαμπρᾶς ταύτης ἐποχῆς συμπληρωθῇ.

Τὰ στοιχεῖα *τῆς νέας παιδείας*, ὡς καλεῖ αὐτὴν ὁ Ἀριστοφάνης, ἀπὸ Περικλέους ἀρξαμένης, ἔμειναν τὰ αὐτὰ ἐπὶ καὶ πρότερον, γυμναστικὴ χάριν τοῦ σώματος, καὶ μουσικὴ (γράμματα) χάριν τῆς ψυχῆς· διότι, ὡς λέγει ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ, *γαλεπὸν εὑρεῖν βελτίω τῆς ὑπὸ τοῦ παλαιοῦ χρόνου εὑρημένης*. Τὸ νέον ὅμως πνεῦμα νέαν ἔδωκεν αὐτοῖς ζωὴν συναρμόσαν αὐτὰ κάλλιον καὶ πρὸς ὑψηλότερον σκοπόν· διότι ἡ γυμναστικὴ οὐχ ἁπλῆ ἦν ἐμπειρία καὶ τέχνη, τῆς εὐεξίας τοῦ σώματος καὶ ῥώμης στοχαζομένη χάριν τῶν πολεμικῶν ἔργων, ἀλλὰ καὶ μία τῶν καλῶν τεχνῶν, καὶ οὐχὶ ἡ ἐλαχίστη, εἰς τὴν ἐνσάρκωσιν τοῦ τελείου καλοῦ ἐν τῷ σώματι ἀποβλέπουσα· ἡ δὲ μουσικὴ διὰ τοῦ ῥυθμοῦ καὶ τῆς ἁρμονίας εἰς τὰ ἐντὸς εἰσδύουσα τῆς ψυχῆς[1] ἐστοχάζετο τῆς ἠθικῆς διαπλάσεως καὶ τῆς εὐαρμοστίας τῶν ψυχικῶν δυνάμεων, ἐν ἄλλαις λέξεσι, τοῦ ἠθικοῦ καλοῦ τῆς ψυχῆς, ὅπερ ὁ Πλάτων καλεῖ εὐεξίαν καὶ ὑγίειαν αὐτῆς· ἀλλ' ἑκατέρα οὐκ ἄνευ τῆς ἑτέρας ἐνήργει, ἀλλ' ἀμφότεραι πρὸς τὸν αὐτὸν συνηγωνίζοντο σκοπόν, *τὴν καλοκἀγαθίαν*, τὴν ἁρμονίαν δῆλον ὅτι τοῦ ἔξω καὶ ἔσω ἀνθρώπου. Τοῦτο δὲ (ἀγαθὴ ψυχὴ ἐν καλῷ σώματι) ἐστὶ κατὰ Πλάτωνα τὸ μέγιστον καὶ κάλλιστον τῶν θεαμάτων. «Ὅτου ἂν ξυμπίπτῃ ἔν τε τῇ ψυχῇ καλὰ ἤθη ἐνόντα καὶ ἐν τῷ εἴδει (τῷ σώματι) ὁμολογοῦντα ἐκείνοις καὶ ξυμφωνοῦντα, τοῦ αὐτοῦ μετέχοντα τύπου, τοῦτ' ἂν εἴη κάλλιστον θέαμα τῷ δυναμένῳ θεᾶσθαι καὶ ἐρασμιώτατον». Ὁ δὲ μετέχων τούτου ἠξιοῦτο τῆς ἀξιωζήλου ἐπωνυμίας, *καλὸς κἀγαθός*· οὐδεὶς δὲ τίτλος δοθεὶς τῷ ἀνθρώπῳ (κόμης, δούξ, πρίγκιψ κτλ.) εὐγενέστερος καὶ ὑψηλότερος αὐτοῦ, διότι οὐδεὶς ἀνθρωπι-

1) Ὁ Πλάτων ἐν *Πολιτείᾳ* (401) λέγει περὶ τῆς παιδαγωγικῆς δυνάμεως τῆς μουσικῆς. «Τούτων ἕνεκα κυριωτάτη ἐν μουσικῇ τροφή, ὅτι μάλιστα καταδύεται εἰς τὸ ἐντὸς τῆς ψυχῆς ὅ τε ῥυθμὸς καὶ ἁρμονία καὶ ἐρρωμενέστατα ἅπτεται αὐτῆς, φέροντα τὴν εὐσχημοσύνην καὶ ποιεῖ εὐσχήμονα, ἐάν τις ὀρθῶς τραφῇ, εἰ δὲ μή, τοὐναντίον· καὶ ὅτι αὖ τῶν παραλειπομένων καὶ μὴ καλῶς δημιουργηθέντων ἢ μὴ καλῶς φύντων ὀξύτατ' ἂν αἰσθάνοιτο ὁ ἐκεῖ τραφεὶς ὡς ἔδει, καὶ ὀρθῶς δὴ δυσχεραίνων τὰ μὲν καλὰ ἐπαινοῖ καὶ χαίρων καὶ καταδεχόμενος εἰς τὴν ψυχὴν τρέφοιτ' ἂν ἀπ' αὐτῶν καὶ γίγνοιτο καλός τε κἀγαθός, τὰ δ' αἰσχρὰ ψέγοι τ' ἂν ὀρθῶς καὶ μισοῖ ἔτι νέος ὤν, πρὶν λόγου δυνατὸς εἶναι λαβεῖν, ἐλθόντος δὲ τοῦ λόγου ἀσπάζοιτ' ἂν αὐτὸν γνωρίζων δι' οἰκειότητα μάλιστα ὁ οὕτω τραφείς· ἐμοὶ γοῦν δοκεῖ, ἔφη, τῶν τοιούτων ἕνεκα ἐν μουσικῇ εἶναι ἡ τροφή».

νώτερος χαρακτηρίζων τὴν τελειότητα τοῦ συναμφοτέρου, τοῦ σώματος καὶ τῆς ψυχῆς τοῦ ἀνθρώπου.

Ὁ Πλάτων κάλλιστα ἐκτίθησι τὴν ἁρμονίαν ταύτην τοῦ συναμφοτέρου· οἷον ἐν τῷ Πρωταγόρᾳ (σελ. 325—326) λίαν σαφῶς καὶ ἐκτενῶς ἱστορεῖ τὰ φέροντα πρὸς αὐτὴν στοιχεῖα τῆς παιδείας καὶ τὴν δύναμιν ἑκάστου, ἀπὸ τῆς παιδικῆς μέχρι τῆς ἀνδρικῆς ἡλικίας· «ἐκ παίδων σμικρῶν ἀρξάμενοι, μέχρι οὗπερ ἂν ζῶσι, καὶ διδάσκουσι καὶ νουθετοῦσιν, ἐπειδὰν θᾶττον συνιῇ τις τὰ λεγόμενα, καὶ τροφὸς καὶ μήτηρ καὶ παιδαγωγὸς καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου διαμάχονται, ὅπως βέλτιστος ἔσται ὁ παῖς, παρ' ἕκαστον καὶ ἔργον καὶ λόγον διδάσκοντες καὶ ἐνδεικνύμενοι, ὅτι τὸ μὲν δίκαιον, τὸ δὲ ἄδικον, καὶ τὸ μὲν καλόν, τὸ δὲ αἰσχρόν, καὶ τὸ μὲν ὅσιον, τὸ δὲ ἀνόσιον, καὶ τὰ μὲν ποίει, τὰ δὲ μὴ ποίει. Καὶ ἐὰν μὲν ἑκὼν πείθηται· εἰ δὲ μή, ὥσπερ ξύλον διαστρεφόμενον καὶ καμπτόμενον εὐθύνουσιν ἀπειλαῖς καὶ πληγαῖς· μετὰ δὲ ταῦτα εἰς διδασκάλων πέμποντες πολὺ μᾶλλον ἐντέλλονται ἐπιμελεῖσθαι εὐκοσμίας τῶν παίδων ἢ γραμμάτων τε καὶ κιθαρίσεως· οἱ δὲ διδάσκαλοι τούτων τε ἐπιμελοῦνται, καὶ ἐπειδὰν αὖ γράμματα μάθωσι καὶ μέλλωσι συνήσειν τὰ γεγραμμένα, ὥσπερ τότε τὴν φωνήν, παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βάθρων ἀναγινώσκειν ποιητῶν ἀγαθῶν ποιήματα καὶ ἐκμανθάνειν ἀναγκάζουσιν, ἐν οἷς πολλαὶ μὲν νουθετήσεις ἔνεισι, πολλαὶ δὲ διέξοδοι καὶ ἔπαινοι καὶ ἐγκώμια παλαιῶν ἀνδρῶν ἀγαθῶν, ἵνα ὁ παῖς ζηλῶν μιμῆται καὶ ὀρέγηται τοιοῦτος γενέσθαι· οἱ τ' αὖ κιθαρισταὶ ἕτερα τοιαῦτα, σωφροσύνης τε ἐπιμελοῦνται καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσι· πρὸς δὲ τούτοις, ἐπειδὰν κιθαρίζειν μάθωσιν, ἄλλων αὖ ποιητῶν ἀγαθῶν ποιήματα διδάσκουσι μελοποιῶν, εἰς τὰ κιθαρίσματα ἐντείνοντες, καὶ τοὺς ῥυθμούς τε καὶ τὰς ἁρμονίας ἀναγκάζουσιν οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων ἵνα ἡμερώτεροί τε ὦσι, καὶ εὐρυθμότεροι καὶ εὐαρμοστότεροι γιγνόμενοι χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ πράττειν· πᾶς γὰρ ὁ βίος τοῦ ἀνθρώπου εὐρυθμίας τε καὶ εὐαρμοστίας δεῖται. Ἔτι τοίνυν πρὸς τούτοις εἰς παιδοτρίβου πέμπουσιν, ἵνα τὰ σώματα βελτίω ἔχοντες ὑπηρετῶσι τῇ διανοίᾳ χρηστῇ οὔσῃ καὶ μὴ ἀναγκάζωνται ἀποδειλιᾶν διὰ τὴν πονηρίαν τῶν σωμάτων καὶ ἐν τοῖς πολέμοις καὶ ἐν ταῖς ἄλλαις πράξεσι· καὶ ταῦτα ποιοῦσιν οἱ μάλιστα δυνάμενοι· μάλιστα δὲ δύνανται οἱ πλουσιώτατοι· καὶ οἱ τούτων υἱεῖς, πρωϊαίτατα εἰς διδασκάλων τῆς ἡλικίας ἀρξάμενοι φοιτᾶν, ὑψαίτατα ἀπαλλάττονται· ἐπειδὰν δὲ ἐκ διδασκάλων ἀπαλλαγῶσιν, ἡ πόλις αὖ τούς τε νόμους ἀναγκάζει μανθάνειν καὶ κατὰ τούτους ζῆν κατὰ παράδειγμα, ἵνα μὴ αὐτοὶ ἐφ' αὑτῶν εἰκῇ πράττωσιν, ἀλλ' ἀτεχνῶς ὥσπερ οἱ γραμματισταὶ τοῖς μήπω δεινοῖς γράφειν τῶν παίδων ὑπογράψαντες γραμμὰς τῇ γραφίδι οὕτω τὸ γραμμάτειον διδόασι καὶ ἀναγκάζουσι γράφειν κατὰ τὴν ὑφήγησιν τῶν γραμμῶν, ὡς δὲ καὶ ἡ πόλις νόμους ὑπογράψασα, ἀγαθῶν καὶ παλαιῶν νομοθετῶν εὑρήματα, κατὰ τούτους ἀναγκάζει καὶ ἄρχειν καὶ ἄρχεσθαι».

Τοιαύτη ἡ δημοσία παιδεία, ὅλως ποιητική, ἐν παρόδῳ ἁπτομένη τοῦ πεζοῦ λόγου καὶ τῶν φυσικομαθηματικῶν, ἃ τοὺς ἀνωτέρους κλάδους ἁπήρτιζον τῆς μέσης καὶ ἀνωτέρας παιδεύσεως, διδασκόμενα ἐν ἰδιωτικαῖς σχολαῖς ὑπὸ τῶν σοφιστῶν καὶ ῥητόρων καὶ ἄλλων· (ἴδ. σελ. 218).

Ἐν δὲ τῇ *Πολιτείᾳ* (σελ. 404. 407. 410—411) ὁ Πλάτων δείκνυσι τὸν στενὸν σύνδεσμον τῆς γυμναστικῆς καὶ μουσικῆς καὶ τὴν βελτίστην αὐτῶν κρᾶσιν. «Ἡ βελτίστη γυμναστικὴ ἀδελφή τις ἂν εἴη τῆς μουσικῆς, ἣν ὀλίγῳ πρότερον διῆμεν (τῆς ἁπλῆς)· —ἡ δὲ ἁπλότης κατὰ μὲν μουσικὴν ἐν ψυχαῖς σωφροσύνην ἐντίκτει, κατὰ δὲ γυμναστικὴν ἐν σώμασιν ὑγίειαν— οἱ καθιςάντες μουσικῇ καὶ γυμναςικῇ παιδεύειν οὐχ οὗ ἕνεκά τινες οἴονται καθιστᾶσιν, ἵνα τῇ μὲν τὸ σῶμα θεραπεύοιντο, τῇ δὲ τὴν ψυχήν; Ἀλλὰ τί μήν; ἔφη. Κινδυνεύουσιν, ἦν δ' ἐγώ, ἀμφότερα τῆς ψυχῆς ἕνεκα τὸ μέγιστον καθιστάναι. Πῶς δή; Οὐκ ἐννοεῖς, εἶπον, ὡς διατίθενται αὐτὴν τὴν διάνοιαν, οἳ ἂν γυμναστικῇ μὲν διὰ βίου ὁμιλήσωσι, μουσικῆς δὲ μὴ ἅψωνται; ἢ ὅσοι ἂν τοὐναντίον διατεθῶσι; Τίνος δέ, ἦ δ' ὅς, πέρι λέγεις; Ἀγριότητός τε καὶ σκληρότητος, καὶ αὖ μαλακίας τε καὶ ἡμερότητος, ἦν δ' ἐγώ. Ἴσμεν, ἔφη, ὅτι οἱ μὲν γυμναστικῇ ἀκράτῳ χρησάμενοι ἀγριώτεροι τοῦ δέοντος ἀποβαίνουσιν, οἱ δὲ μουσικῇ μαλακώτεροι αὖ γίγνονται ἢ ὡς κάλλιον αὐτοῖς. Καὶ μήν, ἦν δ' ἐγώ, τό γε ἄγριον τὸ θυμοειδὲς ἂν τῆς φύσεως παρέχοιτο, καὶ ὀρθῶς μὲν τραφὲν ἀνδρεῖον ἂν εἴη, μᾶλλον δ' ἐπιταθὲν τοῦ δέοντος σκληρόν τε καὶ χαλεπὸν γίγνοιτ' ἄν, ὡς τὸ εἰκός. Δοκεῖ μοι, ἔφη. Τί δέ; τὸ ἥμερον οὐχ ἡ φιλόσοφος ἂν ἔχοι φύσις; καὶ μᾶλλον μὲν ἀνεθέντος αὐτοῦ μαλακώτερον εἴη τοῦ δέοντος, καλῶς δὲ τραφέντος ἡμερόν τε καὶ κόσμιον; Ἔστι ταῦτα· οὐκοῦν ὅταν μέν τις μουσικῇ παρέχῃ καταντλεῖν καὶ καταγεῖν τῆς ψυχῆς διὰ τῶν ὤτων, ὥσπερ διὰ χώνης ἃς νῦν δὴ ἡμεῖς ἐλέγομεν τὰς γλυκείας τε καὶ μαλακὰς καὶ θρηνώδεις ἁρμονίας, καὶ μινυρίζων τε καὶ γεγανωμένος ὑπὸ τῆς ᾠδῆς διατελῇ τὸν βίον ὅλον, οὗτος τὸ μὲν πρῶτον, εἴ τι θυμοειδὲς εἶχεν, ὥσπερ σίδηρον ἐμάλαξε καὶ χρήσιμον ἐξ ἀχρήστου καὶ σκληροῦ ἐποίησεν· ὅταν δὲ ἐπέχων μὴ ἀνῇ ἀλλὰ κηλῇ, τὸ μετὰ τοῦτο ἤδη τήκει καὶ λείβει, ἕως ἂν ἐκτήξῃ τὸν θυμὸν καὶ ἐκτέμῃ ὥσπερ νεῦρα ἐκ τῆς ψυχῆς καὶ ποιήσῃ μαλθακὸν αἰχμητήν. Πάνυ μέν οὖν, ἔφη. Καὶ ἐάν μέν, ἦν δ' ἐγώ, ἐξ ἀρχῆς φύσει ἄθυμον λάβῃ, ταχὺ τοῦτο διεπράξατο· ἐὰν δὲ θυμοειδῆ, ἀσθενῆ ποιήσας τὸν θυμὸν ὀξύρροπον ἀπειργάσατο, ἀπὸ σμικρῶν ταχὺ ἐρεθιζόμενόν τε καὶ κατασβεννύμενον· ἀκρόχολοι οὖν καὶ ὀργίλοι ἀντὶ θυμοειδοῦς γεγένηνται, δυσκολίας ἔμπλεοι. Κομιδῇ μὲν οὖν. Τί δέ; ἂν αὖ γυμναστικῇ πολλὰ πονῇ καὶ εὐωχῆται εὖ μάλα, μουσικῆς δὲ καὶ φιλοσοφίας μὴ ἅπτηται, οὐ πρῶτον μέν εὖ ἴσχων τὸ σῶμα φρονήματός τε καὶ θυμοῦ ἐμπίπλαται καὶ ἀνδρειότερος γίγνεται αὐτὸς αὑτοῦ; Καὶ μάλα γε· τί δαί; ἐπειδὰν ἄλλο μηδὲν πράττῃ μηδὲ κοινωνῇ Μούσης μηδαμῇ, οὐκ εἴ τι καὶ ἐνῇν αὐτοῦ φιλομαθὲς ἐν τῇ ψυχῇ, ἅτε οὔτε μαθήματος γευόμενον οὐδενὸς οὔτε ζητήματος, οὔτε λόγου μετίσχον οὔτε τῆς ἄλλης μουσικῆς, ἀσθενές τε καὶ κωφὸν καὶ τυφλὸν γίγνεται, ἅτε οὐκ ἐγειρόμενον οὐδὲ τρεφόμενον οὐδὲ διακαθαιρομένων τῶν αἰσθήσεων αὐτοῦ; Οὕτως, ἔφη. Μισολόγος δή, οἶμαι, ὁ τοιοῦτος γίγνεται καὶ ἄμουσος, καὶ πειθοῖ μὲν διὰ λόγων οὐδὲν ἔτι χρῆται, βίᾳ δὲ καὶ ἀγριότητι ὥσπερ θηρίον πρὸς πάντα, καὶ ἐν ἀμαθίᾳ καὶ σκαιότητι μετὰ ἀρρυθμίας τε καὶ ἀχαριστίας ζῇ. Παντάπασιν, ἦ δ' ὅς, οὕτως ἔχει· ἐπεὶ δὴ δύ' ὄντε τούτω, ὡς ἔοικε, δύο τέχνα θεὸν ἔγωγ' ἄν τινα φαίην δεδωκέναι τοῖς ἀνθρώποις, μουσικήν τε καὶ γυμναστικὴν ἐπὶ τὸ θυμοειδὲς καὶ τὸ φιλόσοφον, οὐκ ἐπὶ ψυχὴν καὶ σῶμα, εἰ μὴ εἰ πάρεργον, ἀλλ' ἐπ' ἐκείνω, ὅπως ἂν ἀλλήλοιν ξυναρμοσθῆτον ἐπιτεινομένω καὶ ἀνειμένω μέχρι τοῦ προσήκοντος. Καὶ γὰρ ἔοικεν, ἔφη. Τὸν κάλλιστ' ἄρα μουσικῇ γυμναστικὴν κεραννύντα καὶ μετριώτατα τῇ ψυχῇ προσφέροντα, τοῦτον ὀρθότατ' ἂν φαῖμεν εἶναι τελέως μουσικώτατον καὶ εὐαρμοστότατον, πολὺ μᾶλλον ἢ τὸν τὰς χορδὰς ἀλλήλαις ξυνιστάντα».

Ἐν δὲ τῷ *Τιμαίῳ* (σελ. 87—88) τὰ ἐκ τῆς

συμμετρίας τῆς ψυχῆς καὶ τοῦ σώματος καλὰ ἐκτίθησι, καὶ τὰ ἐκ τῆς ἀσυμμετρίας ἐναντία. «Πᾶν δὴ τὸ ἀγαθὸν καλόν, τὸ δὲ καλὸν οὐκ ἄμετρον· καὶ ζῶον οὖν τὸ τοιοῦτον ἐσόμενον ξύμμετρον θετέον· ξυμμετριῶν δὲ τὰ μὲν σμικρὰ διαισθανόμενοι ξυλλογιζόμεθα, τὰ δὲ κυριώτατα καὶ μέγιστα ἀλογίστως ἔχομεν· πρὸς γὰρ ὑγιείας καὶ νόσους ἀρετάς τε καὶ κακίας οὐδέμια ξυμμετρία καὶ ἀμετρία μείζων ἢ ψυχῆς αὐτῆς πρὸς σῶμα αὐτό· ὧν οὐδὲν σκοποῦμεν οὐδ' ἐννοοῦμεν ὅτι ψυχὴν ἰσχυρὰν καὶ πάντη μεγάλην ἀσθενέστερον καὶ ἔλαττον εἶδος ὅταν ὀχῇ, καὶ ὅταν αὖ τοὐναντίον ξυμπαγῆτον τοῦτο, οὐ καλὸν ὅλον τὸ ζῶον, ἀξύμμετρον γὰρ ταῖς μεγίσταις ξυμμετρίαις· τὸ δὲ ἐναντίως ἔχον πάντων θεαμάτων τῷ δυναμένῳ καθορᾶν κάλλιστον καὶ ἐρασμιώτατον· οἷον οὖν ὑπερσκελὲς ἢ καί τινα ἑτέραν ὑπέρξιν ἄμετρον ἑαυτῷ τι σῶμα ὂν ἅμα μὲν αἰσχρόν, ἅμα δ' ἐν τῇ κοινωνίᾳ τῶν πόνων πολλοὺς μὲν κόπους, πολλὰ δὲ σπάσματα καὶ διὰ τὴν παραφορότητα πτώματα παρέχον μυρίων κακῶν αἴτιον ἑαυτῷ· ταὐτὸν δὴ διανοητέον καὶ περὶ τοῦ ξυναμφοτέρου, ζῶον ὃ καλοῦμεν, ὡς ὅταν τε ἐν αὐτῷ ψυχὴ κρείττων οὖσα σώματος περιθύμως ἴσχῃ, διασείουσα πᾶν αὐτὸ ἔνδοθεν νόσων ἐμπίπλησι, καὶ ὅταν εἰς τινας μαθήσεις καὶ ζητήσεις συντόνως ἴῃ, κατατήκει, διδαχὰς τ' αὖ καὶ μάχας ἐν λόγοις ποιουμένη δημοσίᾳ καὶ ἰδίᾳ δι' ἐρίδων καὶ φιλονεικίας γιγνομένων διάπυρον αὐτὸ ποιοῦσα λύει, καὶ ῥεύματα ἐπάγουσα τῶν λεγομένων ἰατρῶν ἀπατῶσα τοὺς πλείστους, τἀναντία αἰτιᾶσθαι ποιεῖ· σῶμά τε ὅταν αὖ μέγα καὶ ὑπέρψυχον σμικρᾷ ξυμφυὲς ἀσθενεῖ τε διανοίᾳ γένηται, διττῶν ἐπιθυμιῶν οὐσῶν φύσει κατ' ἄνθρωπους, διὰ σῶμα μὲν τροφῆς, διὰ δὲ τὸ θειότατον τῶν ἐν ἡμῖν φρονήσεως, αἱ τοῦ κρείττονος κινήσεις κρατοῦσαι καὶ τὸ μὲν σφέτερον αὔξουσαι, τὸ δὲ τῆς ψυχῆς κωφὸν καὶ δυσμαθὲς ἀμνῆμόν τε ποιοῦσαι, τὴν μεγίστην νόσον ἀμαθίαν ἐναπεργάζονται. Μία δὴ σωτηρία πρὸς ἄμφω, μήτε τὴν ψυχὴν ἄνευ σώματος κινεῖν μήτε σῶμα ἄνευ ψυχῆς, ἵνα ἀμυνομένω γίγνησθον ἰσορρόπω. Τὸν δὴ μαθηματικὸν ἢ τινα ἄλλην σφόδρα μελέτην διανοίᾳ κατεργαζόμενον καὶ τὴν τοῦ σώματος ἀποδοτέον κίνησιν, γυμναστικῇ προσομιλοῦντα, τόν τε αὖ σῶμα ἐπιμελῶς πλάττοντα τὰς τῆς ψυχῆς ἀνταποδοτέον κινήσεις, μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον, εἰ μέλλει δικαίως τις ἅμα μὲν καλός, ἅμα δὲ ἀγαθὸς ὀρθῶς κεκλήσεσθαι».

Τοιαῦτα κατὰ Πλάτωνα τῆς ἑλληνικῆς παιδείας τὰ τερπνότατα ἀποτελέσματα, οὐ μόνον καλλονὴ τοῦ σώματος καὶ τῆς ψυχῆς, ἀλλὰ καὶ ἁρμονία τοῦ συνκρατοῦντος δὶ καὶ αἱ λέξεις, εὐσχημοσύνη, εὐκοσμία, εὐτυξία, εὐρυθμία, εὐαρμοστία κτλ. κοιναί εἰσι λεγόμεναι περί τε τῆς ψυχῆς καὶ τοῦ σώματος. Οὐδεὶς ἄλλος τῶν ἀρχαίων οὐδ' αὐτὸς ὁ Ἀριστοτέλης οὕτω βαθέως ἐφιλοσόφησε περὶ τούτων, οὐδ' ἦν δυνατὸν ἄλλως γενέσθαι· διότι ὁ Πλάτων λαλεῖ ἐξ ἰδίας ἀντιλήψεως, αἰσθόμενος ἐν ἑαυτῷ τὰ ἐκ τῆς γυμναστικῆς καὶ μουσικῆς καλά· γεννηθεὶς καθ' ὃν χρόνον ἐτελεύτα ὁ Περικλῆς ἀνέπνευσε τὴν ζωογόνον αὔραν τῆς ἐποχῆς ταύτης καὶ ἀνετράφη ἐν αὐτῇ, καὶ πάντα ἦγον αὐτὸν πρὸς τὰς καλὰς τέχνας· διότι διὰ πασῶν τῶν αἰσθήσεων εἰσέδυε τὸ καλὸν εἰς τὸ ἐντὸς τῆς ψυχῆς· διό, εἴπερ τις καὶ ἄλλος Ἀθηναίων, διέσωζεν ἀγνὸν τὸ πνεῦμα τῶν χρόνων τοῦ Περικλέους καὶ Φειδίου. Ποσάκις οὐκ ἁρπάτου θυμηδίας ἐνεπίμπλατο, παραβάλλων τὰ ζῶντα σώματα, τελειοποιούμενα ὑπὸ τῆς γυμναστικῆς, πρὸς τὰ τέλεια ἀγάλματα τῆς γλυπτικῆς; Ποσάκις ἡ μεγαλοφυΐα αὐτοῦ ὑπ' αὐτῶν ἐξαπτομένη οὐκ ἔλαβεν ἀφορμὴν εἰς τὸ ἰδανικὸν καλὸν ἀνυψωθῆναι; Ὀρθῶς ἄρα καὶ δικαίως ὁ Γαλάτης φιλόσοφος Ch. Lévêque ἐζήτησεν ἐν τῇ ἐναισίμῳ αὐτοῦ Διατριβῇ, *quid Phidiae Plato debuerit*, ἀποδείξαι τί ὁ Πλάτων ὀφείλει τῷ Φειδίᾳ· ἐν δὲ τῷ εἰσιτηρίῳ αὐτοῦ λόγῳ ἀπαγγελθέντι τῷ 1857 ἐν τῷ Κολλεγίῳ τῆς Γαλλίας, ὑπόθεσιν δὲ ἔχοντι ὅτι Πλατωνικαί εἰσιν αἱ ἀρχαὶ τῆς πνευματικῆς φιλοκαλίας (les origines Platoniciennes de l'esthétique[1] spiritualiste), ἐξετάζων τὰς αἰτίας τούτου λέγει, «ὅτι πρώτη αἰτία ἐστὶν ἡ μεγαλοφυΐα τοῦ Πλάτωνος, ἐν ᾗ τὸ πρῶτον ἴσως δὲ καὶ τὸ τελευταῖον συνῆλθον καὶ συνεκορυφώθησαν ὁ ἔξαλλος ἐνθουσιασμός, ἡ γονιμότης τῆς ἐμπνεύσεως, ἡ ἄφθονος καὶ φυσικὴ χάρις τῆς γλώσσης, ἡ ἀσφάλεια τοῦ ἐντὸς βλέμματος ἄνευ σκοτισμοῦ εἰς τὰ βάθη τοῦ ἀοράτου καταδύοντος, ὁ λογισμὸς ὁτὲ μὲν λεπτός, ὁτὲ δὲ ἀκριβὴς καὶ ἀκαταμάχητος, καὶ πολλάκις ἡ κυρίαρχος τοῦ λόγου σαφήνεια αὐτὴν τὴν ἀλήθειαν ἀκτινοβολοῦντος. Δευτέρα δὲ αἰτία ἐστὶν ἡ σύνοδος εὐνοϊκῶν περιστάσεων, αἵτινες τῇ νέᾳ αὐτοῦ ψυχῇ τὴν ὁδὸν ἔδειξαν τὴν ἄγουσαν πρὸς τὸ ἰδανικὸν ὃ ἐπόθει. Ἡ τέχνη εἶχεν ἤδη παρεγαγοῦσα ἃ παρῆγε τὰ κράτιστα τῶν ἔργων αὐτῆς· ἡ ἀρχιτεκτονικὴ εἶχεν ἀποπερατώσασα τὸν Παρθενῶνα καὶ τὰ Προπύλαια, ἡ δὲ γλυπτικὴ ἐκόσμει τὰ μνημεῖα ταῦτα τελειοτάτοις ἀγάλμασιν, ἡ δὲ ζωγραφικὴ παρὰ πόδας ἠκολούθει τῇ γλυπτικῇ, ἡ δὲ δραματικὴ τέχνη ἦν ἐν τῇ ἀκμῇ αὐτῆς, ἡ δὲ ῥητορικὴ ἐπὶ τῷ Περικλεῖ ἐσεμνύνετο, ὅτε ἐγεννήθη ὁ Πλάτων φέρων ἐκ γενετῆς καλλιτεχνικὰς καὶ ποιητικὰς δυνάμεις ἐν τοιαύτῃ μοίρᾳ, ὥστε ἡ φαντασία τῶν μεταγενεστέρων ἁρμένη ἔπλασεν ὅτι ἦν υἱὸς τοῦ Ἀπόλλωνος».

Ἐν τῷ μέσῳ λοιπὸν τῶν θαυμασίων τούτων ἀνατραφέντος, πάντα τὰ περὶ αὐτὸν καὶ τὰ ἐν αὐτῷ ἦγον αὐτὸν εἰς τὰς καλὰς τέχνας· λέγουσιν ὅτι περὶ τὴν ζωγραφικὴν ἠσχολήθη, καθὰ καὶ περὶ τὴν ποίησιν, διθυράμβους ποιήσας καὶ ἄλλα λυρικὰ ᾄσματα καὶ τραγῳδίας, ἅπερ ὕστερον φιλόσοφος γενόμενος ἔκαυσε· μάτην· ἡ καλλιτεχνικὴ καὶ ποιητικὴ αὐτοῦ φύσις οὐκ ἀπέλιπεν αὐτόν· λέγουσι δὲ ἄλλοι τε καὶ Δικαίαρχος ἐν τῷ πρώτῳ περὶ βίων, κατὰ Διογένη Λαέρτιον, ὅτι καὶ περὶ τὴν γυμναστικὴν ἠσχολήθη καὶ ἐπάλαισεν Ἰσθμοῖ· ὥστε ὀρθῶς καὶ δικαίως δύναταί τις ζητῆσαι τί ὁ Πλάτων τῇ γυμναστικῇ ὀφείλει· ἀλλ' οὗτος προλαβὼν ἀπέτισε τὰ ὀφειλόμενα αὐτῇ, τὴν γυμναστικὴν ἀναγράψας ἐν ταῖς καλαῖς τέχναις· διότι ἐν μὲν τῷ Γοργίᾳ λέγει περὶ τοῦ ἔργου τοῦ παιδοτρίβου· «σὺ δέ τις εἶ, ὦ ἄνθρωπε, καὶ τί τὸ σὸν ἔργον; παιδοτρίβης φαίη ἄν, τὸ δὲ ἔργον μου ἐστὶ *καλοὺς τε καὶ ἰσχυροὺς ποιεῖν τοὺς ἀνθρώπους τὰ σώματα*»· ἐν δὲ τῷ Σοφιστῇ (229) ἀποφαίνεται, ὅτι πρὸς μὲν θεραπείαν τῶν νόσων εὑρέθη ἡ ἰατρική, πρὸς δὲ θεραπείαν τῆς ἀσχημίας ἡ γυμναστική. Ἤκμαζεν ἔτι κατὰ τὴν νεανικὴν αὐτοῦ ἡλικίαν ἡ ἅμιλλα ἐκείνη τῶν γυμναστικῶν πρὸς τοὺς γλύπτας καὶ τούτων πρὸς ἐκείνους, ἀνθαμιλλωμένων ὁπότεροι τὰ καλλίω καὶ τελειότερα ἀπεργάσοιντο ἀγάλματα, οἱ μὲν τὰ ζῶντα σώματα τῶν νέων, οἱ δὲ λίθινα μὲν οὐχ ἧττον δὲ καὶ ταῦτα ζῶντα καὶ ὄντα κανόνες τῆς τελειότητος τοῦ ἀνθρωπίνου σώματος, οἷος ἦν ὁ περιώνυμος κανὼν τοῦ Πολυκλείτου. Πότεροι ὁρά γε αὐτῶν ὤφειλον μᾶλλον τοῖς ἑτέροις πρὸς τελειοποίησιν τοῦ ἔργου αὐτῶν, οἱ γλύπται τοῖς γυμναστικοῖς ἢ οἱ γυμναστικοὶ τοῖς γλύπταις; ἑκάτεροι φαίνονται ἀρυόμενοι ὅ,τι καλὸν ἀνεκάλυπτον ἐν τῇ τέχνῃ τοῦ ἑτέρου.

Οἱ νεώτεροι ἀποροῦσι πῶς οἱ ἀρχαῖοι γλύπται τοσοῦτον τέλεια ἐδημιούργησαν ἀγάλ-

1) Τῆς λέξεως *αἰσθητικῆς* ἀκαταλλήλου οὔσης ἁρμοδία φαίνεται ἡμῖν ἡ λέξις φιλοκαλία.

ματα, τὴν ἀνατομίαν ἀγνοοῦντες[1] καὶ οὐδὲν μεταχειριζόμενοι πρότυπον (modèle)· ἀλλ' εἶχον χρείαν προτύπων, βλέποντες καθ' ἑκάστην ἐν τοῖς γυμνασίοις τὰ τελειότατα πρότυπα τῶν σωμάτων γυμνά, κινούμενα καὶ διαφόρους λαμβάνοντα θέσεις καὶ σχήματα· οἱ δὲ γυμναστικοὶ αὖθις οὐκ ἔπλαττον τὰ σώματα τῶν νέων ὅσον οἷόν τε τέλεια, εἰς τὰ ἀγάλματα ἀποβλέποντες τὰ ἐν τοῖς ναοῖς καὶ τὰ ἐν τοῖς γυμνασίοις καὶ παλαίστραις, εἰς τὰ τοῦ Ἀπόλλωνος[2], Ἑρμοῦ, Ἥρωτος, Ἡρακλέους, Θησέως, Ἀχιλλέως καὶ λοιπῶν; Οἱ ναοὶ καὶ τὰ γυμνάσια ἦσαν ἄενναοι πηγαὶ τοῦ καλοῦ, εἰ μὴ πάντοτε τοῦ ἀγαθοῦ· οἱ γυμναστικοὶ ὅμως καὶ οἱ γλύπται εἶχον καὶ ἑτέραν πηγὴν τοῦ καλοῦ ἀκένωτον, ἐξ ἧς ἠρύοντο καὶ ἐνεπνέοντο, τὴν φυσικὴν καλλονὴν τῆς ἑλληνικῆς φυλῆς, ἔτι καὶ νῦν διασωζούσης τέλεια πρότυπα ἄξια πρὸς τὰ τελειότατα τῶν ἀρχαίων ἀγαλμάτων παραβληθῆναι, ὡς λέγουσιν οἱ ἐπισκεψάμενοι τὴν Ἑλλάδα ξένοι σοφοί.

«Ὁ ἑλληνικὸς λαός, λέγει ὁ σεβάσμιος Ch. Schmid (Geschichte der Erziehung 1,179)· τῶν ἄλλων λαῶν τῆς οἰκουμένης ἐξεῖχεν ἐπὶ σωματικαῖς καὶ πνευματικαῖς ἀρεταῖς· τὴν συμμετρίαν τοῦ σώματος καὶ τῆς ψυχῆς, ἥτις ἦν ἡ κρηπὶς τῆς φύσεως αὐτοῦ, ἔφερε μεθ' ἑαυτοῦ ὡς κληρονομικὸν ἀγαθὸν ἐκ τῆς πρώτης αὐτοῦ πατρίδος (ἔνθ. § 7, σ. 93)· τοῦ δὲ χρόνου προϊόντος αὕτη φυσικῶς διεμορφώθη καὶ τεχνικῶς ἀνεπτύχθη κατὰ πάντας τοὺς τρόπους. Ἡ σωματικὴ αὐτοῦ ἀρετὴ καταφαίνεται, ὡς φησι Κούρτιος (Griech. gesch. I, 25), ἐν ταῖς πλαστικαῖς τέχναις, ὧν αἱ παραστάσεις ἦταν αὐτοῦ τοῦ λαοῦ εἰκών. «Ὁ Ἀπόλλων καὶ ὁ Ἑρμῆς, ὁ Θησεὺς καὶ ὁ Ἀχιλλεύς, οἷοι τοῖς ὀφθαλμοῖς ἡμῶν ἐν λίθῳ καὶ ἐν χαλκῷ παρίστανται, ἐξηγιασμένοι εἰσὶν Ἕλληνες, ἡ δὲ ἁρμονία τῶν μελῶν αὐτῶν, αἱ γλυκεῖαί τε καὶ ἁπλαῖ γραμμαὶ τοῦ προσώπου, οἱ μεγάλοι ὀρθαλμοί, τὸ μικρὸν μέτωπον, ἡ εὐθεῖα ῥίς, τὸ λεπτὸν στόμα ἀνῆκον τῷ λαῷ, ἦσαν τὰ φυσικὰ αὐτοῦ γνωρίσματα. Ἡ συμμετρία ἦν ὁ κύριος χαρακτὴρ τῆς σωματικῆς τῶν Ἑλλήνων φύσεως, ὡς μαρτυροῦσι καὶ τὰ ἐν ἑλληνικοῖς τάφοις ἀνακαλυφθέντα κρανία κανονικῶς ἐσχηματισμένα. Ἀλλὰ τὸ σωματικὸν ἦν ἔκφρασις τοῦ πνευματικοῦ· διότι ὁ ἔμφυτος ἔρως τῆς ἐλευθερίας καὶ τὸ ζῶν αἴσθημα τῆς ἀνθρωπίνης ἀξιοπρεπείας ἦσαν διακριτικὰ γνωρίσματα τοῦ χαρακτῆρος αὐτῶν».

Οἱ σωματικοὶ τύποι κατὰ τὸν Φριδ. Φίσχερον (Altes und Neues § 32) ἔτι καὶ νῦν ἐν τοῖς κατοίκοις τῆς Ἑλλάδος ἀναφαίνονται, καίτοι ἡ ἀνάμιξις ξενικοῖς στοιχείοις ἐπαισθητή ἐστιν· ὁ Φίσχερος λόγον ποιεῖται περὶ ἱερέως τινὸς μεσοκούπου ἐκ Βοστίτσης, οὗ ἡ εὐγενὴς κεφαλὴ ἦν κατὰ τὸν αὐστηρὸν ἐκεῖνον κανόνα τῆς ἀρχαίας πλαστικῆς καλλονῆς· τὸ κάθετον μέτωπον μετ' ἀνεπαισθήτου σχεδὸν συστολῆς κατηυθύνετο πρὸς τὴν εὐγενῆ εὐθεῖάν τε καὶ λεπτῶς κλινουσαν ῥῖνα· τὸ δὲ ἄπαλὸν καὶ τέλειον στόμα καὶ τὸ γένειον περιέβαλλε μέλαινα καὶ εὐπλόκαμος γενειάς· ἡ δὲ ὀφρὺς τοξοειδῶς μετὰ χάριτος ὀφθαλμὸν ἐκάλυπτε μέγαν, φωτεινὸν πῦρ ἐξαστράπτοντα, ὅπερ τῷ βλέμματι, καὶ ὅπου μετ' ἀδιαφορίας ἔπιπτεν, ἀξιοσημείωτον παρεῖχεν ἔντασιν. Ἐπειδὴ δὲ οἱ Ἕλληνες ἱερεῖς ἅμα τῇ γενειάδι καὶ κόμην φέρουσι μακράν, οὕτω συμπληροῦται τύπος, ὃς διὰ πάντων τῶν περικυκλούντων καὶ τῆς πραγματικότητος εἰς τὸ φαεινὸν ἦγαγέ με ὄνειρος τῆς ἀρχαίας Ἑλλάδος». Ὁ Φίσχερος λαλεῖ ὡσαύτως καὶ περί τινος χωροφύλακος, «ὃς μετὰ τοσαύτης ἐλαφρότητος περιπατεῖ, ὥστε τὸ βάδισμα ἡμῶν φαίνεται μηχανικὴ ἐργασία· φέρεται ὡς βασιλεύς· ἄφθονοι καὶ μέλανες πλόκαμοι περὶ τὸ μέτωπον αὐτοῦ ἐκυμαίνοντο, τὸ δὲ πρόσωπον αὐτοῦ ἦν ὅμοιον τῷ ἀρχαίῳ· ἀλλ' ὅλως ἑλληνικὸς ἦν ὁ λαμπετόεις αὐτοῦ ὀφθαλμός». «Εὐοφθαλμότατον γὰρ πάντων ἐθνῶν τὸ ἑλληνικόν, λέγει ὁ Ἀδαμάντιος ἐν τῷ φυσιογνωμικῷ αὐτοῦ». (Ἰδ. καὶ σελ. 93).

1) «Ἀναμιμνησκόμεναι ὅτι οἱ συγγραφεῖς οὐδένα ποιοῦνται λόγον περὶ ἀνθρωπίνων προτύπων καὶ πολὺ ἧσσον περὶ τοῦ εἰδικοῦ προτύπου τοσοῦτον νῦν χρησίμου, ὅπερ ἐν ταῖς σχολαῖς ὀνομάζεται τὸ *ἐκδεδαρμένον* (l'écorché), ἔχοντες δ' αὖ ὑπ' ὄψει τὰ μυρία ὅσα μαθήματα τῆς ζώσης καὶ κινουμένης ἀνατομίας, διδόμενα ὑπὸ τοῦ γυμνασίου, τῶν ἀσκήσεων, τῶν λουτρῶν, ἀποδεχόμεθα μετὰ τοῦ Ὀδοφ. Μυλλέρου, ὅτι ὁ Ἕλλην ἀγαλματοποιὸς κάλλιστα γινώσκων τὴν ἐπιφάνειαν τοῦ σώματος οὐδεμίαν εἶχε χρείαν τὸ ὑπὸ τὸ δέρμα διὰ τῆς ἀνατομίας μελετῆσαι· ὁ νέος ὅμως τεχνίτης ἠναγκασμένος ἐστὶ διὰ τῆς ἀνατομίας τοῦ ὑπὸ τὸ δέρμα ἀναπληρῶσαι τὴν γνῶσιν τῆς ἐπιφανείας, ἥτις ἀτελεστέρα ἐστὶν αὐτῷ καὶ μᾶλλον περιωρισμένη ἢ τῷ Ἕλληνι». Ch. Lévêque. Le spiritualisme dans la sculpture. pag. 27.

2) Ἴδε Grasberger *Erziehung und Unterricht des Classischen Alterthums* 1, 256—257.

Ἀσπασία ἡ γυναικεία Παίδευσις.

§ 63. Τοσαῦτα μὲν καὶ περὶ παιδείας. Ἐπειδὴ δὲ οὐδὲν ἀγαθὸν κακότητος ἄμικτον, ἔχει καὶ ὁ χρυσοῦς αἰὼν τοῦ Περικλέους τὰς κηλίδας καὶ ἐλλείψεις αὐτοῦ, ἃς ἡ φιλοσοφία τοῦ νοῦ οὐκ ἠδυνήθη ἀποτρίψαι καὶ ἐξαλεῖψαι. Τούτων δὲ μεγίστη ἦν ἡ ἔλλειψις τῆς γυναικείας παιδεύσεως· καὶ ἦλθε μὲν ἐξ Ἰωνίας εἰς Ἀθήνας ἔκτακτος ἐπὶ καλλονῇ καὶ εὐφυΐᾳ γυνὴ καὶ συνεδέθη τῷ Περικλεῖ στενώτερον καὶ αὐτοῦ τοῦ Ἀναξαγόρου, γενομένη σύνευνος τῷ μεγάλῳ ἀνδρί, ἐξ οὗ καὶ ἔτεκεν υἱόν Περικλέα κληθέντα ὁμωνύμως τῷ πατρί, δυστυχῶς ὅμως ἡ Ἀσπασία οὔτε τὰ κεφάλαια εἶχε τῆς Ἰωνικῆς φιλοσοφίας, ἃ τὴν φιλοσοφίαν τοῦ νοῦ προωδοποίησαν, οὔτε ἡ φύσις αὐτῆς καὶ ἀγωγὴ ἦν τοιαύτη, ὥστε, Ὑπατία τῶν χρόνων τοῦ Περικλέους γιγνομένη, ἀναλαβεῖν, ὡς θείαν ἀποστολήν, τὴν μεταρρύθμισιν τῆς γυναικείας παιδεύσεως ἐν Ἀθήναις. Ἡ Ἀσπασία οὐδὲν περὶ γυναικείας παιδείας κατέλιπε σύγγραμμα, καίτοι πολλαὶ πυθαγόρειοι φιλόσοφοι ἦσαν αὐτῇ ἀξιομίμητον παράδειγμα. Πόθεν ἡ διαφορὰ αὕτη τῶν Ἰάδων καὶ Δωριέων γυναικῶν; Τοῦτο φαίνεται παράδοξον, διότι τὸ ἐναντίον προσεδόκα τις· ἐπειδὴ ἐν Ἰωνίᾳ πολλὰ ἦσαν τὰ παρορμῶντα εἰς τὴν πνευματικὴν ἀνάπτυξιν. Ἐν Ἰωνίᾳ, ὡς εἴρηται (§ 9, σ. 94, § 41, σ. 162), ἐβλάστησεν ἡ ὁμηρικὴ ποίησις· ἐκ τῆς Ἰωνίας δὲ καὶ οἱ Ὁμηρίδαι τῆς Χίου καὶ οἱ ἄλλοι ῥαψῳδοὶ ὁρμώμενοι διέδοσαν αὐτὴν ἀνὰ πᾶσαν τὴν Ἑλλάδα, ἐν ταῖς λέσχαις τῶν πόλεων, αἳ τρόπον τινὰ ἦσαν τὰ σχολεῖα τῶν ἀνδρῶν κατ' ἐκείνους τοὺς χρόνους, ἀπαγγέλλοντες τὰ ἔπη, ἢ ἐν τοῖς δημοσίοις ἀγῶσι κατὰ τὰς ἑορτὰς τῶν θεῶν, ὅτε ῥαψῳδικοὶ καὶ μουσικοὶ ἐτελοῦντο ἀγῶνες· κατὰ τὴν πανιώνιον ἑορτὴν τὴν ἐν Δήλῳ κατ' ἔτος ἐπὶ τοῖς γενεθλίοις τοῦ Ἀπόλλωνος τελουμένην, πανταχόθεν προσήρχοντο οἱ Ἴωνες, ἄνδρες τε καὶ γυναῖκες καὶ παῖδες, ὡς μαρτυρεῖ ὁ ποιήσας τὸν ὕμνον εἰς τὸν Δήλιον Ἀπόλλωνα.

Ἔνθα τοι ἑλκεχίτωνες Ἴάονες ἠγερέθονται
αὐτοῖς σὺν παίδεσσι καὶ αἰδοίῃς ἀλόχοισιν·
οἱ δέ σε πυγμαχίῃ τε καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ
μνησάμενοι τέρπουσιν, ὅταν στήσωνται ἀγῶνα·
φαίη κ' ἀθανάτους καὶ ἀγήρως ἔμμεναι αἰεί,
ὃς τότ' ἐπαντιάσειε, σέ τ' Ἴάονες ἀθρόοι εἶεν·
πάντων γάρ κεν ἴδοιτο χάριν, τέρψαιτο δὲ θυμὸν
ἄνδρας τ' εἰσορόων καλλιζώνους τε γυναῖκας,
νῆάς τ' ὠκείας ἠδ' αὐτῶν κτήματα πολλά.

Ἐξ ὧν καταφαίνεται, ὅτι ποικίλοι ἐτελοῦντο ἀγῶνες πυγμαχίας, ὀρχήσεως καὶ ἀοιδῆς, μαρτυροῦντες ὅτι καὶ παρ' Ἴωσι κατ' ἐκείνους τοὺς χρόνους ἡ ἐθνικὴ παιδεία, ἡ γυμναστικὴ καὶ ἡ μουσική, μετὰ ζήλου ἐκαλλιεργεῖτο· ὡς δ' ὑπῆρχε Δώριος ἁρμονία καὶ Αἰολικὴ (ὑποδώριος), οὕτω καὶ Ἰωνική, ἥπερ οὐκ ἦν ἀνθηρά, ὡς φησιν Ἡρακλείδης ὁ Ποντικός, οὐδὲ ἱλαρά, ἀλλ' αὐστηρὰ καὶ σκληρά, ὄγκον ἔχουσα οὐκ ἀγενῆ. διὸ καὶ τῇ τραγῳδίᾳ ἦν προσφιλής.

Ἐν ταῖς Ἰωνικαῖς ἀποικίαις μετὰ τὴν ἐπικὴν ποίησιν ἐβλάστησεν ἡ ἐλεγειακή, ἡ ἰαμβική, ἡ γνωμική, ἡ τῶν σκολιῶν μελῶν, ὧν πρῶτος ποιητὴς μνημονεύεται ὁ Πύθερμος. Ἐν Ἰωνίᾳ ἀνεφάνη ὡσαύτως τὸ πρῶτον ὁ πεζὸς λόγος, ἡ φιλοσοφία, ἡ Ἱστορία, ἡ μαθηματικὴ ἐπιστήμη, ἡ ἀστρονομία καὶ λοιπά. Ἐν Ἰωνίᾳ ἡ χρῆσις τῆς γραφῆς καὶ ἀναγνώσεως κατέστη ἀναγκαιοτέρα ἕνεκα τοῦ ἐμπορίου, μεγάλην ἐπίδοσιν λαβόντος ἀπὸ τῶν μέσων τοῦ ὀγδόου π. Χ. αἰῶνος (ἴδε σελ. 114—116), ἐξ Αἰγύπτου εἰς Ἑλλάδα φέροντος ἄλλα τε καὶ πάπυρον, ὡς τοῦτο ὑπὸ τοῦ σοφοῦ καὶ ἡμετέρου φεβαστοῦ διδασκάλου Egger ἀποδέδεικται, καὶ χρησιμεύοντος οὐ μόνον εἰς ἐμπορευμάτων, ἀλλὰ καὶ εἰς ἰδεῶν ἀνταλλαγήν. Ἐν Ἰωνίᾳ δὲ καὶ ἡ Ἑλληνικὴ ἀλφάβητος συνεπληρώθη τελειοποιηθεῖσα, ἐξ αὐτῆς δὲ μεταδοθεῖσα ὕστερον εἰς Βοιωτίαν καὶ εἰς Ἀττικήν.

Τούτων οὖν οὕτως ἐχόντων οἴκοθεν ἐννοεῖται, ὅτι ἡ αὔξησις τοῦ πνευματικοῦ πλούτου τῶν διδασκαλείων ἦν ἀνάλογος. Ἡ παιδεία τῆς φιλομαθοῦς καὶ προοδευτικῆς ταύτης φυλῆς οὐκέτι ἦν ἀγωγὴ μόνον ἀλλὰ καὶ διδασκαλία καὶ μάθησις καὶ μετάδοσις γνώσεων. Κρηπὶς ἀναντιρρήτως τῆς παιδείας ἦν ὁ Ὅμηρος καὶ οἱ ἄλλοι ποιηταί· ἀλλ' ἐξ οὗ ἀνεφάνη ὁ πεζὸς λόγος, προσελήφθη καὶ οὗτος εἰς χρῆσιν τῆς γραφῆς καὶ ἀναγνώσεως· ὅτι δὲ καὶ τῆς γυμναστικῆς ἐπεμελοῦντο οἱ Ἴωνες, μαρτυρεῖ Ἡρακλείδης ὁ Ποντικός λέγων, ὅτι ἐβρενθύοντο ἐπὶ ταῖς τῶν σωμάτων εὐεξίαις. Ἐν δὲ Χίῳ καὶ αὐταὶ αἱ παρθένοι ἐγυμνάζοντο καὶ προσεπάλαιον τοῖς νέοις, ὡς λέγει ὁ Ἀθήναιος (Γ', σελ. 566)· «Ἐν Χίῳ δὲ τῇ νήσῳ καὶ βυβλίζειν ἥδιστόν ἐστιν ἐπὶ τὰ γυμνάσια καὶ τοὺς δρόμους καὶ ὁρᾶν προσπαλαίοντας τοὺς νέους ταῖς κόραις».

Εὐδαίμονες. χρόνοι! δυστυχῶς ἡ παιδεία τῶν Ἰώνων μεταβολὰς ἐπὶ τὸ χεῖρον ὑπέστη,

ὡς καὶ ὁ χαρακτὴρ αὐτῶν, ὃς τὸ κατ' ἀρχὰς ἥμερος ὤν, οἷος ἐν Ὀδυσσείᾳ περιγράφεται ὁ τῶν Φαιάκων, ὕστερον ἔνεκα τῶν ἐμφυλίων σπαραγμῶν τῶν ὀλιγαρχικῶν καὶ δημοκρατικῶν ἀπέβη σκληρὸς καὶ δυσκατάλλακτος. Τοιοῦτος περιγράφεται παρ' Ἀθηναίῳ ὑπὸ Ἡρακλείδου τοῦ Ποντικοῦ· «ὃ (ἦθος) διαφαίνουσιν οἱ Ἴωνες ἐπὶ ταῖς τῶν σωμάτων εὐεξίαις βρενθυόμενοι καὶ θυμοῦ πλήρεις, δυσκατάλλακτοι, φιλόνεικοι, οὐδὲν φιλάνθρωπον οὐδὲ ἱλαρὸν ἐνδιδόντες, ἀστοργίαν καὶ σκληρότητα ἐν τοῖς ἤθεσιν ἐμφανίζοντες».

Τὸ δὲ φιλόνεικον αὐτῶν ἦθος ἐκ τῶν οἴκων καὶ τῆς ἀγορᾶς παρεισέδυε καὶ εἰς τὰς παλαίστρας τῶν παίδων καὶ στάσεις προὐκάλει, ὅπερ ὁ μὲν Πλάτων ὁμολογεῖ περὶ τῶν Μιλησίων παίδων, ὁ δὲ Αἰλιανὸς περὶ τῶν Κλαζομενίων, ἀφηγούμενος ἀνέκδοτόν τι ἀρκούντως χαρακτηρίζον τὴν ἀνατροφὴν ἣν οἱ παῖδες παρὰ τῶν γονέων αὐτῶν ἐλάμβανον, μεταδιδόντων αὐτοῖς τοῦ ἐν τῇ καρδίᾳ αὐτῶν ἐμφωλεύοντος φθόνου καὶ μίσους τῶν ἀγαθῶν ἀνδρῶν. Ἐν Κλαζομεναῖς ἔζη ἀγαθὸς καὶ ἀνάρετος πολίτης ὁ Τιμησίας, καλῶς διοικήσας τὰ τῆς πόλεως· ἀλλὰ τούτου ἕνεκα ἐφθονεῖτο καὶ ἐμισεῖτο ὑπὸ τῶν πολλῶν· ὁ δὲ καρτερικῶς ἠνείχετο τὸν φθόνον τῶν πολιτῶν· ἀλλ' ὅτε διερχόμενος διὰ διδασκαλείου ἤκουσε, δύο παίδων παιζόντων, τοῦ ἑνὸς πρὸς τὸν ἕτερον φιλονεικοῦντος καὶ ἐπομνύντος «οὕτως ἐγὼ Τιμησίου τὸν ἐγκέφαλον ἐξαράξαιμι» κατενόησεν ὅτι τὸ πάθος τῶν πολιτῶν δεινόν ἐστι καὶ ἀνίατον, ὅτε καὶ εἰς τὴν τρυφερὰν τῶν παίδων καρδίαν εἰσέδυσε· διὸ ἐκὼν τῆς πατρίδος ἀπῆλθε.

Τὰ ἤθη τῶν Ἰώνων ἐξηχρειώθησαν μάλιστα ὅτε τῆς αὐτονομίας ἀπολεσθείσης εἰς ἐπιμιξίαν ἦλθον μετὰ τῶν Λυδῶν καὶ Φρυγῶν καὶ ἄλλων τῆς Ἑλάσσονος Ἀσίας λαῶν, ἡττηθέντες ὑπὸ Κροίσου καὶ ὕστερον ὑπὸ Κύρου. «Ἰώνων δὲ τὸ πολὺ πλῆθος ἠλλοίωται, λέγει ὁ Ἡρακλείδης, διὰ τὸ συμπεριφέρεσθαι τοῖς ἀεὶ δυναστεύουσιν αὐτοῖς τῶν βαρβάρων».

Τούτων ἕνεκα καὶ τοῦ φιλογυμναστεῖν ἀπέσχον ἁβροδίαιτοι γενόμενοι καὶ μαλθακοὶ καὶ ἡδυπαθεῖς. Περὶ Κολοφωνίων λέγει ὁ Φύλαρχος ὅτι «τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν, πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι, προήεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης ὁ Κολοφώνιός φησιν·

Ἁβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
ὅφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
ἤεσαν εἰς ἀγορὴν παναλουργέα φάρ' ἔχοντες,
οὐ μείους ὥς περ χίλιοι εἰς ἐπίπαν,
αὐχαλέοι καίτῃσιν ἀγαλλόμενοι εὐπρεπέεσσιν
ἀσκητοῖς ἀδμὴν χρίμασι δευόμενοι.

Τοὺς Κολοφωνίους ἐμιμήσαντο καὶ οἱ Μιλήσιοι, οἵ γε ἕως μὲν οὐκ ἐτρύφων, ἄλλους τε ἐνίκων καὶ τοὺς ἐπιδραμόντας τὴν Ἀσίαν Σκύθας, ὡς φησιν Ἔφορος, καὶ τὰς τε ἐρ' Ἑλλησπόντῳ πόλεις ἔκτισαν καὶ τὸν Εὔξεινον Πόντον κατῴκισαν πόλεσι λαμπραῖς καὶ πάντες ἐπὶ τὴν Μίλητον ἔθεον· ὡς δὲ ὑπῆχθησαν ἡδονῇ καὶ τρυφῇ, κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγεννήθη ἐπ' αὐτῶν· *Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.* Διὸ καὶ τὸ τῶν Ἰώνων ὄνομα κατεφρονήθη, καὶ ἄλλοι τε ἀπέφευγον αὐτὸ καὶ οἱ Ἀθηναῖοι, «οὐ βουλόμενοι, λέγει ὁ Ἡρόδοτος, Ἴωνες κεκλῆσθαι».

Ἐμφύλιοι λοιπὸν διχόνοιαι, φθόνοι καὶ μίσοι, στάσεις καὶ ἀλληλοφονίαι, τρυφὴ καὶ ἡδυπάθεια καὶ ἀπώλεια τῆς αὐτονομίας, τοιαῦται αἱ αἰτίαι, δι' ἃς προώρως διεσπάσθη ἡ παιδεία τῆς Ἰωνικῆς φυλῆς καὶ ἀπώλεσε τὴν παιδαγωγικὴν αὐτῆς δύναμιν καὶ ἁρμονίαν, καὶ οὔτε παντὸς τῆς Ἰωνίας ἦν ὁμοιόμορφος, οὔτε ἡ σωματικὴ ἀγωγὴ τῇ διανοητικῇ συνεβάδιζεν, οὔτε ἡ διανοητικὴ τῇ ἠθικῇ.

Εἰ δὲ τοιαύτην ἀλλοίωσιν ὑπέστη ἡ ἀγωγὴ τῶν ἀνδρῶν, τί ἂν εἴποιμεν περὶ τῆς τῶν γυναικῶν, αἵτινες ῥᾷον τῶν ἀνδρῶν συνεξωμοιοῦντο τοῖς Ἀσιατικοῖς ἤθεσι, συγγενεῖς οὖσαι καὶ ὁμαίμονες τῶν Καείρων καὶ Λυδῶν, τοὐλάχιστον αἱ γυναῖκες τῆς Μιλήτου καὶ Κολοφῶνος; διότι οἱ πρῶτοι ἄποικοι ἄνευ γυναικῶν ἐλθόντες καὶ κατακλυδόντες τὴν χώραν, τοὺς μὲν γονεῖς ἔσφαξαν, τὰς δὲ παρθένους βίᾳ γυναῖκας αὐτῶν ἐποίησαν. Τοῦτο περὶ Μιλησίων λέγει ὁ Ἡρόδοτος (Α, 146)· «Οἱ δὲ αὐτέων, ἀπὸ τοῦ Πρυτανηίου τοῦ Ἀθηναίων ὁρμηθέντες, καὶ νομίζοντες γενναιότατοι εἶναι Ἰώνων, οὗτοι δὲ οὐ γυναῖκας ἤγαγον εἰς ἀποικίην, ἀλλὰ Καείρας ἔσχον, τῶν ἐφόνευσαν τοὺς γονέας.... Ταῦτα δὲ ἦν γινόμενα ἐν Μιλήτῳ». Περὶ δὲ Κολοφωνίων ἱστορεῖ ὁ ἐκ τῆς αὐτῆς πόλεως ὁρμώμενος Μίμνερμος·

Ἡμεῖς δ' αἰπὺ Πύλον Νηλήιον ἄστυ λιπόντες
Ἰμερτὴν Ἀσίην νησὶν ἀφικόμεθα·
εἰς δ' ἐρατὴν Κολοφῶνα, βίην ὑπέροπλον ἔχοντες,
ἐζόμεθ' ἀργαλέης ὕβριος ἡγεμόνες.

Ὅτι δὲ αἱ δυστυχεῖς αὗται γυναῖκες βίᾳ εἰς γάμον ὑπαχθεῖσαι μετὰ τοῦ αἵματος ἐκληρο-

δότησαν ταῖς ἐπερχομέναις γενεαῖς τοῦ φύλου αὐτῶν καὶ λύπας σπαραξικαρδίους καὶ μελαγχολίας καὶ νευρικὰ νοσήματα, τοῦτο διδάσκουσιν ἡμᾶς οἱ ἱστορικοὶ χρόνοι, καθ' οὓς τὰς παρθένους ἔστιν ὅτε ἀηδία καὶ ἀποστροφὴ τοῦ βίου ἄνευ φανερᾶς αἰτίας κατελάμβανεν. Ὁ Πολύαινος ἱστορεῖ ὅτι «ἐν Μιλήτῳ τὰς παρθένους μανικὸν πάθος κατέσχεν· αἱ πλεῖσται γάρ, μηδεμιᾶς οὔσης συμφορᾶς, ἐξαίφνης αὐτὰς ἀπεβρόχιζον».

Ἡ Ἰὰς λοιπὸν ἀπώλεσε τὴν ἠθικὴν ἐκείνην ἀξιοπρέπειαν τῆς γυναικὸς τῆς Ὁμηρικῆς ποιήσεως, περιορισθεῖσα ἐν τῇ γυναικωνίτιδι· διὰ τοῦτο παρ' Ἴωσιν οὐδεμία γυνὴ ἀνεφάνη μουσοποιὸς καὶ ποιήτρια, οἵαι παρ' Αἰολιεῦσι καὶ Δωριεῦσιν, ἀλλὰ ψάλτριαι καὶ αὐλητρίδες, ταῖς ἡδοναῖς καὶ ταῖς ἀπολαύσεσι τῶν ἀνδρῶν χρησιμεύουσαι· πολλαὶ τὸν πατρικὸν οἶκον φεύγουσαι εἰς τὸν ἑταιρικὸν ἐπεδίδοντο βίον, ὧν οὐκ ὀλίγαι παλλακαὶ καὶ ὄργανα τῶν σατραπῶν καθίσταντο. Τοιαῦται μάλιστα ἦσαν ὅσαι ἐπὶ εὐφυΐᾳ καὶ καλλονῇ διαπρέπουσαι, καὶ ὑψηλοτέρας τυγχάνουσαι ἀνατροφῆς, τὸν πατρικὸν οἶκον ὑπελάμβανον μικρόν, μήτε τὴν καρδίαν αὐτῶν μήτε τὸν νοῦν δυνάμενον πληρῶσαι, ὑπὸ φιλοδοξίας κατακνιζόμεναι μέγα τι διανδραματίσαι πρόσωπον· ἐφ' ᾧ ἐφρόντιζον μετὰ τῶν ἰσχυόντων ἐν ταῖς πόλεσι συζῆν, καὶ δεσπόζειν αὐτῶν καὶ δι' αὐτῶν ἄγειν καὶ φέρειν τὰ κοινά.

Τοιαύτη κατὰ τοὺς μηδικοὺς πολέμους ἐγένετο Θαργηλία ἡ Μιλησία, τέσσαρσι καὶ δέκα συζευχθεῖσα ἀνδράσιν (Ἀθήν. ΙΓ, 608), καὶ πολλὰς Ἑλληνίδας πόλεις δι' αὐτῶν ποιήσασα μηδίζειν· ἦν δὲ τὸ εἶδος πάνυ καλὴ καὶ σοφή· ἀλλὰ διεφθαρμένην ἔχουσα τὴν καρδίαν καὶ τὸ ἦθος, τὴν σοφίαν καὶ τὴν καλλονὴν αὐτῆς ἐπὶ βλάβῃ τοῦ Ἑλληνικοῦ ἔθνους μετεχειρίσατο.

Τὴν Θαργηλίαν ταύτην ἐμιμήσατο καὶ ἡ ὁμόπολις αὐτῇ Ἀσπασία, ὡς φησι Πλούταρχος, (Περικλ. κδ'), οὗ οἱ λόγοι ἔχουσιν ὧδε. «Ἔπει δ' Ἀσπασίᾳ χαριζόμενος δοκεῖ (Περικλῆς) πρᾶξαι τὰ πρὸς Σαμίους, ἐνταῦθ' ἂν εἴη καιρὸς διαπορῆσαι μάλιστα περὶ τῆς ἀνθρώπου, τίνα τέχνην ἢ δύναμιν τοσαύτην ἔχουσα, τῶν τε πολιτικῶν τοὺς πρωτεύοντας ἐχειρώσατο, καὶ τοῖς φιλοσόφοις οὐ φαῦλον οὐδ' ὀλίγον ὑπὲρ ἑαυτῆς παρέσχε λόγον· ὅτι μὲν γὰρ ἦν Μιλησία γένος, Ἀξιόχου θυγάτηρ, ὁμολογεῖται. Φασὶ δ' αὐτὴν Θαργηλίαν τινὰ τῶν παλαιῶν Ἰάδων ζηλώσασαν, ἐπιθέσθαι τοῖς δεινοτάτοις ἀνδράσι. Καὶ γὰρ ἡ Θαργηλία, τό τε εἶδος εὐπρεπὴς γενομένη, καὶ χάριν ἔχουσα μετὰ δεινότητος πλείστοις μὲν Ἑλλήνων συνῴκησεν ἀνδράσι, πάντας δὲ προσεποιήσατο βασιλεῖ τοὺς πλησιάσαντας αὐτῇ καὶ ταῖς πόλεσι μηδισμοῦ δι' ἐκείνων ὑπέσπειρεν ἀρχάς, δυνατωτάτων ὄντων καὶ μεγίστων. Τὴν δὲ Ἀσπασίαν οἱ μὲν ὡς σοφήν τινα καὶ πολιτικὴν ὑπὸ τοῦ Περικλέους σπουδασθῆναι λέγουσι. Καὶ γὰρ Σωκράτης ἔστιν ὅτε μετὰ τῶν γνωρίμων ἐφοίτα, καὶ τὰς γυναῖκας ἀκροασομένας οἱ συνήθεις ἦγον εἰς αὐτήν, καίπερ οὐ κοσμίου προϊσταμένην ἐργασίας οὐδὲ σεμνῆς, ἀλλὰ παιδίσκας ἑταιρούσας τρέφουσαν· Αἰσχίνης δέ φησι καὶ Λυσικλέα τὸν προβατοκάπηλον, ἐς ἀγενοῦς καὶ ταπεινοῦ τὴν φύσιν, Ἀθηναίων γενέσθαι πρῶτον, Ἀσπασίᾳ συνόντα μετὰ τὴν Περικλέους τελευτήν. Ἐν δὲ τῷ Μενεξένῳ τοῦ Πλάτωνος, εἰ καὶ μετὰ παιδιᾶς τὰ πρῶτα γέγραπται, τοσοῦτον γ' ἱστορίᾳ ἔνεστιν, ὅτι δόξαν εἶχε τὸ γύναιον ἐπὶ ῥητορικῇ πολλοῖς Ἀθηναίων ὁμιλεῖν. Φαίνεται μέντοι μᾶλλον ἐρωτική τις ἡ τοῦ Περικλέους ἀγάπησις γενομένη πρὸς Ἀσπασίαν· ἦν μὲν γὰρ αὐτῷ γυνὴ προσήκουσα μὲν κατὰ γένος, συνῳκηκυῖα δ' Ἱππονίκῳ πρότερον, ἐξ οὗ Καλλίαν ἔτεκε τὸν πλούσιον· ἔτεκε δὲ καὶ παρὰ τῷ Περικλεῖ Ξάνθιππον καὶ Πάραλον. Εἶτα τῆς συμβιώσεως οὐκ οὔσης αὐτοῖς ἀρεστῆς, ἐκείνην μὲν ἑτέρῳ βουλομένην συνεξέδωκεν, αὐτὸς δὲ τὴν Ἀσπασίαν λαβὼν ἔστερξε διαφερόντως. Καὶ γὰρ ἐξιὼν, ὡς φασι, καὶ εἰσιὼν ἀπ' ἀγορᾶς ἡσπάζετο μετὰ τοῦ καταφιλεῖν. Οὕτω δὲ τὴν Ἀσπασίαν ὀνομαστὴν καὶ κλεινὴν γενέσθαι λέγουσιν, ὥστε καὶ Κῦρον τὸν πολεμήσαντα βασιλεῖ περὶ τῆς τῶν Περσῶν ἡγεμονίας τὴν ἀγαπωμένην ὑπ' αὐτοῦ μάλιστα τῶν παλλακίδων Ἀσπασίαν ὀνομάσαι, καλουμένην Μιλτὼ πρότερον· ἦν δὲ Φωκαὶς τὸ γένος, Ἑρμοτίμου θυγάτηρ. Ἐν δὲ τῇ μάχῃ Κύρου πεσόντος ἀπαχθεῖσα πρὸς βασιλέα πλεῖστον ἴσχυσε».

Παραλείπομεν τὸν φιλόψογον Ἀθήναιον ὡς οὐδεμιᾶς ἄξιον πίστεως· ἀλλὰ καὶ ἐξ ὧν λέγει ὁ Πλούταρχος οὐκ ἄλλο τι δυνάμεθα συναγαγεῖν ἢ ὅ πρότερον εἴπομεν, ὅτι ἡ Ἀσπασία οὔτε ἠθικὰ κεφάλαια προγενεστέρων γυναικῶν ἦλθε φέρουσα ἐξ Ἰωνίας, οὔτε ἐξ ἑαυτῆς, ἐξ ἀγωγῆς ἢ καὶ ἐκ φύσεως, εἶχε τὴν ἠθικὴν δύναμιν ἀναλαβεῖν τὴν ὑψηλὴν κλῆσιν καὶ ἐπιχειρῆσαι τὴν ἀναγέννησιν τοῦ γυναικείου φύλου διὰ τῆς παιδείας· μόνον παχυλὴ ἄγνοια τῆς ἱστορίας δύναται τοιαύτην ἀποστολὴν ἀναθεῖναι αὐτῇ, ὅτε οὐδὲ περὶ αὐτῆς τῆς Διοτίμης λέγεται τοιοῦτόν τι· εὐχῆς ἔργον ἦν ἡ Ἀσπασία τοιαύτην εἶχεν ἀποστολήν· διότι ἴσως ἐγίνετο ὁλοκάτωμα, ὡς ὁ Σωκράτης, ἀλλὰ τὰ ἀποτελέσματα τῆς διδασκαλίας αὐτῆς ἦσαν ἀναντιρρήτως πολλὰ καὶ μεγάλα, ὡς τὰ τῆς διδασκαλίας τοῦ φιλοσόφου. Ἡ φιλοδοξία ὅμως τῆς Ἀσπασίας ἦν ἄλλη, προσκολληθῆναι, ὡς ἡ Θαργηλία, τοῖς πρωτεύουσι τῶν πολιτικῶν καὶ παρ' αὐτοῖς ἰσχῦσαι· ὅτι δὲ οἱ φίλοι τοῦ Περικλέους ἦγον τὰς γυναῖκας αὐτῶν ἀκροασομένας αὐτῆς, τοῦτο ἦν πάρεργον, καὶ ἐγίνετο μᾶλλον χάριν τοῦ Περικλέους, ἵνα δείξωσιν ὅτι τιμῶσι τὴν γυναῖκα ἣν οὕτω περιπαθῶς οὗτος ἠγάπα· οὐκ ἦγον ὅμως καὶ τὰς κύρας αὐτῶν, ὅπερ ἔδει ποιεῖν, εἰ ὄντως ἡ Ἀσπασία ἠσχολεῖτο περὶ τὴν γυναικείαν ἐκπαίδευσιν· αἱ δὲ αὐστηραὶ ἐπὶ σωφροσύνῃ γυναῖκες ἀπεῖχον φοιτᾶν εἰς τῆς Ἀσπασίας, διότι πολλὰ κατ' αὐτῆς διεθρυλοῦντο ὑπὸ τῶν ἐχθρῶν τοῦ Περικλέους, ὥστε καὶ εἰς δίκην εἰσήχθη κατηγορουμένη ἐπὶ διαφθορᾷ ἠθῶν καὶ μόλις ἐσώθη ὑπὸ τῶν δακρύων τοῦ Περικλέους. Ὁ Περικλῆς περιπαθῶς ἠγάπα αὐτήν, οὐχ ὅμως καὶ αὕτη αὐτόν· διότι τούτου τελευτήσαντος συνῴκησεν εὐθὺς ἑτέρῳ ἀνδρί, τῷ προβατοκαπήλῳ Λυσικλεῖ, ὅπερ μαρτυρεῖ ἀστάθειαν ἠθικοῦ χαρακτῆρος Ἡ γυνὴ τοῦ Περικλέους ὤφειλε μεῖναι αὐτῷ ἐσκεῖ πιστὴ καὶ σεβομένη τὴν μνήμην αὐτοῦ, μίαν καὶ μόνην τοῦ λοιποῦ ἔχουσα φροντίδα καλῶς παιδεῦσαι, ὃν ἐκ τοῦ Περικλέους ἔτεκε, τὸν ὁμώνυμον αὐτῷ, καὶ καταστῆσαι ἄξιον τοῦ πατρός, δεύτερον Περικλέα· ἀλλ' αὕτη ἔσπευσεν ἑτέρῳ συνοικῆσαι ἀνδρί.

Αἱ γυναῖκες ὅμως τῶν ἡρωϊκῶν χρόνων, καθ' Ὅμηρον, οὐκ ἔσπευδον ἑτέρῳ ἀνδρὶ συνοικεῖν, ἀλλ' ἔμενον πισταὶ καὶ μετὰ τὴν τελευτὴν τῷ πρώτῳ ἀνδρί, τὸν δεύτερον γάμον ἀποτροπιαζόμεναι, ὡς ποιοῦσι νῦν αἱ ἠπειρώτιδες. Οὕτως ἐποίησε καὶ ἡ μήτηρ τῶν Γράκχων ἡ Κορνηλία ἀρνησαμένη χάριν τῶν υἱῶν ἐλθεῖν εἰς γάμον, οὐχὶ προβατοκαπήλῳ ἀνδρί, ἀλλὰ τῷ βασιλεῖ Πτολεμαίῳ, προσφέροντι αὐτῇ τὸ βασιλικὸν διάδημα[1]. Οὕτω δὲ φιλοτίμως ἐξέθρεψε τοὺς υἱούς, ὥστε καίτοι ἦσαν ὁμολογουμένως πάντων Ῥωμαίων εὐφυέστατοι, ἐφαίνοντο, λέγει ὁ Πλούταρχος, βέλτιον πεπαιδεῦσθαι ἢ περυκέναι πρὸς ἀρετήν. Τοιοῦτόν τι οὐκ ἔχομεν εἰπεῖν περὶ Ἀσπασίας· οἱ κωμικοὶ λέγουσι τὰ ἐναντία· οἷον, ὁ Εὔπολις ποιεῖ τὸν Περικλέα ἐν τοῖς *Δήμοις* ἐρωτῶντα τὸν Μυρωνίδην,

Ὁ νόμος δέ μοι ξῇ;

τὸν δὲ ἀποκρινόμενον·

καὶ πάλαι γ' ἂν ἦν ἀνήρ,
εἰ μὴ τὸ τῆς πόρνης ὑπωρρώδει κακόν.

Τὸ κακὸν τῆς Ἀσπασίας ἦν ἡ Μιλησία αὐτῆς ἀγωγή, δι' ἣν οὐκ ἠδύνατο ὑπεράνω τῆς πολυγάμου Θαργηλίας ὑψωθῆναι οὐδὲ ἀναλαβεῖν ὑπὲρ τῆς παιδεύσεως τῆς θηλείας νεολαίας τοιαύτην ἀποστολήν, οἵαν ὁ Σωκράτης ὑπὲρ τῆς παιδεύσεως τῶν νέων· διὰ τοῦτο, καίπερ εὐφυὴς καὶ εὐπαίδευτος οὐδὲν σπουδαῖον καὶ ἄξιον λόγου παρήγαγεν, οὐδὲ μαθήτριάν τινα ξένην ἢ ἀστὴν ἀνέδειξεν, ὡς ἡ Σαπφὼ καὶ Ἀνδρομέδα, ὧν αἱ μαθήτριαι ἐκλείσθησαν ἐπὶ ποιητικῇ ἀξίᾳ.

Τοιαύτη ἡ ἀλήθεια περὶ Ἀσπασίας. Ἐκ δὲ τῶν νεωτέρων ἱστορικῶν ὁ μὲν Κούρτιος (II, 227) φίλος τῆς ἰωνικῆς φυλῆς φίλα καὶ περὶ τῆς Ἀσπασίας φρονεῖ, οὐδὲν εὑρίσκων ἐπίψογον οὐδ' αὐτὸ τοῦτο ὅτι πρότυπον ἔσχε μιμήσεως τὴν Θαργηλίαν. «Ἀσπασία, φησί, θυγάτηρ Ἀξιόχου ἦν γυνὴ οἵα ἡ Θαργηλία, ἣ ὡσαύτως ἐκ Μιλήτου καταγομένη, φαίνεται πρότυπον αὐτῇ χρησιμεύσασα· ὡς αὕτη, οὕτως οὐδ' ἡ Ἀσπασία ἐγένετο χυδαίων ἡδονῶν ὄργανον, καθὰ αἱ κοιναὶ ἑταῖραι τῆς Ἰωνίας καὶ τῆς Κορίνθου».

Ἐξαιτούμεθα συγγνώμην παρὰ τοῦ σοφοῦ ἱστορικοῦ ὅλως πρὸς τοῦτο διαφωνοῦντες αὐτῷ· διότι κατὰ τὴν ἡμετέραν κρίσιν ἡ Θαργηλία ἦν χείρων πόρνη τῶν κοινῶν ἑταιρῶν τῆς Ἰωνίας καὶ Κορίνθου. Ἐπειδὴ αὗται μὲν εἶχον πορνικὸν μόνον τὸ σῶμα, ἐκείνη δὲ καὶ τὴν ψυχήν· καὶ αὗται μὲν ἐθήρευον τὴν ἀπώλειαν ἰδιωτῶν,

---

1) Ἡ δὲ πτωχὴ Φριδερίκη Βρικόν, ἡ πρώτη μνηστὴ τοῦ Γαΐθου, καί τι πλέον ἐπείνασεν. Ἐγκαταλειφθεῖσα ὑπὸ τοῦ ποιητοῦ οὐκ ἠθέλησε μετ' ἄλλου ἀνδρὸς συμφευθῆναι, πρὸς τοὺς αἰτοῦντας τὴν χεῖρα αὐτῆς λέγουσα· «Χεὶρ δοθεῖσα ἅπαξ τῷ Γαΐθῃ, οὐ δοθήσεται ἄλλῳ ἀνδρί». Τοιαῦτα ὤφειλε φρονεῖν καὶ λέγειν περὶ Περικλέους καὶ ἡ Ἀσπασία, διότι ὁ Περικλῆς ἦν πολὺ τοῦ ποιητοῦ ὑπέρτερος, οὐδὲ πρὸς αὐτὴν ἔδειξεν ἀστάθειαν χαρακτῆρος, οἵαν ὁ ποιητής· ἀλλ' αἰτοῦμεν Ἀρκαδίαν, τοιαῦτα παρὰ τῆς Ἀσπασίας ἀπαιτοῦντες, πρότυπον παράδειγμα ἐχούσης τὴν συμπολίτιδα αὐτῆς Θαργηλίαν, τεσσαρασκαίδεκα λαβοῦσαν ἄνδρας. Ἠδύνατο λοιπὸν καὶ ἡ Ἀσπασία μεῖναι ἄνευ ἀνδρὸς μετὰ τὸν θάνατον τοῦ Περικλέους;

ἐκείνη δὲ τὴν καταστροφὴν σύμπαντος τοῦ Ἑλληνικοῦ διὰ τῶν πλουσίων καὶ ἰσχυρῶν φίλων, οἷς συνῆκει καὶ διέφθειρε, πιοῦσα μηδίζειν τὰς ἑλληνίδας πόλεις».

«Ἡ Ἀσπασία, λέγει ὁ Κούρτιος, οὐκ ἐπεζήτει μόνον τὴν ἡδονὴν καὶ τὴν πλήρωσιν τῶν ὀρέξεων αὐτῆς, ἀλλὰ καὶ διὰ τῆς καλλονῆς καὶ καλλιεργείας τοῦ πνεύματος αὐτῆς πρὸς ἑαυτὴν τοὺς πρωτεύοντας τῶν ἀνδρῶν προσελκῦσαι, καὶ διὰ τοιούτων δεσμῶν δύναμιν κτήσασθαι καὶ ἐπιρροήν· ἦλθε δὲ εἰς Ἀθήνας καθ' ὃν χρόνον ἦν ἀρεστὸν πᾶν τὸ νέον καὶ ἔκτακτον, πᾶσα πρόοδος καὶ πρόσκτησις γνώσεων, πᾶν τὸ δοκοῦν τὰ κοινῇ παραδεδεγμένα εὐρύνειν. Οὐ πολὺς δὲ παρῆλθε χρόνος καὶ εἶδον ὅτι ἡ Ἀσπασία οὐκ ἐχρῆτο τεχνάσμασιν, ὅπως τῶν καρδιῶν δεσπόζῃ· ἦν φύσις ὑψηλή, πολύδωρος, αἰσθανομένη ἐν παντὶ εἴδει τὸ καλόν, ἐναρμονίως καὶ εὐτυχῶς μεμορφωμένη. Τὸ πρῶτον τότε γυνὴ ἦν κάτοχος σύμπαντος τοῦ θησαυροῦ τοῦ ἑλληνισμοῦ· μετὰ βαθείας δὲ ἐκπλήξεως τὸ θαυμάσιον τοῦτο ἐθεώντα χρῆμα· ἐγίνωσκεν ἐπαγωγῷ χάριτι λαλεῖν περὶ πάντων τῶν σπουδαίων ζητημάτων, περὶ πολιτικῆς, περὶ φιλοσοφίας, περὶ τέχνης, ὥστε οἱ σπουδαιότατοι τῶν Ἀθηναίων καὶ αὐτὸς ὁ Σωκράτης[1] ἐρείτιον ἀκροασόμενοι ἁπλήστως αὐτῆς λεγούσης. Ἀλλ' ἐν Ἀθήναις ἡ προσωπικὴ αὐτῆς ἐνέργεια ἀρχὴν εἴληφεν, ὅτε στενῶς τῷ Περικλεῖ συνεδέθη δι' ἀμοιβαίας ἀγάπης, ἧς ἡ διάρκεια ἀρκούντως δείκνυσιν, ὅτι ὁ δεσμὸς οὗτος ἦν ὑψηλότερόν τι ἢ ἀπόλαυσις τῶν αἰσθήσεων καὶ πρόσκαιρος ἰδιοτροπία· ἦν ἀληθὴς γάμος οὐδενὸς ἄλλου ἐλλείποντος ἢ τῆς ἐπικυρώσεως τοῦ ἀστικοῦ νόμου, τῆς Ἀσπασίας οὐκ οὔσης ἀστῆς[2]· ὑπῆρξε δεσμὸς ὑπὸ τῆς πιστοτάτης καὶ τρυφερωτάτης συγκρατούμενος ἀγάπης, ἣν μόνος ὁ θάνατος διέλυσεν[1]· ἦν πηγὴ ἄρδουσα οἰκιακῆς εὐδαιμονίας, ἧς χρείαν εἶχεν, εἴπερ τις καὶ ἄλλος, ὁ Περικλῆς ζῶν μακρὰν τῶν διαχύσεων, ἀεὶ ἀσχολούμενος περὶ τὰ πολιτικά.

»Ἡ συμβίωσις τοιαύτῃ γυναικὶ ὑπῆρξε πολυειδῶς τῷ Περικλεῖ ἀνεκτίμητον ἀγαθόν· διότι οὐ μόνον πάσας αὐτῆς ταῖς χάρισι τὰς ὥρας τῆς διαχύσεως αὐτοῦ ἔτερπε, καὶ τὸ πολυμέριμνον αὐτοῦ πνεῦμα ἐφαίδρυνεν, ἀλλὰ καὶ ἐν συναφείᾳ αὐτὸν μετὰ τοῦ κοινοῦ βίου συνεκράτει, ἔχουσα ὅ,τι ἔλειπεν αὐτῷ, τρόπον ἐλευθέρου καὶ ἁρμόδιον τοῦ ζῆν μετὰ ποικίλων ἀνθρώπων· ἐγίνωσκεν ὅ,τι ἐν τῇ πόλει συνέβαινεν[3]· ἀλλὰ καὶ τὰ πόρρω γιγνόμενα οὐκ ἐλάνθανον αὐτήν· αὕτη δὲ πρώτη ἐμύησεν αὐτὸν τὴν Σικελικὴν ῥητορικήν, ἀκμάζουσαν τότε· ἐγίγνετο αὐτῷ χρησίμη δι' ὧν εἶχε πολλῶν καὶ ποικίλων σχέσεων ἐν Ἀττικῇ καὶ ἐν ταῖς ξέναις χώραις, καὶ διὰ τῆς ὀξυδερκείας τῆς γυναικείας δεινότητος προσγενομένης αὐτῇ ὑπὸ τῆς πείρας τοῦ κόσμου.

»Ἡ διασημοτάτη λοιπὸν γυνὴ τῶν χρόνων αὐτῆς συνέζη τῷ ἀνδρὶ τῷ κυβερνῶντι τῇ ὑ-

---

1) Ἡ διάλυσις τοῦ δεσμοῦ τούτου καὶ μετὰ θάνατον ἦν σφάλμα τῆς Ἀσπασίας, ὡς εἴρηται. Η. Β.

2) Ταῦτα φαντασιώδη εἰσίν. Ὁ ἐν Ἀθήναις βίος τῆς Ἀσπασίας διαιρεῖται εἰς τρεῖς ἐποχάς. α') Πρὸ τῆς συμβιώσεως μετὰ τοῦ Περικλέους. Ἄγνωστος καὶ ἄνευ δυνάμεως ἐδέχατο τοὺς περιέργους· ἀλλ' ἦν ἑταίρα ἢ ἔτρεφε νέας τὸν ἑταιρικὸν μετερχομένας βίον; Ταῦτα ἴσως εἰσὶ κακοβούλων συκοφαντῶν ἐπινοήματα. β') Συμβίωσις μετὰ τοῦ Περικλέους. Κατὰ ταύτην τὴν ἐποχὴν αἱ σχέσεις τῆς Ἀσπασίας περιωρίσθησαν, εἰ μάλιστα, ὡς φησι Κούρτιος, ἡ Ἀσπασία ἔζη ἐν τῷ οἴκῳ τοῦ Περικλέους· διότι οὐ παντὶ ἦν ἡ εἴσοδος ἐλευθέρα, ἀλλὰ μόνον τοῖς φίλοις τοῦ Περικλέους· διότι οὐδεμίαν εἶχε χρείαν ὁ Περικλῆς τὴν Ἀσπασίαν καταστῆσαι ὑπουργὸν τῆς ἀστυνομίας, ὅπως μανθάνῃ τὰ συμβαίνοντα ἐν τῇ πόλει ἢ διδάσκαλον, ὅπως μάθῃ παρ' αὐτῆς τὴν Σικελικὴν ῥητορικήν, συνδιαλεγόμενος Πρωταγόρᾳ καὶ ἄλλοις σοφισταῖς καὶ φιλίας ἔχων σχέσεις πρὸς τὸν ἐκ Συρακουσῶν μετοικήσαντα Κέφαλον τὸν πατέρα τοῦ Λυσίου. γ') Βίος μετὰ τὸν θάνατον τοῦ Περικλέους. Αἱ σχέσεις τῆς Ἀσπασίας εὐρύτεραι ἐγένοντο, διότι ἦν ἤδη γνωστή, καὶ ἕκαστος ἐπιθυμῶν ἰδεῖν καὶ ἀκοῦσαι αὐτῆς, ἠδύνατο εἰσελθεῖν εἰς τὸν οἶκον αὐτῆς. Κατὰ τοῦτον τὸν χρόνον ἐφοίτα καὶ ὁ Σωκράτης. Η. Β.

---

1) Ὁ Σωκράτης οὐκ ἠνδύκολος εἰσέρχεσθαι παν ταχοῦ. Οὕτως εἰσῆλθε μετά τινων τῶν μαθητῶν αὐτοῦ εἰς τὸν οἶκον τῆς ἑταίρας Θεοδότης, ἢ ἀντὶ τοῦ σαγηνεῦσαι ἐσαγηνεύθη ὑπὸ τοῦ Σωκράτους, ἐφ' ᾧ καὶ εἰσῆλθεν, ὅπως δείξῃ τοῖς μαθηταῖς, ὅτι ἡ σωματικὴ καλλονὴ ὑπόδεεστέρα ἐστὶ τῆς φιλοσοφίας. Οὐδόλως λοιπὸν παράδοξον ὅτι ἐφοίτα εἰς τὸν τῆς Ἀσπασίας οἶκον· παράδοξον ἂν ἦν, εἰ μὴ ἐφοίτα.

2) Ἡ ἀνωμαλία αὕτη, ἡ ἔλλειψις τῆς ἐπικυρώσεως τοῦ ἀστικοῦ νόμου, οὐ μικρὸν συνήργησε τὸν συζυγικὸν δεσμὸν ἔτι στενώτερον καταστῆσαι. Τούτου ἕνεκα καὶ οἱ φίλοι τοῦ Περικλέους χαριζόμενοι αὐτῷ ἦγον τὰς νομίμους αὐτῶν γυναῖκας, ἤτοι τὰς ἀστάς, πρὸς τὴν ξένην, ὅπως διὰ τῶν ἐπισκέψεων τούτων ἀνυψώσωσι τὸ γόητρον αὐτῆς, νομιμοποιοῦντες τρόπον τινὰ τὸν ἀνώμαλον γάμον. Η. Β.

περοχῇ τῆς διανοίας αὐτοῦ τὴν πρώτην τῆς Ἑλλάδος πολιτείαν· ἦν ὁ φίλος καὶ ὁ σύζυγος αὐτῆς, τὸ ὑποκείμενον τῆς πιστῆς ἀροσιώσεως αὐτῆς· καίτοι δὲ οἱ φιλοσκώμμονες τῶν Ἀθηναίων ἦσαν περίεργοι ἀνιχνεύειν ἐν τῷ βίῳ τοῦ Περικλέους τὰ τρωτὰ καὶ ἐπιλήψιμα, οὐδεμία συκοφαντία κατώρθωσε τὴν ἀνώμαλον ταύτην συζυγίαν κηλιδῶσαι καὶ ἀμαυρῶσαι τὴν μνήμην αὐτῆς».

Τούτων πολλά, ὡς ἐσημειωσάμεθα, οὐκ ἀπηλλαγμένα εἰσὶν ὑπερβολῶν· ἄλλοι δὲ πάντα περὶ Ἀσπασίας μῦθον ἡπάσαντο καὶ ἐξώγκωσαν, ὡς εἰ μυθιστόρημα περὶ αὐτῆς συνέγραφον, ἀνθαμιλλώμενοι πρὸς τὸν Γερμανὸν συγγραφέα τοιούτου μυθιστορήματος ὃ καὶ Ἑλληνιστὶ μετεφράσθη. Τὰς κρίσεις τούτων παρατρέχομεν ὡς οὐδενὸς λόγου ἀξίας· ἄλλως ἔχουσιν αἱ κρίσεις τοῦ ἱστορικοῦ Γροτίου καὶ αὐτῶν τῶν τοῦ Κουρτίου πολὺ ὀρθότεραι καὶ μετριώτεραι καὶ τῆς ἀληθείας ἐγγύς.

«Ἡ Ἀσπασία, λέγει, θυγάτηρ Ἀξιόχου, Μιλησία, καλὴ καὶ καλῶς ἀνατεθραμμένη καὶ φιλόδοξος διέμενεν ἐν Ἀθήναις· λέγουσιν, ἀλλ' ἐπ' οὐδεμιᾷ στηρίζονται βεβαίᾳ ἀποδείξει, ὅτι παιδίσκας ἔτρεφε προσερωμένας ἐπὶ χρήμασι τῷ βουλομένῳ· ὅπως ποτ' ἂν ἔχωσι τὰ περὶ τῆς δυσφημίας ταύτης, ἥτις λίαν πιθανῶς μία ἐστὶ τῶν συκοφαντιῶν ὡς ἡ ἐχθροπάθεια τῶν πολιτικῶν ἀντιπάλων τοῦ Περικλέους ἐγέννησεν, βέβαιόν ἐστιν ὅτι αἱ προσωπικαὶ αὐτῆς χάριτες, ἡ εὐφυΐα καὶ ἡ δεινότης, οὐ μόνον ἐν τῷ συνομιλεῖν, ἀλλὰ καὶ ἐν τῷ λέγειν καὶ ἐν τῷ κρίνειν, πλείστου ἄξια ἦσαν, ὥστε οἱ διασημότατοι τῶν πολιτῶν πάσης ἡλικίας καὶ χαρακτῆρος, ἐν οἷς καὶ ὁ Σωκράτης, ἐπεσκέπτοντο αὐτήν, πολλαὶ δὲ καὶ τὰς γυναῖκας αὐτῶν ἦγον ἀκροασομένας αὐτῆς. Αἱ Ἀθηναῖαι ἔζων αὐστηρῶς περιωρισμέναι σχεδὸν κατὰ τὸν ἀσιατικὸν τρόπον πρό τε τοῦ γάμου καὶ μετὰ τὸν γάμον· ὅ,τι δὲ εἰς τὴν ζωήν, εἰς τὴν εὐτυχίαν καὶ εἰς τὰ δίκαια αὐτῶν ἀπέβλεπε, τοῦτο ἦν μέλημα τῶν ἀρρένων συγγενῶν· αὗται δέ, ὡς ἔοικεν, ἦσαν πάσης πνευματικῆς καλλιεργείας καὶ ἀξίας ἄμοιροι· ὥστε ἡ συναναστροφὴ αὐτῶν καὶ συνομιλία οὐδεμίαν εἶχον χάριν καὶ ἡδονήν. Ταῦτα δὲ οἱ ἄνδρες ἐν ταῖς τῶν ἑταιρῶν συναναστροφαῖς εὕρισκον, αἵτινες ἐλεύθερον ἔζων βίον, διώκουν αὐτοὶ τὰς αὐτῶν ὑποθέσεις καὶ ἐπορίζοντο τὰ πρὸς συντήρησιν διὰ τοῦ τρόπου τοῦ ἀρέσκειν. Αἱ τοιαῦται δὲ γυναῖκες ἦσαν πάμπολλαι, καὶ ἀναντιρρήτως πάσας τὰς διαφορὰς παρείχον τοῦ προσωπικοῦ χαρακτῆρος· ὅσαι δὲ αὐτῶν διέπρεπον καὶ ἦσαν τῶν ἄλλων ὑπέρτεραι, εἶαι ἡ Ἀσπασία καὶ ἡ Θεοδότη, ἦσαν αἱ μόναι γυναῖκες ἐν Ἑλλάδι, ἐκτὸς τῶν Ἀκκεδαιμονίων, αἵτινες σφοδρὰ πάθη ἐνέπνευσαν ἡ διανοητικὴν ὑπεροχὴν ἐπέβαλον ἐπὶ τοῖς ἀνδράσιν.

Ὁ Περικλῆς διαζευχθεὶς τὴν προτέραν αὐτοῦ σύζυγον ἑκὼν ἑκοῦσαν, ἐξ ἧς ἔτεκε τὸν Ξάνθιππον καὶ Πάραλον, συνέζη μετὰ τῆς Ἀσπασίας, ἐξ ἧς ἔτεκε τὸν ὁμώνυμον Περικλέα, καὶ μέχρι τῆς τελευτῆς αὐτοῦ τρυφερώτατα αὐτὴν ἠγάπα· οὐδόλως παρακλεχθέντες τὰς ὑπερβολὰς ὅτι τῷ Περικλεῖ μετέδωκε τῆς ῥητορικῆς δεινότητος αὐτῆς, οὐδ' ὅτι συνέτατε λόγους ὑπ' ἄλλων ἀπαγγελλομένους[1] δημοσίᾳ, δυνάμεθα λογικῶς παραδέξασθαι, ὅτι πάντα εἶχε τὰ ἀπαιτούμενα προτερήματα ὅπως συμμετέχῃ καὶ παρακολουθῇ ταῖς φιλολογικαῖς διαλέξεσι τῶν φοιτώντων εἰς τὸν τοῦ Περικλέους οἶκον, περὶ ὧν μετὰ κακοηθείας ἐφλυάρει ὁ ἀνάξιος αὐτοῦ υἱὸς Ξάνθιππος, ἐξ οὗ πολλαὶ καὶ βδελυραὶ συκοφαντίαι κατὰ τοῦ Περικλέους ἐτοξεύθησαν».

Καὶ ἐκ τούτων γενικῶν συμπέρασμα ἐξάγεται, ὅτι ἡ Ἀσπασία ἦν ἔξοχος ἐπὶ καλλονῇ καὶ εὐφυὴς γυνή, ὅτι ἐπλήρωσε τὴν φιλοδοξίαν αὐτῆς συνδεθεῖσα στενῶς τῷ πρώτῳ πολίτῃ τῶν Ἀθηνῶν, ὃς ἀνύψωσεν αὐτὴν καὶ κατέστησε περίβλεπτον· ἀλλ' ὅτι οὐδεμίαν ἔσχε δύναμιν ἐπενεργείας ἐπὶ τῆς τοῦ γυναικείου φύλου πνευματικῆς ἀναπτύξεως.

---

1) Ἡ δοξασία αὕτη ἐγεννήθη ἐκ τῶν μετὰ παιδιᾶς λεγομένων ὑπὸ Πλάτωνος ἐν τῷ Μενεξένῳ. Ὅτε ὁ Πλάτων τῷ στόματι τοῦ Σωκράτους ὑποβάλλει λόγους, οὐδεμίαν ἔχοντας σχέσιν πρὸς τὴν φιλοσοφίαν τοῦ διδασκάλου αὐτοῦ, ποιεῖ αὐτὸν λέγοντα ὅτι παρ' ἄλλων τοὺς λόγους τούτους ἤκουσεν· οἷον, τὸν πρῶτον Ἐρωτικόν, ὃν ἀπαγγέλλει ἐν τῷ Φαίδρῳ, ἀναφέρει ὁ Σωκράτης εἰς τὴν Σαπφὼ ἢ τὸν Ἀνακρέοντα, διότι ὁ λόγος ἐξαλλὸς ἐστι καὶ ποιητικός, τὸν δὲ ἕτερον εἰς Στησίχορον τὸν Ἱμεραῖον, διότι παλινῳδία ἐστίν, ὡς ἡ τοῦ Στησιχόρου περὶ Ἑλένης· τὸν δ' ἐν τῷ Μενεξένῳ Ἐπιτάφιον εἰς τὴν Ἀσπασίαν, διότι πολλὴν ἔχει ὁμοιότητα τῷ Ἐπιταφίῳ τοῦ Περικλέους. Πόθεν ἡ ὁμοιότης αὕτη; διότι ἀμφοτέρους τοὺς Ἐπιταφίους συνέταξεν ἡ Ἀσπασία, λέγει ὁ Σωκράτης· ἀλλ' οἱ Ἐπιτάφιοι τοσοῦτόν εἰσι λόγοι τῆς Ἀσπασίας, ὅσον καὶ οἱ Ἐρωτικοὶ εἰσι λόγοι τῆς Σαπφοῦς καὶ τοῦ Στησιχόρου. Αἱ' αὐτῶν ὁ Πλάτων οὐδὲν ἄλλο ἠθέλησεν ὑποδεῖξαι, ἢ ὅτι τὸν Ἐπιτάφιον τοῦ Περικλέους εἶχεν ὡς πρότυπον καὶ τοῦτον ἐμιμήσατο συντιθεὶς τὸν Μενεξένου. Η. Β.

Ἡ φιλοσοφία τοῦ Νοῦ ἐθαυματούργησεν ἐν Ἀθήναις· ἀλλ' εὗρε τὰ πνεύματα τῶν Ἀθηναίων ὥριμα, ὀργῶντα πρὸς μάθησιν. «Ἐν Ἀθήναις, λέγει ὁ Κούρτιος, ἀρχαῖον ἦν ἔθος τοὺς ἐπὶ συνέσει διαπρεπεῖς Ἕλληνας εὐμενῶς δέχεσθαι, οἱ δὲ πλούσιοι οἶκοι ἄσμενοι τοὺς σοφοὺς ξένους ἐξένιζον δεικνύοντες ὅτι ἡ νέα ἐπιστήμη ἦν παρ' αὐτοῖς ἀσπαστὴ καὶ τιμωμένη». Αἱ γυναῖκες ὅμως τῆς Ἀττικῆς πρὸς τὰς ἐξ Ἰωνίας δυτμενῶς εἶχον, θεωροῦσαι αὐτὰς δικφθορεῖς τῶν ἠθῶν καὶ ὀλεθρίας διδασκάλους, λέγει ὁ Κούρτιος, διότι «ἐν Ἰωνίᾳ ἐξ ἀρχῆς ὁ γάμος ἐν ἐλάσσονι ἐτίθετο μοίρᾳ, ἡ δὲ γυνὴ οὐδέποτε ἴσα ἐτιμήθη τῇ Ἀθηναίᾳ οἰκοδεσποίνῃ. Ἀλλ' ἡ ὑποδεεστέρα αὕτη τῶν Ἰάδων κατάστασις ἐξέκαυσε τὴν φιλαυτίαν αὐτῶν ὅπως ἄλλως διαπρέψωσι, δετμεύουσαι τοὺς ἄνδρας τῇ λεπτῇ καλλιεργείᾳ πασῶν τῶν ἐπαγωγῶν χαρίτων καὶ προτερημάτων, καταλύουσαι δὲ τοὺς πκρεμβαλλομένους φραγμούς, ταῖς δημοσίαις εὐωχίαις προσεγγίζειν. Ἡ Ἀφροδίτη κατέλαβε τὴν θέσιν τῆς σεμνῆς Δήμητρος, τῆς προστάτιδος τῶν ἀγνῶν δεσμῶν. Ὅταν δὲ λάβῃ τις ὑπ'ὄψιν τὸ κράτος τῶν Ἰάδων ἑταιρῶν ἐπὶ σύμπαντος τοῦ πολιτικοῦ βίου, καὶ τὴν δύναμιν τῆς ἐνεργείας ἣν ἔσχον ὕστερον διὰ τῶν ἐπαγωγῶν αὐτῶν προτερημάτων, τῆς χάριτος τῆς γλώσσης αὐτῶν, καὶ τῆς ἐλευθέρας αὐτῶν διανοίας, εἰκότως παραδεχθήσεται ὅτι οὐ μόνον αἱ Ἀθηναῖαι οἰκοδέσποιναι δικαίως ὠργίζοντο κατὰ τῶν ξένων τούτων γυναικῶν, αἵτινες τὰ δίκαια αὐτῶν ὑπέσκαπτον καὶ κατέζεφορντὴν οἰκιακὴν αὐτῶν εὐδαιμονίαν, ἀλλὰ καὶ πάντες οἱ σώφρονες πολῖται ὤφειλον, ὅση αὐτοῖς δύναμις, πᾶν ποιεῖν πρὸς ἀπομάκρυνσιν τῶν ἰωνικῶν ἐπηρειῶν, φοβούμενοι τὸ ἀπάκρυφον δηλητήριον, ὅπερ ἐν τοῖς λαμπροτάτοις προτερήμασι τῆς Ἰωνίας καὶ ἐν αὐτῷ δὴ τῷ πολιτισμῷ αὐτῆς ὑπελάνθανεν».

Ἀγωγὴ τῆς Ἀθηναίας γυναικός.

§ 64. Τούτων οὖν οὕτως ἐχόντων αἱ ἀσταὶ τὴν καλλιέργειαν τοῦ πνεύματος κατὰ τὸν τρόπον τῶν Ἰάδων ἀπέκρυπτον ὡς λύμην, προαιροῦμεναι τὴν ἀμάθειαν μετὰ σωφροσύνης, ἢ τὴν μάθησιν μετ'ἀκολασίας[1], ἐπιμένουσαι τὰς θυγατέρας αὐτῶν ἀνατρέφειν κατὰ τὸν ἀρχαιοπαράδοτον τρόπον, ὃς ἦν ἐμπειρία τις διὰ τῶν πραγμάτων. Τὰ κοράσια διέμενον ἐν τῷ οἴκῳ παρὰ ταῖς μητράσιν αὐτῶν, μανθάνοντα νήθειν, ὑφαίνειν, ῥάπτειν, ποικίλλειν (broder), λευκαίνειν καὶ τὰ ἄλλα τῆς οἰκιακῆς οἰκονομίας ἔργα· ἐμάνθανον δὲ καὶ ᾄδειν καὶ χορεύειν, διότι αἱ παρθένοι μετεῖχον ἔν τισιν ἑορταῖς τῶν θεῶν τῶν θρησκευτικῶν χορῶν καὶ ᾠδῶν, ὅτε καὶ ἐξήρχοντο τῆς πατρικῆς ἑστίας καὶ ἐφαίνοντο δημοσίᾳ. Πρὸς δὲ τούτοις καὶ ὀλίγην γραφὴν καὶ ἀνάγνωσιν ἐδιδάσκοντο ἐν τῷ οἴκῳ ὑπὸ τῶν μητέρων ἢ τῶν τροφῶν αὐτῶν, διότι σχολεῖα θηλέων οὔτε δημόσια οὔτε ἰδιωτικὰ ἐν Ἀθήναις ὑπῆρχον, τῆς ἐξόδου τῶν κορασίων ἐκ τῶν οἴκων νομιζομένης ἀπρεποῦς καὶ ἀσυμβιβάστου τοῖς ἤθεσιν αὐτῶν. Ταῦτα λέγουσιν ἄλλοι τε καὶ ὁ Grasberger *(Erziehung und Unterricht im Klassischen Alterthum III, 508)* «Den Besuch öffentlicher Schulen hielten die Athener für unvereinbar mit jungfräulicher Sittsamkeit». Ὁ δὲ κ. Κάρολος Schmid, ὃς πρότερον (Geschichte des pädagogik 1,222) ἦν γνώμης ὅτι αἱ Ἀθηναῖαι κόραι ὑπὸ θεραπαινίδων ὁδηγούμεναι ἐφοίτων εἰς ἰδιωτικὰ σχολεῖα διδασκαλισσῶν, ἔνθα ἐδιδάσκοντο τὴν στοιχειώδη ἀνάγνωσιν καὶ γραφήν, ᾄδειν τε καὶ κιθαρίζειν, νῦν μετέγνω (Geschichte der Erziehung 1,189) καὶ ἀσπάζεται τὴν γνώμην τοῦ Grasberger, λέγων, «φοιτᾶν εἰς δημόσια σχολεῖα, ὑπελαμβάνετο ἐν Ἀθήναις ἀσυμβίβαστον τοῖς ἤθεσι τῶν κορασίων· περὶ δὲ ἰδιωτικῶν σχολῶν τῶν θηλέων οὐδεμία ἀπόδειξις ὑπάρχει». Κρίνοντες ὅμως ἐκ τῶν γιγνομένων παρὰ τοῖς Ἀσιατικοῖς λαοῖς, ὧν τὰ κοράσια μέχρι δεκαετοῦς ἡλικίας φοιτῶσιν εἰς τὰ σχολεῖα, πιθανὸν νομίζομεν ὅτι ἐπετρέπετο γυναιξί τισι συνάγειν τὰ κοράσια τῶν γειτονικῶν οἴκων καὶ διδάσκειν αὐτὰ στοιχειώδη γραφὴν καὶ ἀνάγνωσιν ᾄδειν τε καὶ χορεύειν· διότι τὰ κοράσια ὤφειλον συνέρχεσθαί που, ὅπως ἐκμανθάνωσι τὰς θρησκευτικὰς ᾠδὰς καὶ τοὺς χορούς, συνᾴδοντα καὶ συγχορεύοντα[1].

1) Ἔστιν ὅμως καὶ μέσος ὅρος, μάθησις μετὰ σωφροσύνης, οἷα ἦν ἡ τῶν Πυθαγορείων γυναικῶν· ἔστι δὲ αὕτη καὶ ὁ κοινὸς σκοπὸς τῶν ἡμετέρων παρθεναγωγείων. Διὸ αἱ διευθύντριαι αὐτῶν ὀφείλουσι προσέχειν μηδὲ προβάλλειν ταῖς μαθητρίαις τὴν Ἀσπασίαν ὡς πρότυπον μιμήσεως πρότυπον λαβοῦσαν μιμήτεως τὴν φαυλόβιον Θχργηλίαν, μηδὲ λέγειν ὅτι καὶ αὐτὸς ὁ Σωκράτης φοιτῶν εἰς τὸν οἶκον τῆς Ἀσπασίας καὶ διδασκόμενος ὑπ' αὐτῆς ἐξήρχετο ἀεὶ σωφρονέστερος ἑαυτοῦ! Ταῦτά εἰσι νοσούσης κεφαλῆς ἑλεεινὰ ἐξιμβλώματα.

1) Ὁ Πλάτων ἐν τοῖς Νόμοις (2, 805, Δ) ἀποφαίνεται· «δεῖ παιδείας τε καὶ τῶν ἄλλων ὅτι μάλιστα κοινωνεῖν τὸ θῆλυ γένος τῷ τῶν ἀρρένων γένει»

Ὅπως ποτ' ἂν ἔχωσι τὰ περὶ τούτου, ἡ ἀγωγὴ τῶν κορασίων ἐν Ἀθήναις ἦν λίαν ἀτελής· διὸ νυμφευόμενα περὶ τὸ δέκατον πέμπτον ἔτος τῆς ἡλικίας αὐτῶν ἦσαν ἀδαῆ καὶ ὅλως ἄπειρα τοῦ κόσμου, ἓν μόνον ἐκ τῆς πατρικῆς ἑστίας ἀποφέροντα ἀγαθόν, ὅπερ ἦν ἡ κρηπὶς τῆς οἰκιακῆς εὐδαιμονίας, τὸ *σωφρονεῖν*. Ὁ Ἰσχόμαχος ἐν τῷ Οἰκονομικῷ τοῦ Ξενοφῶντος λέγει περὶ τῆς γυναικὸς αὐτοῦ, «ἡ ἔτη μὲν οὔπω πεντεκαίδεκα γεγονυῖα ἦλθε πρὸς ἐμέ, τὸν δὲ ἔμπροσθεν χρόνον ἔζη ὑπὸ πολλῆς ἐπιμελείας ὅπως ἐλάχιστα μὲν ὄψοιτο, ἐλάχιστα δὲ ἀκούσοιτο, ἐλάχιστα δὲ ἔροιτο». Διὰ τοῦτο ὅτε τὸ πρῶτον προσεκλήθη ὑπ' αὐτοῦ συμμετασχεῖν τῆς διοικήσεως τοῦ οἴκου, ἀπεκρίνατο, «τί δ' ἂν ἐγώ σοι δυναίμην συμπρᾶξαι; τίς δὲ ἡ ἐμὴ δύναμις; ἀλλ' ἐν σοὶ πάντα ἐστίν· ἐμὸν δ' ἔφησεν ἡ μήτηρ ἔργον εἶναι *σωφρονεῖν*». Ὅτι δὲ περὶ σωφροσύνης μᾶλλον τῶν κορασίων ἢ περὶ παιδεύσεως ἐφρόντιζον ἐν Ἀθήναις, μαρτυρεῖ καί τι χωρίον τῶν Ἀπομνημονευμάτων τοῦ Ξενοφῶντος (Α, ε', 2), ἐν ᾧ λέγεται, ὅτι οἱ διοριζόμενοι ὑπὸ τῶν πατέρων ἐπίτροποι τῶν τέκνων αὐτῶν ὀφείλουσι τὰ μὲν ἄρρενα παιδεύειν, τὰ δὲ θήλεα παρθένους φυλάττειν. «Εἰ δ' ἐπὶ τελευτῇ τοῦ βίου γενόμενοι βουλοίμεθά τῳ ἐπιτρέψαι ἢ παῖδας ἄρρενας παιδεῦσαι ἢ θυγατέρας παρθένους διαφυλάξαι, ἢ χρήματα διασῶσαι».

Τῇ σωφροσύνῃ, τῇ σεμνότητι, καὶ κοσμιότητι τῶν ἠθῶν συνεβάδιζε καὶ ἡ ἐγκράτεια τῆς γλώσσης· «γυναιξὶ κόσμον ἡ σιγὴ φέρει» λέγει καὶ ὁ Σοφοκλῆς. Τοιαύτης οὔσης τῆς παρθένου ἐν Ἀθήναις, ὅτε εἰς γάμον ἤρχετο, τῷ ἀνδρὶ αὐτῆς ἀπέκειτο ἀναλαβεῖν τὴν φροντίδα τῆς περαιτέρω ἀγωγῆς καὶ παιδεύσεως αὐτῆς· ἀλλ' οἱ πλεῖστοι τῶν συζύγων μικρὰν ἢ οὐδεμίαν ἐδίδοσαν προσοχήν, ἐλάχιστα ταῖς γυναιξὶν αὐτῶν συνδιαλεγόμενοι, ὡς λέγει ὁ Σωκράτης πρὸς τὸν Κριτόβουλον ἐν τῷ Οἰκονομικῷ τοῦ Ξενοφῶντος· «ἔστιν ὅτῳ ἄλλῳ τῶν σπουδαίων πλείω ἐπιτρέπεις ἢ τῇ γυναικί; Οὐδενί, ἔφη. Ἔστι δ' ὅτῳ ἐλάττονα διαλέγει ἢ τῇ γυναικί; Εἰ δὲ μή, οὐ πολλοῖς γε, ἔφη. Ἔγημας δ' αὐτὴν παῖδα νέαν μάλιστα καὶ ὡς ἠδύνατο ἐλάχιστα ἑωρακυῖαν καὶ ἀκηκουῖαν; Μάλιστα. Οὐκοῦν πολὺ θαυμαστότερον εἴ τι ὧν δεῖ λέγειν ἢ πράττειν ἐπίσταιτο ἢ εἴ τι ἐξαμαρτάνοι;»

Δικαίως ἐν τούτοις ὁ Σωκράτης ὑπευθύνους τῶν γυναικείων ἁμαρτημάτων καθίστησι τοὺς ἄνδρας, ὀλιγωροῦντας τῆς ἀγωγῆς καὶ παιδεύσεως καὶ διαφωτίσεως τῶν γυναικῶν· διότι αἱ Ἀθηναῖαι οὔτε ἀγαθῆς φύσεως ἦσαν ἄμοιροι οὔτε ἀνεπίδεκτοι γενναίων φρονημάτων· ἦσαν δὲ φίλαι τοῦ οἰκιακοῦ βίου, φίλανδροι, φιλόστοργοι μητέρες καὶ φιλάδελφοι. Ἐξ αὐτῶν ἠρύσαντο ὁ Σοφοκλῆς καὶ ὁ Εὐριπίδης τοὺς λαμπροὺς ἐκείνους χαρακτῆρας τῆς Ἀντιγόνης, τῆς Ἰφιγενείας, τῆς Ἀλκήστιδος, τῆς Πολυξένης. Τὰ γυναικεῖα ταῦτα πρόσωπα τῆς τραγῳδίας αἱ Ἀθηναῖαι εἰς τὸ θέατρον φοιτῶσαι ἁπλήστως ἐθεῶντο καὶ ἐνεθουσίων, ἐπὶ ταῖς ἀποφάσεσι καὶ πράξεσιν αὐτῶν ἐναβρυνόμεναι.

Πρότυπον τῆς ἀγαθῆς φύσεως τῶν Ἀθηναίων γυναικῶν ἐστιν ἡ σύζυγος τοῦ Ἰσχομάχου προθύμως ὑπακούουσα τῇ διδασκαλίᾳ καὶ ταῖς συμβουλαῖς αὐτοῦ καὶ γενομένη οἵαν ἐκεῖνος ηὔχετο καὶ αὐτὴ ἐπεθύμει, ἀρίστη οἰκονόμος καὶ οἰκοδέσποινα.

Ὁ Ἰσχόμαχος, εὐπατρίδης Ἀθηναῖος, ἦν ἐξ ἐκείνων οἷς οἱ Ἀθηναῖοι ἀπένεμον τὴν ἐπίζηλον προσηγορίαν (ἴδε § 62, σελ. 277) *καλὸς κἀγαθός*, ἦν φίλεργος. Ὁ Σωκράτης ἰδών ποτε αὐτὸν ἐν τῇ τοῦ Διὸς Ἐλευθερίου Στοᾷ καθήμενον ἠρώτᾳ, «Τί, ὦ Ἰσχόμαχε, οὐ μάλα εἰωθὼς σχολάζειν κάθησαι; Ἦπαί τά γε πλεῖστα

ἀποδοκιμάζων τὸ γιγνόμενον ἐν Ἀθήναις· ἀνὴρ γὰρ δή, φησι, τό γε παρ' ἡμῖν ὧδέ ἐστι περὶ τούτων γιγνόμενον· εἷς τινα μίαν οἴκησιν ξυμφορήσαντες τὸ λεγόμενον πάντα χρήματα παρέδομεν ταῖς γυναιξὶ διαταμιεύειν τε καὶ κερκίδων ἄρχειν καὶ πάσης τα-λασίας». Ὁ Πλάτων παραγγέλλει τὰ παιδία, ἄρρενά τε καὶ θήλεα κοινῇ συνέρχεσθαι ἀπὸ τριετοῦς μέχρι ἑξαετοῦς ἡλικίας, ὕστερον δὲ χωρίζεσθαι καὶ συνέρχεσθαι χωρὶς μὲν τοὺς κόρους, χωρὶς δὲ τὰς κόρας· οἰκοδομῆσαι δὲ κατὰ μέσην τὴν πόλιν γυμνάσια ἅμα καὶ διδασκαλεῖα κοινὰ τριχῇ διηρημένα· τὰ δὲ δίδακτρα τῶν διδασκόντων τὴν πόλιν ἀποτίνειν· ἐξυνιέναι δὲ εἰς τὰ κατὰ κώμας ἱερὰ δεῖ πάντα ἤδη τὰ τηλικαῦτα παιδία, ἀπὸ τριετοῦς μέχρι τῶν ἓξ ἐτῶν, κοινῇ τὰ τῶν κωμητῶν εἰς ταὐτὸν ἕκαστα· τὰς δὲ τροφοὺς ἔτι ἰῶν τηλικούτων κοσμιότητός τε καὶ ἀκολασίας ἐπιμελεῖσθαι·—μετὰ δὲ τὸν ἑξέτη καὶ τὴν ἑξέτιν διακρινέσθω μὲν ἤδη τὸ γένος ἑκατέρων, κόροι μὲν μετὰ κόρων, παρθένοι δὲ ὡσαύτως μετ' ἀλλήλων τὴν διατριβὴν ποιείσθωσαν· πρὸς δὲ τὰ μαθήματα τρέπεσθαι χρεὼν ἑκατέρους». Ἀλλ' ὁ Πλάτων ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷ βουλόμενος τὰς παρθένους, πλὴν τῆς γυμναστικῆς καὶ τῆς μουσικῆς, κοινωνεῖν καὶ τῶν ἄλλων, περὶ ἃ ἠσκοῦντο οἱ νέοι, τῶν τόξων, ἀκοντίων, σφενδονήσεως, ἱππεύειν, ὅπως ἡ ζωὴ πᾶσα ἀνδρῶν καὶ γυναικῶν ἡ κοινή· «καὶ γὰρ οὖν οὕτωσί πως δεῖ περὶ αὐτῶν διανοηθῆναι· φέρε, μὴ μετεχουσῶν ἀνδράσι γυναικῶν κοινῇ τῆς ζωῆς πάσης, μῶν οὐκ ἀνάγκη γενέσθαι γέ τινα τάξιν ἑτέραν αὐταῖς;»

ἢ πράττοντά τι ὁρῶ σε ἢ οὐ πάνυ σχολάζοντα ἐν τῇ ἀγορᾷ. Οὐδὲ ἂν νῦν γε, ἔφη ὁ Ἰσχόμαχος, ὦ Σώκρατες, ἐώρας, εἰ μὴ ξένους τινὰς συνιόντας ἐνθάδε· ἦν φίλος τῶν καλλονῶν τῆς φύσεως ὡς καὶ τῶν καλῶν ἠθῶν· ἠγάπα τὴν τάξιν οὐ μόνον διότι ὠφελιμός ἐστιν ἀλλὰ καὶ διότι καλή, καὶ τοῦτο ἐδίδασκε τὴν γυναῖκα αὐτοῦ· «Ἴστι δ' οὐδὲν οὕτως, ὦ γύναι, οὔτ' εὔχρηστον οὔτε καλὸν ἀνθρώποις ὡς τάξις· καὶ γὰρ χορὸς ἐξ ἀνθρώπων συγκείμενός ἐστιν, ἀλλ' ὅταν μὲν ποιῶσιν ὅ,τι ἂν τύχῃ ἕκαστος, ταραχή τις φαίνεται καὶ θεᾶσθαι ἀπρεπής· ὅταν δὲ τεταγμένως ποιῶσι καὶ φθέγγωνται, ἅμα οἱ αὐτοὶ οὗτοι καὶ ἀξιοθέατοι δοκοῦσιν εἶναι καὶ ἀξιάκουστοι». Ὁ Ἰσχόμαχος δείκνυσι τὰ ἐκ τῆς τάξεως καλὰ καὶ τὰ ἐκ τῆς ἀταξίας κακὰ ἔν τε τοῖς στρατοῖς καὶ ἐν τοῖς πλοίοις· «διὰ τί δὲ ἄλλο ἄλυποι ἀλλήλοις εἰσὶν οἱ ἐμπλέοντες ἢ διότι ἐν τάξει μὲν κάθηνται, ἐν τάξει δὲ πρωνεύουσιν, ἐν τάξει δ' ἀναπίπτουσιν, ἐν τάξει δ' ἐμβαίνουσι καὶ ἐκβαίνουσιν; ἡ δ' ἀταξία ὅμοιόν τί μοι δοκεῖ εἶναι οἷόν περ εἰ γεωργὸς ὁμοῦ ἐμβάλοι κριθὰς καὶ πυροὺς καὶ ὄσπρια· κἄπειτα ὁπότε δέοι ἢ μάζης ἢ ἄρτου ἢ ὄψου, διαλέγειν δέοι αὐτῷ ἀντὶ τοῦ λαβόντα διευκρινημένοις χρῆσθαι». Τελευτῶν δὲ δείκνυσιν ὅτι ἡ τάξις καλὴ καὶ ἐν αὐτοῖς τοῖς μικροῖς καὶ εὐτελέσι σκεύεσι[1] τῆς οἰκίας· «ὡς δὲ καλὸν φαίνεται, ἐπειδὰν ὑποδήματα ἐφεξῆς κέηται, κἂν ὁποῖα ᾖ, καλὸν δὲ ἱμάτια κεχωρισμένα ἰδεῖν, κἂν ὁποῖα ᾖ, καλὸν δὲ στρώματα, καλὸν δὲ χαλκία, καλὸν δὲ τὰ ἀμφὶ τραπέζας, καλὸν δὲ καὶ ὃ πάντων καταγελάσειεν ἂν μάλιστα οὐχ ὁ σεμνὸς ἀλλ' ὁ κομψός, ὅτι καὶ χύτρας φημὶ εὔρυθμον φαίνεσθαι εὐκρινῶς κειμένας· τὰ δὲ ἄλλα ἤδη που ἀπὸ τούτου ἅπαντα καλλίω φαίνεται κατὰ κόσμον κείμενα· χορὸς γὰρ σκευῶν ἕκαστα φαίνεται, καὶ τὸ μέτον δὲ τούτων καλὸν φαίνεται, ἐκποδὼν ἑκάστου κειμένου· ὥσπερ κύκλιος χορὸς οὐ μόνον αὐτὸς καλὸν θέαμά ἐστιν, ἀλλὰ καὶ τὸ μέσον αὐτοῦ καλὸν καὶ καθαρὸν φαίνεται».

Ὁ Ἰσχόμαχος ἠγάπα τὴν γεωργίαν καὶ ἠσχολεῖτο περὶ αὐτήν, διότι φιλάνθρωπος καὶ πρακτικὴ τέχνη, μήτηρ καὶ τροφὸς τῶν ἄλλων τεχνῶν, ὠφελιμωτάτη, ἡδίστη καὶ καλλίστη, γυμνάσιον τοῦ σώματος καὶ τῆς ψυχῆς καὶ προπαιδεία τῶν πολεμικῶν ἔργων, εὐσεβὴς ὢν πρὸς τοὺς θεούς, φιλόπατρις καὶ ἀγαθὸς φίλος, ἱκανὰ ἐκ τῆς γεωργίας ἐπορίζετο, ὅπως τοὺς μὲν θεοὺς θεραπεύῃ μεγαλοπρεπῶς, ὑπὲρ δὲ τῆς πόλεως δαπανᾷ, τοὺς δὲ φίλους ἀνακουφίζῃ ἐρχόμενος αὐτοῖς ἀρωγός. «Ἡδύ γέ μοι δοκεῖ, λέγει πρὸς τὸν Σωκράτην, καὶ θεοὺς μεγαλείως τιμᾶν καὶ φίλους, ἤν τινος δέωνται, ἐπωφελεῖν καὶ τὴν πόλιν μηδὲν κατ' ἐμὲ χρήμασιν ἀκόσμητον εἶναι».

Πρὸς δὲ τοὺς δούλους οὐκ ἦν σκληρὸς καὶ ἀπάνθρωπος, ἀλλ' ἐπιεικῶς καὶ φιλανθρώπως προσεφέρετο, διδάσκων αὐτοὺς λόγῳ καὶ πείθων ὅτι συμφέρει αὐτοῖς εἶναι φιλέργους, φιλοπόνους σώφρονας καὶ ἐγκρατεῖς, τοὺς ἐπιμελεῖς καὶ φιλοτίμους ἀμείβων καὶ ἐπαινῶν καὶ φερόμενος πρὸς αὐτοὺς ὡς πρὸς ἐλευθέρους, καὶ εὔνους αὐτοὺς ἑαυτῷ καθιστὰς διὰ τῶν εὐεργεσιῶν. «Τὸ εὐνοεῖν ἐμοὶ καὶ τοῖς ἐμοῖς ἐγὼ πρῶτον πειρῶμαι παιδεύειν. Καὶ πῶς, ἐγὼ ἔφην, πρὸς τῶν θεῶν εὔνοιαν ἔχειν σοὶ καὶ τοῖς σοῖς διδάσκεις ὄντινα ἂν βούλῃ; Εὐεργετῶν νὴ Δί', ἔφη ὁ Ἰσχόμαχος, ὅταν τινὸς ἀγαθοῦ οἱ θεοὶ ἀφθονίαν διδῶσιν ἡμῖν». —«Αἱ δὲ φιλότιμοι τῶν φύσεων καὶ τῷ ἐπαίνῳ παροξύνονται· πεινῶσι γὰρ τοῦ ἐπαίνου οὐχ ἧττον ἔνιαι τῶν φύσεων, ἢ ἄλλαι τῶν σίτων τε καὶ ποτῶν». —«οὓς δ' ἂν αὖ καταμάθω μὴ τῷ πλέον ἔχειν μόνον διὰ τὴν δικαιοσύνην ἐπαιρομένους δικαίους εἶναι, ἀλλὰ καὶ τοῦ ἐπαινεῖσθαι ἐπιθυμοῦντας ὑπ' ἐμοῦ, τούτοις ὥσπερ ἐλευθέροις ἤδη χρῶμαι, οὐ μόνον πλουτίζων ἀλλὰ καὶ τιμῶν ὡς καλούς τε κἀγαθούς· τούτῳ γάρ μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, διαφέρειν ἀνὴρ φιλότιμος ἀνδρὸς φιλοκερδοῦς, τῷ ἐθέλειν ἐπαίνου καὶ τιμῆς ἕνεκα καὶ πονεῖν ὅπου δεῖ καὶ κινδυνεύειν καὶ αἰσχρῶν κερδῶν ἀπέχεσθαι».

Τοιοῦτος ἦν ὁ Ἰσχόμαχος, εἰς τὴν διοίκησιν τοῦ οἴκου αὐτοῦ, τὸν λόγον καὶ τὴν πειθὼ μεταχειριζόμενος, καὶ ποιῶν ἐν αὐτῷ βασιλεύειν τὴν τάξιν, τὴν ἁρμονίαν, τὴν εἰρήνην, τὴν εὐημερίαν. «La grande qualité d'Ischomaque, ce qui donne à son caractère un charme si pénétrant, c'est le talent de gouverner et de persuader; aux yeux de Xénophon, c'est le plus beau de tous». A. Croiset αὐτ. σελ. 173.

Κατὰ τοῦτο διαφέρουσι πρὸς ἀλλήλους οἱ ἄρχοντες καὶ γεωργικῇ καὶ πολιτικῇ καὶ οἰκονομικῇ καὶ πολεμικῇ, διότι οἱ μὲν αὐτῶν παρέχονται τοὺς ἀρχομένους πειθηνίους καὶ προθύμως ὑπηρετοῦντας, οἱ δὲ ἀπειθεῖς καὶ ἀπροθύμους· «οἱ δὲ θεῖοι καὶ ἀγαθοὶ καὶ ἐπιστήμονες ἄρχοντες τοὺς αὐτοὺς πολλάκις δὲ καὶ ἄλλους παραλαμβάνοντες, αἰσχυνομένους τε ἔχουσιν αἰσχρόν τι ποιεῖν καὶ πείθεσθαι οἰομένους βέλτιον, καὶ ἀγαλλομένους τῷ πείθεσθαι ἕνα ἕκαστον καὶ σύμπαντας πονεῖν ὅταν δεήσῃ, οὐκ ἀθύμως πονοῦντας· ἀλλ' ὥσπερ ἰδιώταις ἔστιν οἷς ἐγγίγνεται ἐθελοπονία τις, οὕτω καὶ ὅλῳ τῷ στρατεύματι ὑπὸ τῶν ἀγαθῶν ἀρχόντων ἐγγίγνεται καὶ τὸ φιλοπονεῖν καὶ τὸ φιλοτιμεῖσθαι ὀφθῆναι καλόν τι ποιοῦντας ὑπὸ τοῦ ἄρχοντος· πρὸς ὄντινα δ' ἂν ἄρχοντα διατεθῶσιν οὕτως οἱ ἑπόμενοι, οὗτοι δὴ ἐρρωμένοι γε ἄρχοντες γίγνονται, οὐ μὰ Δί', οὐχ οἳ ἂν αὐτῶν ἄριστοι τὸ σῶμα τῶν στρατιωτῶν ἔχωσι καὶ ἀκοντίζωσι καὶ τοξεύωσιν ἄριστα καὶ ἵππον ἄριστον ἔχοντες ὡς ἱππικώτατα ἢ πελταστικώτατα προκινδυνεύωσιν, ἀλλ' οἳ ἂν δύνωνται ἐμποιῆσαι τοῖς στρατιώταις ἀκολουθητέον εἶναι καὶ διὰ πυρὸς καὶ διὰ παντὸς κινδύνου. *Τούτους δὴ δικαίως ἂν τις καλοίη μεγαλογνώμονας, ᾧ ἂν ταῦτα γιγνώσκοντες πολλοὶ ἕπωνται, καὶ μεγάλῃ χειρὶ εἰκότως οὗτος λέγοιτο πορεύεσθαι, οὗ ἂν τῇ γνώμῃ πολλαὶ χεῖρες ὑπηρετεῖν ἐθέλωσι, καὶ μέγας τῷ ὄντι οὗτος ἀνὴρ ὃς ἂν μεγάλα δύηται γνώμῃ διαπράξασθαι μᾶλλον ἢ ῥώμῃ.* Οὕτω δὲ καὶ ἐν τοῖς ἰδίοις ἔργοις, ἄν τε ἐπίτροπος ἄν τις ἄν τε καὶ ἐπιστάτης, ὃς ἂν δύνηται προθύμους καὶ ἐντεταμένους παρέχεσθαι εἰς τὸ ἔργον καὶ συνεχεῖς, οὗτοι δὴ οἱ ἀνύοντες εἰσὶν ἐπὶ τἀγαθά καὶ πολλὴν τὴν περιουσίαν ποιοῦντες». Ὁ δὲ δεσπότης οὗ ἡ παρουσία ὑπεκκαίει τὸν ζῆλον καὶ τὴν φιλοτιμίαν τῶν ἐργαζομένων, οὗτος ἔχει βασιλικὸν ἦθος· «ὧν ἂν ἰδόντες κινηθῶσι καὶ μένος ἑκάστῳ ἐμπέσῃ τῶν ἐργατῶν καὶ φιλονεικία πρὸς ἀλλήλους καὶ φιλοτιμία κρατίστη οὖσα ἑκάστῳ, τοῦτον ἐγὼ φαίην ἂν ἔχειν τι ἤθους βασιλικοῦ[1]· καὶ ἔστι ταῦτο μέγιστον, ὡς ἐμοὶ δοκεῖ, ἐν παντὶ ἔργῳ ὅπου τι δι' ἀνθρώπων πράττεται».

Τοιαύτας ἀρχὰς ἐπεχείρησεν ὁ Ἰσχόμαχος ἐμφυσῆσαι καὶ τῇ γυναικὶ αὐτοῦ, ὅπως καταστήσῃ αὐτὴν ἀξίαν ἑαυτοῦ καὶ ὑπερτέραν ἑαυτοῦ ἐν τῇ διοικήσει τοῦ οἴκου· διότι λέγει που πρὸς αὐτήν· «τὸ δὲ πάντων ἥδιστον, ἐὰν βελτίων ἐμοῦ φανῇς, καὶ ἐμὲ σὸν θεράποντα ποιήσῃ»· οὐχ ὡς ἡ Ὀμφάλη ἐποίησε τὸν Ἡρακλέα, οὐδ' ὡς αἱ ἑταῖραι τῆς Ἰωνίας τοὺς ὁμιλοῦντας αὐταῖς. Τοιαύτη θεραπεία τοῦ συζύγου πρὸς τὴν σύζυγον ἡδίστη ἐστί, διότι ἔρως ἐστὶν ἐν τῷ γάμῳ· ἴδωμεν οὖν πῶς ἤρξατο καὶ πῶς ἐξεπαίδευσεν αὐτὴν ὁ Ἰσχόμαχος.

Ὁ Σωκράτης ἀκούων ἐπαινουμένην ὑπὸ Ἰσχομάχου τὴν σύζυγον αὐτοῦ, ὅτι καλῶς τὰ τοῦ οἴκου διοικεῖ, ἐρωτᾷ εἰ αὕτη ἦλθεν ἐκ τοῦ πατρικοῦ οἴκου πεπαιδευμένη, ἢ αὐτὸς ἐξεπαίδευσεν αὐτήν. Οὕτω λαμβάνων ἀφορμὴν ὁ Ἰσχόμαχος ἀφηγεῖται τὸν τρόπον τῆς διδασκαλίας αὐτοῦ. Τὸ μέρος τοῦτο τῶν Οἰκονομικῶν ἄξιον ὂν ἀναγνώσεως καὶ σπουδαίας μελέτης καταχωρίζομεν ἐνταῦθα, διότι πάνυ ὀλίγοι τῶν ἡμετέρων ἐπέστησαν εἰς αὐτό, ὅσον ἔδει, τὴν προσοχὴν αὐτῶν. «Ἀλλὰ καὶ τοῦτο, ἔφην, ἔγωγε, ὦ Ἰσχόμαχε, πάνυ ἂν ἡδέως σου πυθοίμην πότερα αὐτὸς σὺ ἐπαίδευσας τὴν γυναῖκα ὥστε εἶναι οἵαν δεῖ ἡ ἐπισταμένην ἔλαβες παρὰ τοῦ πατρὸς καὶ μητρὸς διοικεῖν τὰ προσήκοντα αὐτῇ. Καὶ τί ἄν, ἔφη, ὦ Σώκρατες, ἐπισταμένην αὐτὴν παρέλαβον, ἢ ἔτη μὲν οὕπω πεντεκαίδεκα γεγονυῖα ἦλθε πρὸς ἐμέ, τὸν δ' ἔμπροσθεν χρόνον ἔζη ὑπὸ πολλῆς ἐπιμελείας, ὅπως ὡς ἐλάχιστα μὲν ὄψοιτο, ἐλάχιστα δὲ ἀκούσοιτο, ἐλάχιστα δὲ ἔροιτο; Οὐ γὰρ ἀγαπητόν σοι δοκεῖ εἶναι εἰ μόνον ἦλθεν ἐπισταμένη ἔρια παραλαβοῦσα ἱμάτιον ἀποδεῖξαι, καὶ ἑωρακυῖα ὡς ἔργα ταλάσια θεραπαίναις δέδοται; ἐπεὶ τά γε ἀμφὶ γαστέρα, ἔφη, πάνυ καλῶς, ὦ Σώκρατες, ἦλθε πεπαιδευμένη, ὅπερ μέγιστον ἔμοί γε δοκεῖ παίδευμα εἶναι καὶ ἀνδρὶ καὶ γυναικί. Τὰ δ' ἄλλα, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, αὐτὸς ἐπαίδευσας τὴν γυναῖκα ὥστε ἱκανὴν εἶναι ὧν προσήκει ἐπιμελεῖσθαι; Οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὐ πρίν γε καὶ ἔθυσα καὶ ηὐξάμην ἐμέ τε τυγχάνειν διδάσκοντα καὶ ἐκείνην μανθάνειν τὰ βέλτιστα ἀμφοτέροις ἡμῖν. Οὐκοῦν, ἔφην ἐγώ, καὶ ἡ γυνή σοι συνέθυε καὶ συννύχετο τὰ αὐτὰ ταῦτα; Καὶ μάλα γε, ἔφη ὁ Ἰσχόμαχος, πολλὰ ὑποσχομένη μὲν πρὸς τοὺς θεοὺς γενέσθαι οἵαν δεῖ, καὶ εὔδηλος ἦν ὅτι οὐκ ἀμελήσει τῶν διδασκομένων. Πρὸς θεῶν, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, τί πρῶτον διδάσκειν ἤρχου αὐτήν, διηγοῦ μοι· ὡς ἐγὼ ταῦτ'ἂν

1) «Il termine ces louanges par les lignes suivantes, où règne un sentiment si délicat de la vraie élégance, tel que la Grèce l'entendait et la réalisait, en la mêlant sans effort aux actions les plus vulgaires de la vie». Alfred Croiset, Xénophon son Caractère et son Talent pag. 172.

1) «Ischomaque a l'âme d'un roi: il a, pour parler plus simplement, l'art de se faire aimer et de se faire obéir· la première personne, sur laquelle il exerce cet empire de bienveillance et de raison est sa propre femme». Croiset.

ἥδιον σοῦ διηγουμένου ἀκούοιμι ἢ εἴ μοι γυμνικὸν ἢ ἱππικὸν ἀγῶνα τὸν κάλλιστον διηγοῖο. Καὶ ὁ Ἰσχόμαχος ἀπεκρίνατο, Τί δ'; ἔφη, ὦ Σώκρατες, ἐπεὶ ἤδη μοι χειροήθης ἦν καὶ ἐτετιθάσευτο ὥστε διαλέγεσθαι, ἠρόμην αὐτήν, ἔφη, ὧδέ πως· Εἰπέ μοι, ὦ γύναι, ἆρα ἤδη κατενόησάς τινος ποτὲ ἕνεκα ἐγώ τε σὲ ἔλαβον καὶ οἱ σοὶ γονεῖς ἔδοσάν σε ἐμοί; ὅτι μὲν γὰρ οὐκ ἀπορίᾳ ἦν μεθ' ὅτου ἄλλου ἐκαθεύδομεν ἄν, οἶδ' ὅτι καὶ σοὶ καταφανές τοῦτ' ἐστί· βουλευόμενος δ' ἔγωγε ὑπὲρ ἐμοῦ καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ τίν' ἂν κοινωνὸν βέλτιστον οἴκου τε καὶ τέκνων λάβοιμεν, ἐγώ τε σὲ ἐξελεξάμην καὶ οἱ σοὶ γονεῖς, ὡς ἐοίκασιν, ἐκ τῶν δυνατῶν ἐμέ· τέκνα μὲν οὖν, ἦν θεός ποτε διδῷ ἡμῖν γενέσθαι, τότε βουλευσόμεθα περὶ αὐτῶν ὅπως ὅτι βέλτιστα παιδεύσομεν αὐτά· κοινὸν γὰρ ἡμῖν καὶ τοῦτο ἀγαθόν, συμμάχων καὶ γηροβοσκῶν ὅτι βελτίστων τυγχάνειν. Νῦν δὲ δὴ οἶκος ἡμῖν ὅδε κοινός ἐστιν· ἐγώ τε γὰρ ὅσα μοι ἔστιν ἅπαντα εἰς τὸ κοινὸν ἀποφαίνω, σύ τε ὅσα ἠνέγκω πάντα εἰς τὸ κοινὸν κατέθηκας· καὶ οὐ τοῦτο δεῖ λογίζεσθαι πότερος ἆρα ἀριθμῷ πλείω συμβέβληται ἡμῶν, ἀλλ' ἐκεῖνο δεῖ εὖ εἰδέναι ὅτι ὁπότερος ἂν ἡμῶν βελτίων κοινωνὸς ᾖ, οὗτος τὰ πλείονος ἄξια συμβάλλεται· ἀπεκρίνατο δέ μοι, ὦ Σώκρατες, πρὸς ταῦτα ἡ γυνή, Τί δ' ἂν ἐγώ σοι, ἔφη, δυναίμην συμπρᾶξαι; τίς δὲ ἡ ἐμὴ δύναμις; ἀλλ' ἐν σοὶ πάντα ἐστίν· ἐμὸν δ' ἔφησεν ἡ μήτηρ ἔργον εἶναι σωφρονεῖν. Ναὶ μὰ Δί', ἔφην ἐγώ, ὦ γύναι, καὶ γάρ ἐμοὶ ὁ πατήρ· ἀλλὰ σωφρόνων τοί ἐστι καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτω ποιεῖν ὅπως τά τε ὄντα ὡς βέλτιστα ἕξει καὶ ἄλλα ὅτι πλεῖστα ἐκ τοῦ καλοῦ τε καὶ δικαίου προσγενήσεται. Καὶ τί δή, ἔφη, ὀρᾷς, ἡ γυνή, ὅ,τι ἂν ἐγὼ ποιοῦσα συναύξοιμι τὸν οἶκον; Ναὶ μὰ Δί', ἔφην ἐγώ, ἅ τε οἱ θεοὶ ἔφυσάν σε δύνασθαι καὶ ὁ νόμος συνεπαινεῖ, ταῦτα πειρῶ ὡς βέλτιστα ποιεῖν. Καὶ τί δὴ ταῦτα ἔστιν; ἔφη ἐκείνη. Οἶμαι μὲν ἔγωγε, ἔφην, οὐ τὰ ἐλαχίστου ἄξια, εἰ μή πέρ γε καὶ ἡ ἐν τῷ σμήνει ἡγεμὼν μέλιττα ἐπ' ἐλαχίστου ἀξίοις ἔργοις ἐφέστηκεν. Ἐμοί γάρ τοι, ἔφη φάναι, καὶ οἱ θεοί, ὦ γύναι, δοκοῦσι πολὺ διεσκεμμένως μάλιστα τὸ ζεῦγος τοῦτο συντεθεικέναι ὃ καλεῖται θῆλυ καὶ ἄρρεν, ὅπως ὅτι ὠφελιμώτατον ᾖ αὐτῷ εἰς τὴν κοινωνίαν· πρῶτον μὲν γὰρ τοῦ μὴ ἐκλιπεῖν ζώων γένη τοῦτο τὸ ζεῦγος κεῖται μετ' ἀλλήλων τεκνοποιούμενον, ἔπειτα τὸ γηροβοσκοὺς κεκτῆσθαι ἑαυτοῖς ἐκ τούτου τοῦ ζεύγους τοῖς γοῦν ἀνθρώποις πορίζεται. Ἔπειτα δὲ καὶ ἡ δίαιτα τοῖς ἀνθρώποις οὐχ ὥσπερ τοῖς κτήνεσίν ἐστιν ἐν ὑπαίθρῳ, ἀλλὰ στεγνῶν δεῖται δῆλον ὅτι· δεῖ μέν τοι τοῖς μέλλουσιν ἀνθρώποις ἕξειν ὅ,τι εἰσφέρωσιν εἰς τὸ στεγνὸν τοῦ ἐργασομένου τὰς ἐν τῷ ὑπαίθρῳ ἐργασίας· καὶ γὰρ νεατός καὶ σπόρος καὶ φυτεία καὶ νομαὶ ὑπαίθρια ταῦτα πάντα ἔργα εἰσίν. Ἐκ τούτων δὲ τὰ ἐπιτήδεια γίγνεται· δεῖ δ' αὖ, ἐπειδὰν ταῦτα εἰσενεχθῇ εἰς τὸ στεγνόν, καὶ τοῦ σώσοντος ταῦτα καὶ τοῦ ἐργασομένου δ' ἃ τῶν στεγνῶν ἔργα δεόμενά ἐστι, στεγνῶν δὲ δεῖται καὶ ἡ τῶν νεογνῶν τέκνων παιδοτροφία, στεγνῶν δὲ καὶ αἱ ἐκ τοῦ καρποῦ σιτοποιίαι δέονται· ὡσαύτως δὲ καὶ ἡ τῆς ἐσθῆτος ἐκ τῶν ἐρίων ἐργασία. Ἐπεὶ δ' ἀμφότερα ταῦτα καὶ ἔργων καὶ ἐπιμελείας δεῖται τά τε ἔνδον καὶ τὰ ἔξω, καὶ τὴν φύσιν, φάναι, εὐθὺς παρεσκεύασεν ὁ θεός, ὡς ἐμοὶ δοκεῖ, τὴν μὲν τῆς γυναικὸς ἐπὶ τὰ ἔνδον ἔργα καὶ ἐπιμελήματα, τὴν δὲ τοῦ ἀνδρὸς ἐπὶ τὰ ἔξω ἔργα καὶ ἐπιμελήματα. Ῥίγη μὲν γὰρ καὶ θάλπη καὶ ὁδοιπορίας καὶ στρατείας τοῦ ἀνδρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν μᾶλλον δύνασθαι καρτερεῖν κατεσκεύασεν· ὥστε τὰ ἔξω ἐπέταξεν αὐτῷ ἔργα· τῇ δὲ γυναικὶ ἧττον τὸ σῶμα δυνατὸν πρὸς ταῦτα φύσας, τὰ ἔνδον ἔργα αὐτῇ, φάναι ἔφη, προστάξαι μοι δοκεῖ ὁ θεός. Εἰδὼς δὲ ὅτι τῇ γυναικὶ καὶ ἐνέφυσε καὶ προσέταξε τὴν τῶν νεογνῶν τέκνων τροφὴν καὶ τοῦ στέργειν τὰ νεογνὰ βρέφη πλεῖον αὐτῇ ἐδάσατο ἢ τῷ ἀνδρί. Ἔπει δὲ καὶ τὸ φυλάττειν τὰ εἰσενεχθέντα τῇ γυναικὶ προσέταξε, γιγνώσκων ὁ θεὸς ὅτι πρὸς τὸ φυλάττειν οὐ κάκιόν ἐστι φοβερὸν εἶναι τὴν ψυχήν, πλεῖον μέρος καὶ τοῦ φόβου ἐδάσατο τῇ γυναικὶ ἢ τῷ ἀνδρί. Εἰδὼς δὲ ὅτι καὶ ἀρήγειν αὖ δεήσει, ἐάν τις ἀδικῇ, τὸν τὰ ἔξω ἔργα ἔχοντα, τούτῳ αὖ πλεῖον μέρος τοῦ θράσους ἐδάσατο· ὅτι δὲ ἀμφοτέροις δεῖ καὶ διδόναι καὶ λαμβάνειν, τὴν μνήμην καὶ τὴν ἐπιμέλειαν ἀμφοτέροις κατέθηκεν· ὥστε οὐκ ἂν ἔχοις διελεῖν πότεροι τὸ ἔθνος τὸ θῆλυ ἢ τὸ ἄρρεν τούτων πλεονεκτεῖ· καὶ τὸ ἐγκρατεῖς δὲ εἶναι ὧν δεῖ, εἰς τὸ μέσον ἀμφοτέροις κατέθηκε, καὶ ἐξουσίαν ἐποίησεν ὁ θεὸς ὁπότερος ἂν ᾖ βελτίων, εἴθ' ὁ ἀνὴρ εἴθ' ἡ γυνή, τοῦτον καὶ πλεῖον φέρεσθαι τούτου τοῦ ἀγαθοῦ· διὰ δὲ τὸ τὴν φύσιν μὴ πρὸς πάντα ταὐτὰ ἀμφοτέρων εὖ πεφυκέναι, διὰ τοῦτο καὶ δέονται μᾶλλον ἀλλήλων καὶ τὸ ζεῦγος ὠφελιμώτερον ἑαυτῷ γεγένηται, ἃ τὸ ἕτερον ἐλλείπεται τὸ ἕτερον δυνάμενον. Ταῦτα δέ, ἔφην, δεῖ ἡμᾶς, ὦ γύναι, εἰδότας ἃ ἑκατέρῳ

ἡμῶν προστέτακται ὑπὸ τοῦ θεοῦ, πειρᾶσθαι ὅπως ὡς βέλτιστα τὰ προσήκοντα ἑκάτερον ἡμῶν διαπράττεσθαι· συνεπαινεῖ δέ, ἔφη φάναι, καὶ ὁ νόμος αὐτά, συζευγνὺς ἄνδρα καὶ γυναῖκα, καὶ κοινωνοὺς ὥσπερ τῶν τέκνων ὁ θεὸς ἐποίησεν, οὕτω καὶ ὁ νόμος τοῦ οἴκου κοινωνοὺς καθίστησι· καὶ καλὰ δὲ εἶναι ὁ νόμος ἀποδείκνυσιν ἃ ὁ θεὸς ἔφυσεν ἑκάτερον μᾶλλον δύνασθαι· τῇ μὲν γὰρ γυναικὶ κάλλιον ἔνδον μένειν ἢ τῶν ἔξω ἐπιμελεῖσθαι· εἰ δέ τις παρ' ἃ ὁ θεὸς ἔφυσε ποιεῖ, ἴσως τι καὶ ἀτακτῶν τοὺς θεοὺς οὐ λήθει καὶ δίκην δίδωσιν ἀμελῶν τῶν ἔργων τῶν ἑαυτοῦ ἢ πράττων τὰ τῆς γυναικὸς ἔργα· δοκεῖ δέ μοι, ἔφην, καὶ ἡ τῶν μελιττῶν ἡγεμὼν τοιαῦτα ἔργα ὑπὸ τοῦ θεοῦ προστεταγμένα διαπονεῖσθαι. Καὶ ποῖα δή, ἔφη ἐκείνη, ἔργα ἔχουσα ἡ τῶν μελιττῶν ἡγεμὼν ἐξομοιοῦται τοῖς ἔργοις οἷς ἐμὲ δεῖ πράττειν; Ὅτι, ἔφην ἐγώ, ἐκείνη γε ἐν τῷ σμήνει μένουσα οὐκ ἐᾷ ἀργοὺς τὰς μελίττας εἶναι, ἀλλ' ἃς μὲν δὴ ἔξω ἐργάζεσθαι ἐκπέμπει ἐπὶ τὸ ἔργον, καὶ ἃ ἂν αὐτῶν ἑκάστη εἰσφέρῃ οἶδέ τε καὶ δέχεται, καὶ σώζει ταῦτα ἕως τ' ἂν δέῃ χρῆσθαι· ἐπειδὰν δὲ ἡ ὥρα τοῦ χρῆσθαι ἥκῃ, διανέμει τὸ δίκαιον ἑκάστῃ· καὶ ἐπὶ τοῖς ἔνδον δὲ ἐξυφαινομένοις κηρίοις ἐφέστηκεν, ὡς καλῶς καὶ ταχέως ὑφαίνηται, καὶ τοῦ γιγνομένου τόκου ἐπιμελεῖται ὡς ἐκτρέφηται· ἐπειδὰν δὲ ἐκτραφῇ καὶ ἀξιοεργοὶ οἱ νεοττοὶ γένωνται, ἀποικίζει αὐτοὺς σὺν τῶν ἐπιγιγνομένων τινὶ ἡγεμόνι. Ἦ καὶ ἐμὲ οὖν, ἔφη ἡ γυνή, δεήσει ταῦτα ποιεῖν; Δεήσει μέντοι σε, ἔφην ἐγώ, ἔνδον τε μένειν καὶ οἷς μὲν ἂν ἔξω τὸ ἔργον ᾖ τῶν οἰκετῶν, τούτους συνεκπέμπειν, οἷς δ' ἂν ἔνδον ἔργον ἐργαστέον, τούτων σοι ἐπιστατητέον, καὶ τά τε εἰσφερόμενα ἀποδεκτέον, καὶ ἃ μὲν ἂν αὐτῶν δέῃ δαπανᾶν, σοὶ διανεμητέον, ἃ δ' ἂν περιττεύειν δέῃ, προνοητέον καὶ φυλακτέον ὅπως μὴ ἡ εἰς τὸν ἐνιαυτὸν κειμένη δαπάνη εἰς τὸν μῆνα δαπανᾶται· καὶ ὅταν ἔρια εἰσενεχθῇ σοι, ἐπιμελητέον ὅπως οἷς δεῖ ἱμάτια γίγνηται· καὶ ὃ γε ξηρὸς σῖτος ὅπως καλῶς ἐδώδιμος γίγνηται ἐπιμελητέον· ἔν μέντοι τῶν σοὶ προσηκόντων, ἔφην ἐγώ, ἐπιμελημάτων ἴσως ἀχαριστότερον δόξει εἶναι, ὅτι ὃς ἂν κάμνῃ τῶν οἰκετῶν, τούτων σοι ἐπιμελητέον πάντων ὅπως θεραπεύηται. Νὴ Δί', ἔφη ἡ γυνή, ἐπιχαριτώτατον[1] μέν οὖν, ἦν μέλλωσί γε οἱ καλῶς θεραπευθέντες χάριν εἴσεσθαι καὶ εὐνούστεροι ἢ πρόσθεν ἔτεσθαι· καὶ ἐγώ, ἔφη ὁ Ἰσχόμαχος, ἀγαπητὸς αὐτῆς τὴν ἀπόκρισιν εἶπον· Ἀρά γε, ὦ γύναι, διὰ τοιαύτας τινὰς προνοίας καὶ τὴν ἐν τῷ σμήνει ἡγεμόνα αἱ μέλιττα οὕτω διατίθενται πρὸς αὐτήν, ὥστε ὅταν ἐκείνη ἐκλίπῃ, οὐδεμία οἴεται τῶν μελιττῶν ἀπολειπτέον εἶναι, ἀλλ' ἕπονται πᾶσαι; καὶ ἡ γυνή μοι ἀπεκρίνατο· Θαυμάζοιμ'

ζῷα· ὅσα δὲ τοιοῦτον ἦν τὸ ἦθος τῶν Ἀθηναίων γυναικῶν μαρτυρεῖ καὶ ὁ Εὐριπίδης τοιοῦτον ποιήσας τὸν χαρακτῆρα τῆς Ἀλκήστιδος, περὶ ἧς λέγει ὁ θεράπων,

πόντες δ' ἔκλαιον οἰκέται κατὰ στέγας
δέσποιναν οἰκτείροντες· ἡ δὲ δεξιὰν
προὔτεινε' ἑκάστῳ, κοὔτις ἦν οὕτω κακὸς
ὃν οὐ προσεῖπε, καὶ προσερρήθη πάλιν.

Ὁ δὲ ῥωμαῖος Κάτων οὐδόλως φιλανθρώπως πρὸς τοὺς δούλους προσεφέρετο, διότι τούτους πρεσβυτέρους γινομένους ἥττο δεῖν ἀποδίδοσθαι, καὶ μὴ βόσκειν ἀχρήστους· ἐξ ὧν λαμβάνων ἁφορμὴν ὁ Πλούταρχος διαμαρτύρεται κατὰ τῆς τοσαύτης σκληρότητος. «Τὸ τοῖς οἰκέταις ὡς ὑποζυγίοις ἀποχρησάμενον ἐπὶ γήρως ἐλαύνειν καὶ πιπράσκειν ἀτενοῦς ἄγαν ἤθους ἔγωγε τίθεμαι, καὶ μηδὲν ἀνθρώπῳ πρὸς ἄνθρωπον οἰομένου κοινώνημα τῆς χρείας πλέον ὑπάρχειν. Καίτοι τὴν χρηστότητα τῆς δικαιοσύνης πλατύτερον τόπον δοῦμεν ἐπιλαμβάνουσαν, νόμῳ μὲν γὰρ καὶ τῷ δικαίῳ πρὸς ἀνθρώπους μόνον χρῆσθαι πεφύκαμεν, πρὸς εὐεργεσίας δὲ καὶ χάριτας ἔστιν ὅτε καὶ μέχρι τῶν ἀλόγων ζώων ὥσπερ ἐκ πηγῆς πλουσίας ἀπορρεῖ τῆς ἡμερότητος· καὶ γὰρ ἵππων ἀπειρηκότων ὑπὸ χρόνου τροφὰς καὶ κυνῶν οὐ σκυλακείαι μόνον ἀλλὰ καὶ γηροκομίαι τῷ χρηστῷ προσήκουσιν. Ὁ δὲ τῶν Ἀθηναίων δῆμος οἰκοδομῶν τὸν Ἑκατόμπεδον ὅσας κατενόησαν ἡμιόνους μάλιστα τοῖς πόνοις ἐγκαρτερούσας ἀπέλυσαν ἐλευθέρας νέμεσθαι καὶ ἀφέτους, ὧν μίαν φασὶ καταβαίνουσαν ἀφ' ἑαυτῆς πρὸς τὰ ἔργα τοῖς ἀνάγουσι τὰς ἁμάξας ὑποζυγίοις εἰς ἀκρόπολιν συμπαρατρέχειν καὶ προηγεῖσθαι καθάπερ ἐγκελευομένην καὶ συνεξορμῶσαν, ἣν καὶ τρέφεσθαι δημοσίᾳ μέχρι τελευτῆς ἐψηφίσαντο . . . . οὐ γὰρ ὡς ὑποδήμασιν ἢ σκεύεσι τοῖς ψυχὴν ἔχουσι χρηστέον κοπέντα καὶ κατατριβέντα ταῖς ὑπηρεσίαις ἀπορριπτοῦντας, ἀλλ' εἰ διὰ μηδὲν ἄλλο, μελέτης ἕνεκα τοῦ φιλανθρώπου προεθιστέον ἑαυτὸν ἐν τούτοις πρᾶον εἶναι καὶ μείλιχον. Ἐγὼ μὲν οὖν οὐδὲ βοῦν ἂν ἐργάτην διὰ γῆρας ἀποδοίμην, μή τι γε πρεσβύτερον ἄνθρωπον, ἐκ χώρας συντρόφου καὶ διαίτης συνήθους ὥσπερ ἐκ πατρίδος μεθιστάμενον ἀντὶ κερμάτων μικρῶν, ἃ χρηστόν γε τοῖς ὠνουμένοις ὥσπερ τοῖς πιπράσκουσι γενησόμενον».

1) Ἡ χαριεστάτη γυνὴ τοῦ Ἰσχομάχου ἀνήκει τῇ φυλῇ ἐκείνῃ, ἣ φιλανθρώπως καὶ ἡμέρως οὐ μόνον πρὸς τοὺς δούλους προσεφέρετο ἀλλὰ καὶ πρὸς τὰ

ἄν, ἔφη, εἰ μὴ πρὸς σὲ μᾶλλον τείνοι τὰ τοῦ ἡγεμόνος ἔργα ἢ πρὸς ἐμέ· ἡ γὰρ ἐμὴ φυλακὴ τῶν ἔνδον καὶ διανομὴ γελοία τις ἄν, οἶμαι, φαίνοιτο, εἰ μή σύ γε ἐπιμελοῖο ὅπως ἔζωθέν τι εἰσφέροιτο. Γελοῖα δ' αὖ, ἔφην ἐγώ, ἡ ἐμὴ εἰσφορὰ φαίνοιτ' ἄν, εἰ μὴ εἴη ὅστις τὰ εἰσενεχθέντα σώζοι. Οὐχ ὁρᾷς, ἔφην ἐγώ, οἱ εἰς τὸν τετριμμένον πίθον ἀντλεῖν λεγόμενοι ὡς οἰκτείρονται, ὅτι μάτην πονεῖν δοκοῦσι; Νὴ Δί', ἔφη ἡ γυνή, καὶ γὰρ τλήμονές εἰσιν, εἰ τοῦτό γε ποιοῦσιν. Ἄλλαι δέ τοι, ἔφην ἐγώ, ἴδιαι ἐπιμέλειαι, ὦ γύναι, ἡδεῖαί σοι γίγνονται, ὁπόταν ἀνεπιστήμονα ταλασίας λαβοῦσα ἐπιστήμονα ποιήσῃς, καὶ διπλασίᾳ σοι ἄξια γένηται, καὶ ὁπόταν ἀνεπιστήμονα ταμιείας καὶ διακονίας παραλαβοῦσα ἐπιστήμονα καὶ πιστὴν καὶ διακονικὴν ποιησαμένη παντὸς ἀξίαν ἔχῃς, καὶ ὁπόταν τοὺς μὲν σώφρονάς τε καὶ ὠφελίμους τῷ σῷ οἴκῳ ἐξῇ σοι εὖ ποιῆσαι, ἐὰν δέ τις πονηρὸς φαίνηται, ἐξῇ σοι κολάσαι· τὸ δὲ πάντων ἥδιστον, ἐὰν *βελτίων ἐμοῦ φαίνῃς, καὶ ἐμὲ σὺν θεράποντα ποιήσῃς*, καὶ μὴ δέῃ σε φοβεῖσθαι μὴ προϊούσης τῆς ἡλικίας ἀτιμοτέρα ἐν τῷ οἴκῳ γένῃ, ἀλλὰ πιστεύῃς ὅτι πρεσβυτέρα γιγνομένη ὅσῳ ἂν καὶ ἐμοὶ κοινωνὸς καὶ παισὶν οἴκου φύλαξ ἀμείνων γίγνῃ, τοσούτῳ καὶ τιμιωτέρα ἐν τῷ οἴκῳ ἔσει. Τὰ γὰρ καλά τε κἀγαθά, ἐγώ ἔφην, οὐ διὰ τὰς ὡραιότητας, ἀλλὰ διὰ τὰς ἀρετὰς εἰς τὸν βίον τοῖς ἀνθρώποις ἐπαύξεται. Τοιαῦτα μέν, ὦ Σώκρατες, δοκῶ μεμνῆσθαι αὐτῇ τὰ πρῶτα διαλεχθείς..»

Καὶ τί δή; ἡ γυνὴ ἐδόκει σοι, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, πῶς τι ὑπακούειν, ὧν αὐ ἐσπούδαζες διδάσκων; Τί δέ, εἰ μὴ ὑπισχνεῖτό γε ἐπιμελήσεσθαι καὶ φανερὰ ἦν ἡδομένη ἰσχυρῶς, *ὥσπερ ἐξ ἀμηχανίας εὑρίσκων τινὰ εὕρεσιν*...

Τὴν δὲ ταμίαν ἐποιησάμεθα ἐπισκεψάμενοι, ἥτις ἐδόκει ἡμῖν εἶναι ἐγκρατεστάτη καὶ γαστρὸς καὶ οἴνου καὶ ὕπνου καὶ ἀνδρῶν συνουσίας· πρὸς τούτοις δὲ ἦ τὸ μνημονικὸν μάλιστα ἐδόκει ἔχειν καὶ τὸ προνοεῖν μή τι κακὸν λάβῃ παρ' ἡμῶν ἀμελοῦσα, καὶ σκοπεῖν ὅπως χαριζομένη τι ἡμῖν ὑφ' ἡμῶν ἀντιτιμήσεται. Ἐδιδάσκομεν δὲ αὐτὴν καὶ εὐνοϊκῶς ἔχειν πρὸς ἡμᾶς, ἂν εὐφραινώμεθα, τῶν εὐφροσυνῶν μεταδιδόντες, καὶ εἴ τι λυπηρὸν εἴη, εἰς ταῦτα παρακαλοῦντες· καὶ τὸ προθυμεῖσθαι δὲ συναύξειν τὸν οἶκον ἐπαιδεύομεν αὐτήν, ἐπιγιγνώσκειν αὐτὴν ποιοῦντες καὶ τῆς εὐπραγίας αὐτῇ μεταδιδόντες· καὶ δικαιοσύνην δ' αὐτῇ ἐνεποιοῦμεν τιμιωτέρους τιθέντες τοὺς δικαίους τῶν ἀδίκων καὶ ἐπιδεικνύοντες πλουσιώτερον καὶ ἐλευθεριώτερον βιοτεύοντας τῶν ἀδίκων· καὶ αὐτὴν δὲ ἐν ταύτῃ τῇ χώρᾳ κατετάττομεν. Ἐπὶ δὲ τούτοις πᾶσιν εἶπον, ἔφη, ὦ Σώκρατες, ἐγὼ τῇ γυναικὶ ὅτι πάντων τούτων οὐδὲν ὄφελος, εἰ μὴ αὐτὴ ἐπιμελήσεται ὅπως διαμένῃ ἑκάστῳ ἡ τάξις. Ἐδίδασκον δὲ αὐτὴν ὅτι καὶ ἐν ταῖς εὐνομουμέναις πόλεσιν οὐκ ἀρκεῖν δοκεῖ τοῖς πολίταις ἢν νόμους καλοὺς γράψωνται, ἀλλὰ καὶ νομοφύλακας προσαιροῦνται, οἵτινες ἐπισκοποῦντες τὸν μὲν ποιοῦντα τὰ νόμιμα ἐπαινοῦσιν, ἢν δέ τις παρὰ τοὺς νόμους ποιῇ, ζημιοῦσι. Νομίσαι οὖν ἐκέλευον, ἔφη, τὴν γυναῖκα καὶ αὐτὴν νομοφύλακα τῶν ἐν τῇ οἰκίᾳ εἶναι καὶ ἐξετάζειν δέ, ὅταν δόξῃ αὐτῇ, τὰ σκεύη, ὥσπερ ὁ φρούραρχος τὰς φυλακὰς ἐξετάζει, καὶ δοκιμάζειν εἰ καλῶς ἕκαστον ἔχει, ὡς περ ἡ βουλὴ ἵππους καὶ ἱππέας δοκιμάζει, καὶ ἐπαινεῖν δὲ καὶ τιμᾶν ὥσπερ βασίλισσαν τὸν ἄξιον ἀπὸ τῆς παρούσης δυνάμεως, καὶ λοιδορεῖν καὶ κολάζειν τὸν τούτων δεόμενον. Πρὸς δὲ τούτοις ἐδίδασκον αὐτήν, ἔφη, ὡς οὐκ ἂν ἄχθοιτο δικαίως εἰ πλείω αὐτῇ πράγματα προστάττω ἢ τοῖς οἰκέτας περὶ τὰ κτήματα, ἐπιδεικνύων ὅτι τοῖς μὲν οἰκέταις μέτεστι τῶν δεσποσύνων χρημάτων τοσοῦτον ὅσων φέρειν ἢ θεραπεύειν ἢ φυλάττειν, χρῆσθαι δὲ οὐδενὶ αὐτῶν ἔξεστιν, ὅτῳ ἂν μὴ δῷ ὁ κύριος· δεσπότου δὲ ἅπαντά ἐστιν ᾧ ἂν βούληται ἕκαστα χρῆσθαι· ὅτῳ οὖν καὶ σωζομένων μεγίστη ὄνησις καὶ φθειρομένων μεγίστη βλάβη, τούτῳ καὶ τὴν ἐπιμέλειαν μάλιστα προσήκουσαν ἀπέφαινον. Τί οὖν, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, ταῦτα ἀκούσασα ἡ γυνὴ πῶς σοι ὑπήκουε; Τί δέ, ἔφη, εἰ μὴ εἰπέ γέ μοι, ὦ Σώκρατες, ὅτι οὐκ ὀρθῶς γιγνώσκοιμι, εἰ οἰοίμην χαλεπὰ ἐπιτάττειν διδάσκων ὅτι ἐπιμελεῖσθαι δεῖ τῶν ὄντων· χαλεπώτερον γὰρ ἄν, ἔφη φάναι, εἰ αὐτῇ ἐπέταττον ἀμελεῖν τῶν ἑαυτῆς ἢ εἰ ἐπιμελεῖσθαι δεήσει τῶν οἰκείων ἀγαθῶν· πεφυκέναι γὰρ δοκεῖ, ἔφη, ὥσπερ καὶ τέκνων ῥᾷον τὸ ἐπιμελεῖσθαι τῇ σώφρονι τῶν ἑαυτῆς ἢ ἀμελεῖν, οὕτω καὶ τῶν κτημάτων ὅσα ἴδια ὄντα εὐφραίνοι ἥδιον τὸ ἐπιμελεῖσθαι νομίζειν ἔφη εἶναι τῇ σώφρονι τῶν ἑαυτῆς ἢ ἀμελεῖν». Θαυμάσια! ἡ μητρικὴ συμβουλὴ ἐκαρποφόρησεν· ἡ γυνὴ τοῦ Ἰσχομάχου φρονεῖ ὅτι κρηπὶς τῆς οἰκιακῆς εὐδαιμονίας ἡ σωφροσύνη· ἡ σώφρων γυνή, λέγει, δύναται τῶν τε τέκνων αὐτῆς ἐπιμελεῖσθαι καὶ τῶν κτημάτων· ὥστε δικαίως ὁ Σωκράτης θαυμάζει τὸ φρόνημα τῆς γυναικός.

«Καὶ ἐγὼ ἀκούσας, ἔφη ὁ Σωκράτης, ἀποκρίναθαι τὴν γυναῖκα αὐτῷ ταῦτα, εἶπον· Νὴ τὴν Ἥραν, ἔφην, ὦ Ἰσχόμαχε, ἀνδρικήν γε ἐπιδεικνύεις τὴν διάνοιαν τῆς γυναικός. Καὶ ἄλλα τοίνυν, ἔφη ὁ Ἰσχόμαχος, θέλω σοι πάνυ μεγαλόφρονα αὐτῆς διηγήσασθαι, ἃ μου ἅπαξ ἀκούσασα ταχὺ ἐπείθετο. Τὰ ποῖα; ἔφην ἐγώ· λέγε· ὡς ἐμοὶ πολὺ ἥδιον ζώσης ἀρετὴν γυναικὸς κατεμανθάνειν ἢ εἰ Ζεῦξίς μοι καλὴν εἰκάσας γραφῇ γυναῖκα ἐπεδείκνυεν. Ἐντεῦθεν δὴ λέγει ὁ Ἰσχόμαχος, ἐγὼ τοίνυν, ἔφη, ἰδών ποτε αὐτήν, ὦ Σώκρατες, ἐντετριμμένην πολλῷ μὲν ψιμυθίῳ, ὅπως λευκοτέρα ἔτι δοκοίη εἶναι ἢ ἦν, πολλῇ δ' ἐγχούσῃ, ὅπως ἐρυθροτέρα φαίνοιτο τῆς ἀληθείας, ὑποδήματα δ' ἔχουσαν ὑψηλά, ὅπως μείζων δοκοίη εἶναι ἢ ἐπέφυκει, εἰπέ μοι, ἔφην, ὦ γύναι, ὁποτέρως ἂν μᾶλλον κρίνοις ἀξιοφιλητον εἶναι χρημάτων κοινωνόν, εἰ σοι αὐτὰ τὰ ὄντα ἀποδεικνύοιμι, καὶ μήτε κομπάζοιμι ὡς πλείω τῶν ὄντων ἔστι μοι, μήτε ἀποκρυπτοίμην τι τῶν ὄντων μηδέν, ἢ εἰ ἐπειρώμην σε ἐξαπατᾶν λέγων τε ὡς πλείω ἔστι μοι τῶν ὄντων, ἐπιδεικνύς τε ἀργύριον κίβδηλον καὶ ὄρμους ὑποξύλους, καὶ πορφυρίδας ἐξιτήλους φαίην ἀληθινὰς εἶναι; καὶ ὁπόταν λάβοῦσα εὐθύς, εὐφήμει, ἔφη, μὴ γένοιτο σὺ τοιοῦτος· οὐ γὰρ ἂν ἔγωγέ σε δυναίμην, εἰ τοιοῦτος εἶης, ἀσπάσασθαι ἐκ τῆς ψυχῆς· οὐκοῦν, ἔφην ἐγώ, συνελαλύθκμεν, ὦ γύναι, ὡς καὶ τῶν σωμάτων κοινωνήσοντες ἀλλήλοις; Φασὶ γοῦν, ἔφη, οἱ ἄνθρωποι. Ποτέρως ἂν οὖν, ἔφην ἐγώ, τοῦ σώματος αὖ δοκοίην εἶναι ἀξιοφίλητος μᾶλλον κοινωνός, εἰ σοι τὸ σῶμα πειρώμην παρέχειν τὸ ἐμαυτοῦ ἐπιμελούμενος ὅπως ὑγιεινόν τε καὶ ἐρρωμένον ἔσται, καὶ διὰ ταῦτα τῷ ὄντι εὔχρως σοι ἔσομαι, ἢ εἰ σοι μίλτῳ ἀλειφόμενος καὶ τοὺς ὀφθαλμοὺς ὑπαλειφόμενος ἀνδρεικέλῳ ἐπιδεικνύοιμί τε ἐμαυτὸν καὶ συνείην ἐξαπατῶν σε καὶ παρέχων ὁρᾶν καὶ ἅπτεσθαι μίλτου ἀντὶ τοῦ ἐμαυτοῦ χρωτός; Ἐγὼ μέν, ἔφη ἐκείνη, οὔτ' ἂν μίλτου ἁπτοίμην ἥδιον ἢ σοῦ οὔτ' ἂν ἀνδρεικέλου χρῶμα ὁρῴην ἥδιον ἢ τὸ σὸν οὔτ' ἂν τοὺς ὀφθαλμοὺς ὑπαλλιλιμμένους ἥδιον ὁρῴην τοὺς σοὺς ἢ ὑγιαίνοντας. Καὶ ἐμὲ τοίνυν νόμιζε, εἰπεῖν ἔφη ὁ Ἰσχόμαχος, ὦ γύναι, μήτε ψιμυθίου μήτε ἀγχούσης χρώματι ἥδεσθαι μᾶλλον ἢ τῷ σῷ· ἀλλ' ὥσπερ οἱ θεοὶ ἐποίησαν ἵπποις μὲν ἵππους, βουσὶ δὲ βοῦς ἥδιστον, προβάτοις δὲ πρόβατα, οὕτω καὶ οἱ ἄνθρωποι ἀνθρώπου σῶμα καθαρὸν οἴονται ἥδιστον εἶναι· αἱ δὲ ἀπάται αὗται τοὺς μὲν ἔξω πως δύναιντ' ἂν ἀνεξελέγκτως ἐξαπατᾶν, συνόντας δὲ ἀεὶ ἀνάγκη ἁλίσκεσθαι ἂν ἐπιχειρῶσιν ἐξαπατᾶν ἀλλήλους· ἡ γὰρ ἐξ

εὐνῆς ἁλίσκοντα ἐξανιστάμενοι πρὶν παρασκευάσασθαι, ἢ ὑπὸ ἱδρῶτος ἐλέγχονται ἢ ὑπὸ δακρύων βασκνίζοντα ἢ ὑπὸ λουτροῦ ἀληθινῶς κατωπτεύθησαν. Τί οὖν, πρὸς θεῶν, ἔφην ἐγώ, πρὸς ταῦτα ἀπεκρίνατο; Τί δέ, ἔφη, εἰ μὴ τοῦ λοιποῦ τοιοῦτο μὲν οὐδὲν πώποτε ἐπραγματεύσατο, καθαρὸν δὲ καὶ πρεπόντως ἔχουσαν ἐπειρᾶτο ἑαυτὴν ἐπιδεικνύναι· καὶ ἐμὲ μέντοι ἠρώτα εἴ τι ἔχοιμι συμβουλεῦσαι ὡς ἂν τῷ ὄντι καλὴ φαίνοιτο. ἀλλὰ μὴ μόνον δοκοίη. Καὶ ἐγὼ μέντοι, ὦ Σώκρατες, ἔφη, συνεβούλευον αὐτῇ μὴ δουλικῶς ἀεὶ καθῆσθαι, ἀλλὰ σὺν τοῖς θεοῖς πειρᾶσθαι δεσποτικῶς πρὸς μὲν τὸν ἱστὸν προστάττειν ὅ,τι μὲν βέλτιον ἄλλου ἐπίστατο ἐπιδιδάξαι, ὅ,τι δὲ χεῖρον ἐπιμαθεῖν· ἐπισκέψασθαι δὲ καὶ σιτοποιόν, πρασταῖναι δὲ καὶ ἀπομετρούσῃ τῇ ταμίᾳ, περιελθεῖν δὲ ἐπισκοπουμένην καὶ εἰ κατὰ χώραν ἔχει ἢ δεῖ ἕκαστα· ταῦτα γὰρ εὐθὺς μοι ἅμα ἐπιμέλεια εἶναι καὶ περίπατος· ἀγαθὸν δὲ ἔφην εἶναι γυμνάσιον καὶ τὸ δεῦσαι καὶ μάξαι καὶ ἰμάτια καὶ στρώματα ἀνασείσαι καὶ συνθεῖναι· γυμναζομένην δὲ ἔφην οὕτως ἂν καὶ ἐσθίειν ἥδιον καὶ ὑγιαίνειν μᾶλλον καὶ εὐχροωτέραν φαίνεσθαι τῇ ἀληθείᾳ· καὶ ὅπως δὲ ὁπόταν ἀνταγωνίζηται διακόνῳ, καθαρωτέρα οὖσα πρεπόντως τε μᾶλλον ἠμφιεσμένη κινητικὸν γίγνεται, ἄλλως τε καὶ ὁπόταν τὸ ἑκοῦσαν χαρίζεσθαι προσῇ ἀντὶ τοῦ ἀναγκαζομένην ὑπηρετεῖν· αἱ δὲ ἀεὶ καθήμεναι σεμνῶς πρὸς τὰς κεκοσμημένας καὶ ἐξαπατώσας κρίνεσθαι παρέχουσιν ἑαυτάς· καὶ νῦν, ἔφη, ὦ Σώκρατες, οὕτως εὖ ἴσθι ἡ γυνή μου κατεσκευασμένη βιοτεύει ὥσπερ ἐγὼ ἐδίδασκον αὐτὴν καὶ ὥσπερ νῦν σοι λέγω».

Οὐδὲν βιβλίον γινώσκομεν τῆς οἰκιακῆς οἰκονομίας οὔτε τερπνότερον τοῦ μέρους τούτου τοῦ Οἰκονομικοῦ τοῦ Ξενοφῶντος, οὔτε ἠθικώτερον οὔτε διδακτικώτερον, οὔτε μετὰ πλείονος χάριτος γεγραμμένον. Τοῦτο ἐχέτωσαν αἱ Ἑλληνίδες ἐγκόλπιον καὶ ὁδηγὸν καὶ ἕτοιμαι εὐδαίμονες ἐν τῷ οἴκῳ, εἴπερ τῆς οἰκιακῆς εὐδαιμονίας κρηπὶς ἡ σωφροσύνη, ἡ κατ' ἐξοχὴν γυναικεία ἀρετή· «ἐμὸν δ' ἔφησεν ἡ μήτηρ ἔργον εἶναι σωφρονεῖν». Ἡ σώφρων γυνὴ ἐστιν ἀγαθὴ μήτηρ καὶ ἀγαθὴ οἰκοδέσποινα· «ὥσπερ καὶ τέκνων ῥᾷον τὸ ἐπιμελεῖσθαι τῇ σώφρονι τῶν ἑαυτῆς ἢ ἀμελεῖν, οὕτω καὶ τῶν κτημάτων ἥδιον τὸ ἐπιμελεῖσθαι τῇ σώφρονι τῶν ἑαυτῆς ἢ ἀμελεῖν».

Περὶ τοῦ χαρίεντος τούτου μέρους τοῦ Οἰκονομικοῦ ὁ Prévot-Paradol ἐν τῇ *καθολικῇ*

αὐτοῦ *Ἱστορίᾳ* (I, σελ. 482—483) λέγει τάδε. «Οὐ χρὴ ἐν σιγῇ παρελθεῖν τὴν σπουδαιότητα ἣν ὁ Ξενοφῶν ἀπονέμει τῇ γυναικὶ τοῦ τελείου τούτου οἴκου· οὐδὲν εἴθισεν ἡμᾶς ὁρᾶν τὴν ἀρχαίαν γυναῖκα οὕτως ἐνεργὸν καὶ μετέχουσαν τῆς διοικήσεως τοῦ οἴκου. Ἡ Ἑλλὰς μᾶλλον τῇ Ἀνατολῇ γειτνιάζουσα ἢ ἡ Ῥώμη βίον σιωπηλὸν καὶ ἀφανῆ ἐπέβαλε ταῖς γυναιξίν· αἱ περιφρονήσεις τῶν ἀνδρῶν πρὸς αὐτάς, ἡ μικρὰ αὐτῶν διάνοια, ἧς τὴν εὕρυνσιν οὐδὲν προὐκάλει, ἄλλαι αἰτίαι συνήργουν περιστέλλειν τὸν κύκλον τοῦ βίου αὐτῶν καὶ ἐκνευρίζειν τὴν ψυχὴν αὐτῶν· ἡ ἠθικὴ αὕτη μειονεξία κατὰ παράδοσιν παρετείνετο, ἡ δὲ οὐδένεια τῶν νομίμων γυναικῶν ἀπέβαινε μακροχρόνιος παράδοσις καὶ οἱονεὶ παίδευσις τῆς οἰκογενείας. Εἰς τὰς πρώτας λέξεις τοῦ Ἰσχομάχου περὶ τῶν φροντίδων τοῦ οἴκου, ἡ γυνὴ αὐτοῦ διστάζει λέγουσα, «ἐμὸν δ' ἔφησεν ἡ μήτηρ ἔργον εἶναι σωφρονεῖν»· ἀλλ' ὅτε ὁ Ἰσχόμαχος ἐκποδὼν ἐποιήσατο τὸν διαταγμὸν τοῦτον αὐτῆς, οἵαν τεραστίαν δύναμιν ἠρύσατο ἐκ τῶν ἡμέρων ποιοτήτων τῆς γυναικός, ποιῶν αὐτὴν ἐν καιρῷ μετέχειν τῆς ἐπιμελείας τοῦ οἴκου καὶ εἶναι προσφιλῆ καὶ ὠφέλιμον! οἷον μάθημα πάσῃ τῇ Ἑλλάδι ἡ τερπνὴ αὕτη εἰκὼν τοῦ οἴκου, ἡ οἰκογένεια αὕτη, ἐν ᾗ πανταχοῦ τις ὀρᾷ τὴν πρόθυμον φροντίδα γυναικὸς βουλομένης ἀγαθῆς εἶναι ὅπως ᾖ προσφιλής! μεθ' οἵας ἐπινοητικῆς προσοχῆς ὁ Ξενοφῶν προσεγγίζων τὰς ποιότητας τῆς γυναικὸς τοῖς ἔργοις τοῦ οἴκου, ἐπιζητεῖ ποιῆσαι αὐτὴν καταλαβεῖν τὴν θέσιν, ἣν ἡ φύσις καὶ οἱ θεοὶ ὥρισαν αὐτῇ! ἀλλὰ θαυμάσωμεν ὡσαύτως τὴν εὐπείθειαν τῆς νέας γυναικός, τὴν γενναίαν προθυμίαν ἵνα ὠφέλιμος γένηται.

"Οταν ὁ σύζυγος αὐτῆς μετά τινος εὐλαβείας ὁμιλῇ πρὸς αὐτὴν ἐπιμελεῖσθαι τῶν ἀσθενῶν δούλων, ἀποκρίνεται μετὰ τῆς προσηκούσης τῇ ἀγαθῇ φύσει ζωηρότητος, «τοῦτο ἔσται μοι ἐπιχαριτώτατον, ἢν μέλλωσί γε οἱ καλῶς θεραπευθέντες χάριν εἴσεσθαι καὶ εὐνούστεροι ἢ πρόσθεν ἔσεσθαι». Ἰδοὺ ἔτι λέξεις μεσταὶ χαριέσσης αἰδημοσύνης, εὐγενὲς παράδειγμα τῆς ἀγνότητος, ἣν πᾶν τὸ ἐκ καθαροῦ στόματος ἐκφερόμενον ὑποδύεται, καὶ τῆς ἡδείας χάριτος, μεθ' ἧς ἡ ἔκφρασις δύναται καὶ αὐτὰς τὰς κοινοτάτας ἐννοίας περιβαλεῖν. "Οταν ὁ Ἰσχόμαχος ὁρᾷ τὴν γυναῖκα αὐτοῦ ἐψιμυθιωμένην καὶ βούληται αὐτὴν εἰς τὴν ἁπλότητα ἐπαναγαγεῖν, ἄρχεται λέγων αὐτῇ· «οὐκοῦν συνελήλυθαμεν, ὦ γύναι, ὡς καὶ τῶν σωμάτων κοινωνήσοντες ἀλλήλοις; ἡ δὲ ἀποκρίνεται, «Φασὶ γοῦν οἱ ἄνθρωποι»· αἰδεῖται ἵνα ἐξ ἑαυτῆς βεβαιώσῃ τοῦτο. Οὕτω λαλοῦσι παρ' Ὁμήρῳ.

Τοιοῦτον τὸ σύγγραμμα τοῦτο, πολλῆς μελέτης ὂν ἄξιον, ἀκριβῶς ἡμῖν ἀπεικονίζον τὴν ψυχὴν τοῦ Ξενοφῶντος καὶ τὸ μεγαλοφυὲς τῆς Ἑλλάδος πνεῦμα. Τὸ μικρὸν τοῦτο βιβλίον ἐξ ἐκείνων ἐστίν, ἃ οὐ παρέρχονται, διότι ἐνέπνευσαν αὐτὸ ὁ ἔρως τοῦ καλοῦ, τὸ αἴσθημα τῆς φύσεως, ἡ σύνεσις τοῦ οἰκιακοῦ βίου, διότι φέρει ἀνεξίτηλον τὸν χαρακτῆρα τοῦ λαμπροτάτου καὶ φιλανθρωποτάτου πολιτισμοῦ, ὃς ποτε ἐπὶ γῆς ἤνθησε».

Πλείστου δὲ λόγου ἄξιά εἰσι καὶ ἃ λέγει ὁ Alfred Croiset (Xénophon son Caractère et son Talent pag. 181—683). «Ἡ Ἀττικὴ κατὰ Θουκυδίδην ἐν τῇ ἀρχῇ τοῦ Πελοποννησιακοῦ πολέμου ἦν καλῶς κεκαλλιεργημένη· παρὰ δὲ τοῦ Σοφοκλέους γινώσκομεν ὅτι οἱ ἀγροὶ ἦσαν φαιδροί, τὸ δὲ βλέμμα εὐφροσύνως ἐπὶ τῇ θεᾷ ἐπανεπαύετο τῆς ἀφθονίας καὶ τῆς γονιμότητος. Βεβαίως ἐν τῇ πλουσίᾳ γεωργικῇ τάξει, ἡ κληρονόμος ἦν τῆς ἀρχαίας ἁπλότητος καὶ φύλαξ τῶν ἀρχαίων παραδόσεων, ὑπῆρχον πολλοὶ Ἰσχόμαχοι καὶ πολλοὶ οἰκοδεσπόται ἀγαθοὶ καὶ συνετοί, ἐν τῇ τῶν κτημάτων αὐτῶν διοικήσει βοηθούμενοι ὑπὸ γυναικὸς δραστηρίας, φίλα φρονούσης, ἱκανῆς μετέχειν τῶν φροντίδων καὶ τῆς χαρᾶς αὐτῶν, καὶ ὑπὸ δούλων, οἷς ἡ δουλεία ἐφαίνετο ἀνεκτή.

